www.libtool.com.cn

www.libtool.com.cn

Arch. Class.



www.libtool.com.cn

www.libtool.com.cn

www.libtool.com.cn

www.libtool.com.cn

www.libtool.com.cn

SCHOLIA GRÆCA

IN

HOMERI ODYSSEAM

EX CODICIBUS AUCTA ET EMENDATA

EDIDIT

GULIELMUS DINDORFIUS.

TOMUS II.

OXONII:
E TYPOGRAPHEO ACADEMICO.
M.DCCC.LV.

Clar. Press.
56. a. 9.

www.libtool.com.cn

www.libtool.com.cn

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ ΟΔΥΣΣΕΙΑΝ.

I.

ΥΠΟΘΕΣΙΣ.

ΤΗΣ μεγάλης διηγήσεως τὴν ἀρχὴν περιέχει ἡ ῥαψῳδία αὕτη, ὡς ἀποπλεύσας ἐξ Ἰλίου Ὀδυσσεὺς πρῶτον μὲν τῇ Κικόνων παρέβαλε γῇ, καὶ μίαν αὐτῶν τὴν ἐπὶ θάλασσαν ἐπόρθησε πόλιν, Ἴσμαρον καλουμένην, ἔπειτα δὲ Μάλεον παραπλέων Λακωνικῆς ἀκρωτήριον ὑπὸ σφοδροῦ πνεύματος ἐξηνέχθη περῶν μέγα πέλαγος καὶ τῇ τῶν Λωτοφάγων παρέβαλε γῇ, καὶ ἐντεῦθεν ἀποπλεύσας τῇ Κυκλωπίᾳ τὸν μὲν ἄλλον στόλον εἴασε πρὸς τῇ νήσῳ καθορμοῦντας. καὶ τέλος ἔσχεν ἐνταῦθα ἡ ῥαψῳδία. H.Q.

ΑΛΛΩΣ.

Ἀρχὴ τῶν Ὀδυσσέως διηγημάτων, ἐν οἷς φησι πεπολεμηκέναι τοῖς Κίκοσι καὶ πρὸς τοὺς Λωτοφάγους παραγενέσθαι· καὶ ὅτι ἐτύφλωσε τὸν Κύκλωπα Πολύφημον, καὶ ὡς ἐκεῖνος κατέφαγεν αὐτοῦ ἓξ ἑταίρους ἀπὸ δώδεκα συνελθόντων. E.Q.P.

---

2. Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν] τὸν εὐεργέτην ἐπαινεῖ· σύμφορον γὰρ τῷ δεομένῳ. τὸ μὲν δὴ κρεῖον τῆς βασιλείας ἔπαινος, τὸ δὲ ἀριδείκετε τοῦ κατὰ μορφὴν ἀξιώματος. τὸ δὲ ἁπλοῦν ἀντὶ

7. τὴν ἐπὶ] τῶν ἐπὶ H.
8. παραπλέων] παραπλέοντα H.Q.
Λακωνικῆς] ἰωνικῆς H.Q. Correxit Struvius ex schol. ad v. 80.
10. παρέβαλε] παρέβαλλε H.
Κυκλωπίᾳ] κυκλωπείᾳ Q.
14.—17. Habet Eust. p. 1611.
15. καὶ ὅτι—συνελθόντων] καὶ πρὸς τὸν Κύκλωπα Πολύφημον πορευθῆναι καὶ τοῦτον φαγόντα ἓξ ἤδη αὐτοῦ ἑταίρους ἐκτυφλῶσαι V. et Eustathius.
20. τὸ δὲ] τοῦτο δὲ Buttm.

παραγώγου τοῦ ἀριδεικοτάτου. καὶ ἡ γενικὴ κεῖται ἀντὶ δοτικῆς. H.Q. ἀντὶ τοῦ λαοῖς. H ἅμα μὲν καὶ ὡς εὐεργέτην ἐπαινεῖ σύμφορον τῷ δεομένῳ, ἅμα δὲ καταστοχαζόμενος τῆς προαιρέσεως τοῦ βασιλέως· αὐτὸς γὰρ ἂν ἦν τῆς πομπῆς ἡγούμενος. ἔδει οὖν τὴν βασιλείαν καὶ τὴν τοῦ σώματος ὑπεροχὴν αὐτῷ μαρτυρῆσαι ὑπὲρ τοῦ εὐφραίνεσθαι. τὸ οὖν "κρεῖον" ἀντὶ τοῦ κράτιστε καὶ βασιλικώτατε. οἱ δὲ ἄγαν ἀσπαστικέ. T.

4. θεοῖς ἐναλίγκιος αὐδήν] ἄστροις. κατὰ γὰρ Πυθαγόραν μουσικῶς καὶ κατὰ ἐναρμόνιον κίνησιν κινοῦνται. P.

5. οὐ γὰρ ἔγωγέ τί φημι] προσχαρίζεται εἰς τὰ τοιαῦτα τοῖς Φαίαξιν Ὀδυσσεὺς εἰδὼς αὐτῶν τὸ ἡδυπαθές. ἐγκαλοῦσι δὲ τῷ Ὀδυσσεῖ φιληδονίαν, λέγοντες τὴν ἀπόλαυσιν τέλος ἡγούμενον τοῦ βίου διὰ τούτων. ἁρμόζεται δὲ τοῖς ἤθεσιν αὐτῶν ἀκούσας παρὰ τοῦ Ἀλκινόου "ἀεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε." οἱ δὲ ἀπὸ τοῦ καιροῦ· συμπόσιον γὰρ τότε παρῆν. οἱ δὲ ἀπὸ τῆς λέξεως. καὶ τούτων οἱ μὲν ὅτι εὐφροσύνη τῆς ἡδονῆς τῷ φρονεῖν διαφέρει, οἱ δὲ ὅτι τέλος ἐπὶ οὐσίας ἢ τάξεως ἢ συμπληρώσεως· ἀκουστέον δὲ, τῶν πρὸς εὐωχίαν. Q. ἀπρεπὲς τέλος ὁρίζειν τροφὴν καὶ ἀπόλαυσιν. λύεται δ' ἀπὸ τοῦ προσώπου. πρὸς οὓς γάρ φησιν, αὐτοὶ ἦσαν φάσκοντες "αἰεὶ δ' ἡμῖν — — — τῶν πρὸς εὐωχίαν (ut Q.). H.

Ἄλλως. ταῦτα ἁρμοζόμενος τῷ καιρῷ λέγει. οὐ τοῦ παντὸς δὲ βίου τὴν ἡδονὴν τέλος εἴρηκεν, ἀλλὰ συμποσίου τινός. Q.V.

τέλος χαριέστερον] τὸ τελεώτατον καὶ ἄριστον. T.

6. ἢ ὅταν εὐφροσύνη] οὐ πάντως ἀποδεχόμενος τὸν τοιοῦτον βίον ἐπαινεῖ, ἀλλὰ ἁρμόζεται κατὰ τὸν παρόντα καιρὸν ὑπὲρ τοῦ τυχεῖν ὧν ἐβούλετο. προσποιεῖται οὖν τὸ ἀβροδίαιτον ἀσπάζεσθαι τῶν Φαι-

1. ἀριδεικοτάτου] ἀριδεικωτάτου H. ἀριδικωτάτου Q.

6. εὐφραίνεσθαι Preller. εὐφρᾶναι T.

14. οἱ δὲ] Intellige λύουσι vel ἀπολογοῦνται. BUTTM. Versus 5—8. obelis notati in Q.

15. παρῆν] ἦν H.

24. οὐ πάντως] Cf. schol. cod. Q., unde intelligitur nonnullos grammaticos hinc mollitiem Ulyssi criminatos esse, quod crimen alii aliter ab eo removere studebant, οἱ μὲν ἀπὸ τοῦ καιροῦ, quia inter epulandum sic loquutus esset, οἱ δὲ ἀπὸ τῆς λέξεως· καὶ τούτων οἱ μὲν ὅτι εὐφροσύνη τῆς ἡδονῆς τῷ φρονεῖν διαφέρει, οἱ δὲ ὅτι τέλος (v. 5.) ἐπὶ οὐσίας ἢ τάξεως ἢ συμπληρώσεως. Ex illis, qui εὐφροσύνην monebant longe aliud esse quam ἡδονὴν et ab ea differre τῷ φρονεῖν, erat, quod ex nostro codice apparet, Seleucus Alexandrinus, qui dicebat τὴν εὐφροσύνην dici ὅτε εὖ φρονοῦμεν, et αὐτάρκειαν quandam præ se ferre Ulyssem, h. e. se tales voluptates etiam alibi expertum esse significare, ἵνα μὴ φαίνηται κύλαξ. PRELLER.

www.libtool.com.cn

ἄκων ἀκηκοὼς λέγοντων "αἰεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε" (θ, 248.). Σέλευκος δὲ τὴν εὐφροσύνην ὅτε εὖ φρονοῦμεν καὶ τὴν αὐτάρκειαν, ἵνα μὴ φαίνηται κόλαξ. T.

7. ἀκουάζονται] ἀκροῶνται. V.

11. τοῦτό τί μοι κάλλιστον] ἐγκλιτέον τὸ τι. H. τοῦτο τὸ τέλος, φησὶ, φαίνεταί μοι καλὸν εἶναι. σοὶ δὲ φαίνεται καλὸν τὸ τὰ ἐμὰ κήδεα εἱρεσθαι. ἡ ἐπί πρὸς τὸ εἱρεσθαι, ἵν' ᾖ ἐπιείρεσθαι. B.Q.

12. σοὶ δ' ἐμὰ κήδεα] ἐπειδὴ μέλλει περὶ πραγμάτων διηγεῖσθαι, ἠθικῶς προκατασκευάζει ὅτι μᾶλλον τῷ ἡμετέρῳ συμποσίῳ ἁρμόζει καὶ ἡ τοῦ κιθαρῳδοῦ ἀκρόασις, ἵνα, ἐὰν ὀχληρὸς φαίνηται, τοῖς βιασαμένοις ἀναφέρωσι τὴν αἰτίαν. ἅμα δὲ καὶ προσοχὴν ἐργάζεται, ὅτι πολλὰ ἀπαγγελεῖ παράδοξα. T.

13. ὄφρ' ἔτι μᾶλλον] ἤδη ὑποβάλλει ὅτι καὶ ἔμπροσθεν, ὅτε ἔκλαιεν, περὶ ἑαυτοῦ ἦν τὰ ᾀδόμενα. T.

ὀδυρόμενος] καὶ μὴν οὐ κλαίει νῦν. ἀλλ' ἡ σύγκρισις πρὸς τὸ "εἰπὲ δ' ὅ τι κλαίεις" (θ, 577.). Q.

14. τί πρῶτον] περὶ δυσχερῶν πραγμάτων μέλλων λέγειν προασφαλίζεται, ἵνα, ἐὰν φανῇ τι αὐτῷ ὀχληρὸς, εἰς τὸν βιασάμενον τὸ αἴτιον ᾖ. ἔτι δὲ καὶ προσοχὴν ἐργάζεται τοῖς ἀκροωμένοις. H.Q.

τί πρῶτόν τοι ἔπειτα] ὅσα αὔξει τὴν προσοχὴν, προσδοκίαν ἐμποιῶν, ὅπερ ἐστὶ τεχνικὸν ὡς ἐν προοιμίῳ· δεῖ γὰρ παρὰ τῶν ἀκουόντων ἑαυτῷ μὲν εὔνοιαν ἐπισπᾶσθαι, τῷ δὲ λόγῳ προσοχὴν, ἵνα τὸν μὲν λέγοντα ἀποδέξωνται, τῶν δὲ πραγμάτων ἐπιθυμήσωσι τὰ λεγόμενα καὶ μάθωσιν ὅπερ δι' ὅλου κατώρθωκεν Ὀδυσσεὺς ἑαυτὸν μὲν ἐπαινέσας, τὸ δὲ πλῆθος καὶ τὴν καινότητα τῶν πραγμάτων ἐνδειξάμενος δηλοῖ τὴν προαίρεσιν καὶ πόθεν παραγίνεται καὶ τί βούλεται, εἶθ' οὕτως καὶ τὰ μείζονος διηγήσεως ἄρχηται "Ἰλιόθεν με φέρων" (39.). T.

15. οὐ δεῖ στίζειν εἰς τὸ κήδεα, ἀλλ' ὑφ' ἓν ἀναγινώσκειν. H.

16. νῦν δ' ὄνομα] ὅρα μεθ' ὅσα νῦν ἑαυτὸν δηλοῖ καταμαθὼν πάντα παρὰ τοῖς Φαίαξι· τὸ δὲ "ὄφρα καὶ ὑμεῖς" εἰς τὸ φιλόδοξον τοῦ ἀνδρὸς, καὶ ὑμεῖς καὶ ἄλλοι. T.

17. νηλεὲς ἦμαρ] τὴν ἀνελεήμονα ἡμέραν. H.

2. φρονοῦμεν Prellerus. φρονῶμεν T.
4. ἀκουάζονται] Sic in antiqq. edd. In posterioribus ἀκουάζονται] ἔνιοι, ἀκουάζονται. Ἀκροῶνται. Vid. supra not. ad δ. 139. BUTTM.
18. φανῇ] ἐφάνη Q.
27. με φέρων] περιφέρων T.

www.libtool.com.cn

18. δώματα ναίων] εἰς ἐπίτασιν, ὅτι καὶ μακρὰν ἀπὼν φιλήσει τοὺς εὐεργέτας. T.

19. εἶμ' Ὀδυσεὺς] οὗτος ἐκεῖνός εἰμι Ὀδυσσεύς, περὶ οὗ πρόσθεν ἠκούετε ἐν τῇ ἀοιδῇ. T.

ὃς πᾶσι δόλοισιν] ἐν ἀνθρώποις διὰ τοὺς δόλους ἀπόκειμαι, ἤτοι ἐν τοῖς ἁπάντων στόμασίν εἰμι διὰ τοὺς δόλους. παρεῖται ἡ διά, καὶ ἡ δοτικὴ ἀντὶ αἰτιατικῆς κεῖται· διὰ δόλους γὰρ μέλω. ὅμοιόν ἐστι τῷ "σοὶ πάντες μαχόμεθα" (Il. ε, 875.), τουτέστι διὰ σέ. B.H.Q. πᾶσιν ἀνθρώποις μέλω ἐν δόλοις, ἤτοι ἐν ἐπιμελείᾳ εἰμὶ ὡς δόλοις πρέπων στρατιωτικοῖς. B. ὅστις ἐγὼ ἐν πᾶσι τοῖς ἀνθρώποις διὰ φροντίδος εἰμὶ ποιεῖν δόλους, οἵ μου τὸ κλέος μέχρι τοῦ οὐρανοῦ ἀνήγαγον. Q.

20. ἀνθρώποισι μέλω] τοῖς ἀνθρώποις ἔνδοξος τυγχάνει, διὰ δόλου καὶ φροντίδος ἀξιούμενος παρ' αὐτοῖς. ὁ δὲ δόλος ἐπ' ἀγαθοῦ τέτακται ἐνταῦθα, τὸ δὲ "κλέος οὐρανόν" ὑπερβολικῶς, τῇ δόξῃ μέχρι θεῶν ἐφθακέναι τὸ κλέος. T.

καί μευ κλέος οὐρανὸν ἵκει] διὰ δόλους ἔνδοξός εἰμι. ὁ γὰρ δόλος καὶ ἐπὶ ἀγαθοῦ τάσσεται· νῦν δὲ ἐπὶ ἐγκωμίου τοῦτο λέγει. ὑπερβολὴ γὰρ δόξης τὸ μέχρι θεῶν ἐφθακέναι τὸ κλέος. ταῦτα δὲ πρὸς σύστασιν ἑαυτοῦ λέγει, ἵνα κατ' ἀξίαν τιμηθῇ ὑπὸ τῶν Φαιάκων. ἤδη γὰρ καὶ προμεμαρτύρηται ὑπὸ τοῦ κιθαρῳδοῦ. B.Q.

21. ναιετάω δ', Ἰθάκην] ἀναγκαίως προσυνίστησι τὴν πατρίδα πιστὸν καθιστὰς τὸν ἑαυτοῦ πόθον. ἅμα δὲ καὶ χρηστὸν ἦθος ὑποφαίνει ὅπως οἵας οὔσης τῆς πατρίδος κήδεσθαι φάσκων. T.

εὐδείελον] ἐπιφανῆ, πρὸς τὴν δείλην κειμένη. καὶ γὰρ ἐπιφέρει "πρὸς ζόφον" (v. 26.). εἰ δὲ σημαίνει τὴν εὔκρατον, δασύνεται. T.

Ἰθάκην εὐδείελον] εὐπεριόριστον. πᾶσαι γὰρ αἱ νῆσοι εὐκατάληπτον ἔχουσι τὸν περιορισμὸν ὡς πρὸς τὴν ἤπειρον. ἢ τὴν εὐάερον, εὖ τῆς ἕλης ἔχουσαν. ἔνιοι δέ φασιν εὖ πρὸς τὴν δείλην κειμένην· δείλη γὰρ ἡ δύσις. καὶ γὰρ οὕτως ἔχει τῇ θέσει ὡς πρὸς τὰς ἄλλας νήσους πλησιαζούσας. διὸ καὶ ἐπιφέρει, αὐτὴ δὲ χθαμαλή. B.Q. πρὸς δύσιν τῶν ἄλλων κειμένην. V. ἤτοι ἐπιφανῆ, εὖ πρὸς τὴν δείλην κειμένη. εἰ δὲ σημαίνει τὴν εὔκρατον, δασύνεται ἀνάγκῃ. ἕλη

11. τοῦ οὐρανοῦ] τὸν οὐρανὸν Q. Quod ferri potest addito εἰς.

24. ὅπως οἵας] Hæc aut corrupta aut defecta.

27. Compara schol. β, 167.

32. κειμένην Buttm. pro κειμένων.

33. εὔκρατον Buttm. pro ἄκρατον.

www.libtool.com.cn

γάρ ἐστιν ἡ τοῦ ἡλίου αὐγή, ὅθεν καὶ τὸ εἰληθερεῖν τὸ ἡλίῳ χρῆσθαι. MS. Barnes.

ἐν δ' ὄρος αὐτῇ] σύνηθες αὐτῷ τὰ ὄρη χωρίζειν τῆς γῆς· προεῖπε γὰρ τὴν Ἰθάκην καὶ ἐπήγαγε περὶ τοῦ ὄρους. H.

22. Νήριτον] ὁ Φιλόξενος Νήϊον αὐτό φησι διὰ τὸ "ἡμεῖς δ' ἐξ Ἰθάκης ὑπονηίου εἰλήλουθμεν" (γ, 81.). τινὲς δὲ Νήϊον, ὥσπερ ὁ Κράτης, τὸν περὶ τὸν λιμένα τόπον, ἐν ᾧ ἦν συνηρεφὴς τόπος, ἱερὸν Νυμφῶν. ἀφ' οὗ καὶ τὰς νύμφας κοινῶς Νηϊάδας προσαγορεύεσθαι. H.Q. ἀπὸ τοῦ Νηΐου, "ἱεροῦ νυμφάων, αἳ Νηϊάδες καλέονται" (ν, 104.). Q.

εἰνοσίφυλλον] κινησίφυλλον· ἔνοσις γὰρ ἡ κίνησις. ἐκ δὲ τούτου τὸ καταπνεόμενον δηλοῖ διὰ τὸ ὕψος. H.P.Q.

23. πολλαὶ ναιετάουσι] δηλονότι πολλῶν ἦρχε. T.

μάλα σχεδόν] καὶ τοῦτο ὁμοίως· τὸ γὰρ διῃρημένων ἄρχειν οὐ καλόν. T.

24. Δουλίχιόν τε Σάμη τε] τὴν Σάμην ἐν ἄλλοις Σάμον λέγει· "οἵ τε Ζάκυνθον ἔχον ἠδ' οἳ Σάμον ἀμφενέμοντο" (Il. β, 634.). ἐπίτηδες δὲ τῇ Ἰθάκῃ καὶ τὰς ἄλλας συγκατωνόμασε νήσους εἰς αὔξησιν, ἵνα αἴσθοιντο αὐτοῦ οὐκ ὀλίγης ἡγουμένου χώρας. H.Q.

Δουλίχιον μία τῶν Ἐχινάδων. P.V.

25. αὐτὴ δὲ χθαμαλὴ] ταπεινή· ἡ κοίλη τὴν θέσιν. πῶς οὖν πανυπερτάτη; ἢ τῇ δόξῃ, ἢ πρώτη τῶν ἄλλων ὡς πρὸς δύσιν. E.Q.V. ὡς πρὸς ὕψος. πανυπερτάτη δὲ ὡς πρὸς σύγκρισιν τῶν κατειλεγμένων, ὅτι ὑπέρκειται ἐκείνη ἐν τοῖς δυτικοῖς μέρεσιν ὑπὲρ πασῶν τῶν παρακειμένων ταπεινότερον. T.

πῶς χθαμαλή; πῶς πανυπερτάτη; ἡ δὲ σύγκρισις ἢ πρὸς τὰς ἄλλας νήσους ποιεῖ αὐτὴν λέγεσθαι χθαμαλὴν, αὐτὴ δὲ κατ' αὐτὴν μὴ ἀντεξεταζομένη πρὸς Σάμον καὶ Ζάκυνθον ὑψηλή ἐστιν. ἐπὶ δὲ τὸ πρὸς δύσιν αὐτῆς μέρος ὑψηλή ἐστι διὰ τὸ ὄρος, τὸ δὲ πρὸς ἀνατολὴν χθαμαλή· εἰκὸς οὖν ἔχειν αὐτὴν ἄμφω. ἡ χθαμαλὴ μὲν διὰ τὴν θέσιν, πανυπερτάτη δὲ διὰ τὴν τῶν οἰκούντων λαμπρότητα· ἐπά-

5. ὁ Φιλόξενος] Philoxenus intelligitur ὁ ὑπομνηματίζων τὴν Ὀδύσσειαν, de quo v. ad schol. ξ, 327.

6. ὁ Κράτης Porsonus pro ὁ ἀκροατής. Quæ emendatio confirmatur verbis Steph. Byz. Νήϊον· ὄρος Ἰθάκης, ἀφ' οὗ κατὰ Κράτητα αἱ Νηϊάδες οἱ δὲ τὰς διατριβούσας περὶ τὰ νάματα.

11. κινησίφυλλον om. P.Q.
ἔνοσις H. ἔνωσις P.Q.

16. ἀμφενέμοντο] ἐνέμοντο H.

20. Cf. Strab. 10.p.454. BUTT.

21. τῶν ἄλλων om. E.Q.

29. αὐτὴν] αὐτὸ Q.

www.libtool.com.cn

γει γὰρ "τρηχεῖα, ἀλλ' ἀγαθὴ κουροτρόφος." τὸ δὲ "πρὸς ζόφον" οὐ πρὸς σύγκρισιν τῶν λεχθεισῶν νήσων εἴρηται, ἐπεί ἐστι δυτικωτέρα ἡ Σικελία. B.Q.

26. πρὸς ζόφον] πρὸς τὰ δυτικὰ μέρη. αἱ γὰρ ἄλλαι νῆσοι καὶ Κεφαλληνία ἀνατολικώτεραι αὐτῆς εἰσιν. B.

28. γνῶθι ὅτι καλῶς λέγει καὶ Ἐπίκουρος ὁ φιλόσοφος τῷ ἑαυτοῦ δόγματι ἄριστον τέλος εἶναι πάντων τὴν ἡδονήν, ἐξ Ὁμήρου τοῦτο λαβών, καὶ ἐπὶ πάντων αὐτὸς ἐκτείνας τὴν τῆς ἡδονῆς τελειότητα. H.

ἧς γαίης δύναμαι] οὐκ εἶπεν ἐμῆς, ἵνα καθολικώτερος γένηται ὁ λόγος περὶ τῆς τῶν καθ' ἕκαστον ἀνθρώπων πατρίδος, ὡς καὶ ἐν ἄλλοις "ὡς οὐδὲν γλύκιον" (34.). καλῶς δὲ ταῦτα πάντα πρὸς τὸν Ἀλκίνοον· ἐνδείκνυται γὰρ ὡς ἔχει σπουδὴν πρὸς τὸ θεάσασθαι τὴν πατρίδα. T.

32. Αἰαίη] ἐξ Αἰαίης νήσου τῆς Τυρρηνίας, ἡ Κολχικῆς. Αἰαία γὰρ πόλις τῆς Κολχίδος. P.Q.V. νῦν δὲ Αἰαία ἐστὶν ἡ τῆς Κίρκης νῆσος ἡ πλησίον τοῦ Ἅιδου οὖσα ἀπὸ τῶν στεναγμάτων τῶν ἐν αὐτῷ, παρὰ τὸ αἰ αἰ θρηνητικὸν ἐπίρρημα. MS. Barnes. Αἰαίη] τοῦ Αἰήτου θυγάτηρ. ἢ ἀπὸ Αἰαίας χώρας τιμωμένη. ἔστι δὲ πόλις Κολχίας. E.

33. ἀλλ' ἐμὸν οὔποτε θυμὸν] ἴσως μὲν κατ' ἄλλον λογισμὸν οὐκ ἐπείθετο ὁ Ὀδυσσεὺς, εἰδὼς τοὺς ἐρῶντας πάντα μὲν ὑπισχνουμένους, τὸ δὲ τῆς ἀθανασίας ὡς ἀδύνατον ἀνθρώπῳ δοῦναι· πρὸς μέντοι τοὺς Φαίακας οὐχ ὡς ἄπιστον λέγει, ἀλλ' ὡς καὶ ἀθανασίας καταφρονήσας πόθῳ τῆς πατρίδος· τοῦτο γὰρ εἶχεν αὐτοῦ τοῦ ἤθους τῆς πατρίδος σύστασιν. T.

35. εἴπερ γάρ τις] θαυμαστὴ ἐπίτασις, εἰ καὶ πιονά τις οἶκον ἐν ἀλλοδαπῇ ναίει ἔχων ἀπάνευθε τοκήων. σχεδὸν δὲ πρὸς αὐτοὺς ἀποτείνεται· οὐκ ἂν ἐλοίμην πᾶσαν εὐδαιμονίαν ἀνέχειν ἐνθάδε κατὰ στέρησιν τῆς πατρίδος· καὶ γὰρ ἐπιφέρει .... T. γίνεται] κἂν τῆς ἡμῶν πατρίδος ἄλλη τίς ἐστι γαῖα πόρρωθεν πίων καὶ λιπαρὰ, ἀλλ' οὖν τῆς ἡμῶν πατρίδος γλυκυτέρα ἡμῖν οὐ λογίζεται. Q.

37. εἰ δ' ἄγε] εἰπὼν, φησὶ, τὸ ὄνομα ἄγε δὴ καὶ τὸν νόστον εἶπω τὸν πολλῶν συμφορῶν καὶ κακῶν πλήρη. Q.

6—8. Hæc spectant ad v. 5. Conf. Eustath. p. 1612, 9.

15. Αἰαία] Αἶα Barnes.

17. Αἰήτου Buttmann. pro αἰετοῦ. Versus proximi 33—35. obelis notati in Q.

29. Lacunam indicavit Prellerus. Nam in T. est ἐπιφέρει τὸ πρῶτον etc. (p. 409, 5.) sine ulla defectus nota.

ἐνίψω] ἐρῶ, λέξω. V.

39. Κικόνεσσι] ἡ μὲν χώρα Κικονία (ἔστι δ' αὐτὴ τῆς Θρᾴκης), ἡ δὲ πόλις Ἴσμαρος. τῷ γὰρ γενικῷ τὸ εἰδικὸν ἐπήγαγεν, ὡς τὸ "ἡ δ' ἄρα Κύπρον ἵκανεν, εἰς Πάφον" (Od. θ, 362.). πορθεῖ δὲ τοὺς Κίκονας ὅτι συνεμάχησαν τοῖς Τρωσί. B.Q. τὸ πρῶτον τῆς πλάνης χωρίον γινωσκόμενον παρέλαβεν ἀξιοπιστίαν τοῖς ἑξῆς παρεχόμενος, ἵνα πᾶν ἴχνος κατὰ πᾶσαν ἀρχὴν ζητήσεως . . . . οἱ δὲ Κίκονες ᾤκουν τὴν νῦν Μαρώνειαν καλουμένην. T.

40. Ἰσμάρῳ] ποταμῷ. ἢ τῇ νῦν καλουμένῃ Μαρωνείᾳ. E.

Ἰσμάρῳ. ἔνθα δ' ἐγὼ πόλιν ἔπραθον] τότε δὲ ἐγὼ τὴν Ἴσμαρον ἐπόρθησα, πόλιν τῆς Κικονίας, ἣ νῦν Μαρώνεια λέγεται. B.H.Q.V.

πόλιν ἔπραθον] ἐπεὶ οἱ Κίκονες τῷ Πριάμῳ συνεμάχησαν. "Κικόνων ἡγήτορι Μέντῃ" (Il. ρ, 73.). V. ἐπειδὴ σύμμαχος Εὔφημος ἀρχὸς Κικόνων. T.

42. δασσάμεθ'] παράγγελμά ἐστι στρατηγικὸν τὰ λάφυρα ἐξ ἴσου διανέμειν. ἡ γὰρ πλεονεξία ὑποτέμνεται τὴν προθυμίαν. ὅθεν καὶ Ἀχιλλεὺς διαλοιδορεῖται Ἀγαμέμνονι. B.H.Q.

ὡς μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης] ὡς μή τις καταλάβῃ στερισκόμενος τῆς ἰσομοιρίας τῶν μεριζομένων. Q. στερούμενος. καὶ γίνεται ἐκ τοῦ τέμνω τέμβω καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀτέμβω. οἱονεὶ τὸ μὴ μεριζόμενον. T.

43. διερῷ ποδὶ] μεταφορικῶς τῇ νηΐ. οἱ δὲ διερῷ τῷ ὀξεῖ καὶ ταχεῖ. οἱ δὲ τῷ ζῶντι, ἐπεὶ ξηροὶ οἱ ἀποθανόντες. καὶ γὰρ ἑτέρωθι "διερὸς βροτός" (Od. ζ, 201.) φησίν. P.Q.V. οἱ δὲ τῇ κώπῃ. οἱ δὲ τῷ διερῷ ἐκ τῆς θαλάσσης πρὶν ξηρανθῆναι τὴν ἐκ τῆς βάσεως ὑγρασίαν. λέγει δὲ τὸν ἱδρῶτα. Q.V. τῇ νηΐ· καὶ γὰρ ἄλλως ἵππους τὰς ναῦς. οἱ δὲ δι' ὑγροῦ καὶ ζῶν, πρὶν ὑπὸ πολεμίους γενέσθαι· καὶ γὰρ ξηροὶ οἱ νεκροὶ, καὶ διερὸς βροτὸς (Od. ζ, 201.) ὁ ζῶν. ἄλλοι δὲ τοῖς σκεύεσι καὶ τῷ ἱστίῳ ἀπὸ τοῦ πλοῦ. πάντα δὲ στρατηγικῶς· οὐδὲ γὰρ ἔδει ἐνδιατρίβειν πολεμίᾳ γῇ. κατηγοροῦσι δὲ τῆς μονῆς

11. πόλιν τῆς Κικονίας om. B.Q.

Μαρώνεια (μαραθὼν V.)] Vid. Eustath. p. 1615, 9. Steph. Byz. v. Ἴσμαρος et Μαρώνεια. Nomen post habuit a Marone Euanthis filio, qui erat Bacchi: vid. infra schol. ad 197. Suid. v. Ἰσμαρικὸς οἶνος. BARNES. Cf. Athen. 1. p. 33. d. 8. p. 351. e. cum Eustathio ad Od. ι, 198. p. 1623, 49. 53. = p. 347, 28. 34. ubi pro καταληφθῇ ed. Rom. habet καταλυφθῇ, scr. κατακαλυφθῇ. PORSON.

λέγεται] καλεῖται H.

15. ἐστι H. ἦν B.Q.

26. ὑγρασίαν] ὑγρότητα Q.

τοῦ Ὀδυσσέως, αὐτοῦ βοῶντος .... T. Ἄλλως. διερᾷ ποδί, ἤτοι τῇ πηδαλίῳ, ἵν' ᾖ ἀπὸ μέρους τοῖς πλοίοις. ἢ ἀντὶ τοῦ παραχρῆμα πρὶν τὴν νοτίδα τοῦ ἱδρῶτος ξηρανθῆναι, ἣν ἔχομεν ἐκ τῶν ἀγώνων τοῦ πολέμου. B.Q.

44. τοὶ δὲ μέγα νήπιοι] ἐναντία, φησὶ, λέγει ἑαυτῷ ὁ Ὅμηρος. ἐν μὲν γὰρ Ἰλιάδι παράγει τὸν Ὀδυσσέα τύπτοντα καὶ τοὺς μηδὲν αὐτῷ προσήκοντας τῶν στρατιωτῶν· "ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι, τὸν σκήπτρῳ ἐλάσασκε παραστάς" (Il. β, 198. 199. 189.). καὶ ταῦτα ποιῶν ἔπειθεν. ἐνταῦθα δὲ οὐδὲ τῶν ἰδίων ἄρχειν δύναται, οὐ γὰρ αὐτῷ πείθονται ἀποπλεῖν. στρατηγοῦ δέ ἐστι κακοῦ τὸ καταφρονεῖσθαι. οὔτε οὖν λέγειν δεινὸς ἦν (ἔπειθε γὰρ ἄν) οὔτε δόξῃ μέγας, ἐδέδιε γάρ. οὔτε μὴν χρηστὸς, ᾐροῦντο γάρ. ἐροῦμεν οὖν ὅτι εὐθὺς ἀπὸ τῆς νίκης ὄντες οἱ ἑταῖροι ἐγαυρίων τῇ τύχῃ. τοιαῦτα δέ τινα καὶ Ἀγαμέμνων πέπονθεν. ἠναντιοῦντο γὰρ αὐτῷ πολλάκις Ἕλληνες. παραδέδωκε δὲ ἡ ἱστορία ὅτι καὶ Ἀλεξάνδρῳ τῷ Μακεδόνι δεύτερον ἀπόστασιν ἐποίησαν οἱ ἴδιοι αὐτοῦ στρατιῶται. Q.

47. Κίκονες Κικόνεσσι γεγώνευν] πῶς οἱ ἀπολλύμενοι Κίκονες βοᾶν εἶχον; φαμὲν ὅτι ἐν τῷ πορθεῖσθαι ἐβόων, ἤκουσαν δὲ οἱ γείτονες οἱ τὴν ἤπειρον οἰκοῦντες, ὅ ἐστι μεσόγειοι. οἱ γὰρ πορθηθέντες παραθαλάσσιοι ἦσαν. B.Q.

48. ἐπισημαίνονται δὲ ἐν Ἰλιάδι γείτονα μὴ ὠνομάσθαι, ἐν δὲ Ὀδυσσείᾳ νῦν δὲ κἀκεῖ "ὣς οἱ μὲν δαίνυντο γείτονες ἠδὲ ἕταροι Μενελάου" ἴσως δὲ οὐδὲ ἐπῆλθεν αὐτῷ χρεία ἐν Ἰλιάδι, ἐνταῦθα δὲ περιέστη καιρός. H.

51. ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ] καὶ ἐπὶ τῶν Ἑλλήνων ἐν Ἰλιάδι (β, 467.) "ἔσταν δ' ἐν λειμῶνι Σκαμάνδρου ἀνθεμόεντι μυρίοι, ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ." δόξειεν ἄν τις ἐλάττωσιν εἶναι ἐκ τοῦ ἐπαγομένου τὰ ἄνθεα· ἐλάττω γὰρ τὰ ἄνθη τῶν φύλλων. οὐκ ἔστι δέ. οὐ γὰρ τοῦ πλήθους παραστατικὰ παρείληπται ἄμφω, ὥσπερ ἐπὶ τῶν φύλλων καὶ τῆς ψάμμου "λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν" (Il. β, 800.)· ἐπίτασις γάρ ἐστι κατὰ τὸ ἐπενηνεγμένον· ἀλλὰ τὰ μὲν φύλλα παρίστησι τὸ πλῆθος, τὰ δὲ ἄνθη

1. Lacunam, quæ nulla est in T., indicavit Prellerus.
14. ἠναντιοῦντο] ἐναντιοῦντο Q.
15. Addi ὅτι.
16. δεύτερον ἀπόστασιν] ὕστερον ἐπανάστασιν recte, ut videtur, Struvius.
22. νῦν δὲ κἀκεῖ ὣς] Hæc sic fere in ordinem redigenda collato Eustathio p. 1615, 25. ἐνταῦθα κεῖται, καὶ, ὡς —.

www.libtool.com.cn

τὴν τοῦ πλήθους ποικιλίαν ἔν τε τῇ καθοπλίσει καὶ τῇ ἄλλῃ ἀμφιέσει, τῶν Θρᾳκῶν μάλιστα, ὧν εἰσιν οἱ Κίκονες, ταῖς χροιαῖς ποικιλλόντων τὴν ἀμφίεσιν. Q.

54. στησάμενοι δ' ἐμάχοντο] ἀναγκαίως καὶ τοῦτο, ἵνα μὴ ἀπώλεια ἔτι ῥᾳδία γένηται τοῖς ἐκ μιᾶς νηὸς φεύγειν βουλομένοις. T.

56. ὄφρα μὲν ἠὼς ἦν] τὸ ἀπὸ πρωΐας μέχρι ὥρας ς' διάστημα. Q.

57. ἀλεξόμενοι] τουτέστιν ἀλέξοντες, ἀλλήλοις προσβοηθοῦντες. T. ἀμυνόμενοι ἢ ἐκκλίνοντες. V.

58. βουλυτόνδε] τὸν καιρὸν ἐν ᾧ οἱ βόες λύονται τῶν ἔργων. Q.V. ὁ ἥλιος μὲν ἐτράπετο ἡνίκα οἱ βόες λύονται. λέγει δὲ τὴν κλίσιν τῆς ἡμέρας, ἑβδόμην ὥραν. T.

59. κλῖναν] κλιθῆναι ἠνάγκασαν, ἢ ἐτράπησαν. T.

60. ἓξ δ' ἀφ' ἑκάστης νηὸς] τὸ πλῆθος τῶν ἀπολομένων εἶπεν ἑκάστην εἰς ναῦν ἀνδρῶν. καὶ δῆλον γὰρ ὅτι ἐπεμέρισεν ἐκ τῶν περισεσωσμένων τοῖς ἀποβεβληκόσι τινὰς ὑπὲρ τοῦ ἐν ἑκάστῃ τὸν ἴσον διαμένειν ἀριθμόν. T.

ἓξ δ' ἀφ' ἑκάστης] πολλοὶ κατηγόρουν τοῦ ἀπιθάνου, ὧν εἷς ἐστι καὶ Ζωΐλος. ἄτοπον γὰρ ἡγοῦνται μήτε πλέονας μήτε ἐλάττους ἀνῃρῆσθαι ἀφ' ἑκάστης νηός, ἀλλ' ἴσους ὡς ἀπὸ τοῦ ἐπιτάγματος. χρὴ δὲ τὰ πλάσματα πιθανὰ εἶναι. λύει δὲ ὁ Κράτης οὕτως. βούλεται Ὅμηρος ἑβδομήκοντα δύο ἀπολωλότας σημῆναι. πεζὸν μὲν τὸ φάναι, ἀπώλοντο οἱ ἑβδομήκοντα δύο καὶ σχεδὸν ἀδύνατον εἰπεῖν εἶναι ποιητικὸν διὰ τὸ μέτρον. δώδεκα γὰρ νεῶν οὐσῶν καὶ ἀπολομένων ἑβδομήκοντα δύο, εἴτε ἐκ μιᾶς νεὼς ἁπάντων εἴτε ἐκ πλειόνων, μηκέτι εἶναι τὸν ἀριθμὸν τῶν στρατιωτῶν πλήρη ἐν ἑκάστῳ πλοίῳ. ὅτε γὰρ ἔμελλον ἀποπλεῖν, τότε ἐξ ὀνόματος καλῶν πάντας καὶ εὑρὼν τοὺς λείποντας, ἀναγκαίως ἐμέρισεν εἰς τὰς ναῦς ἐξ ἴσης. ἐνέλιπον δὲ ἓξ εἰς ἑκάστην ναῦν ἐρέται. H.Q. οβ' ἀπολωλότας βουλὴ τῷ Ὁμήρῳ σημῆναι. πεζὸν οὖν τὸ φάναι, ἀπώλοντο οἱ οβ', καὶ σχεδὸν ἀδύνατον εἰπεῖν ποιητικῶς διὰ τὸ μέτρον. B.

62. ἔνθεν δὲ προτέρω πλέομεν] ἀντὶ τοῦ εἰς τοὔμπροσθεν· καὶ ἑξῆς

1. ἀμφιέσει — χροιαῖς — ἀμφίεσιν] ἀμφιέσσει — χροίαις — ἀμφίεσσιν Q. Recte idem ad ζ, 103. ubi idem scholion legitur loco alieno.

19. ἴσους ὡς ἀπὸ J. G. Schneiderus apud Buttm. pro ἴσως ἀπό.

22. ἀπώλοντο — ἀπολομένων scripsi pro ἀπώλλοντο et ἀπολλωμένων, quæ etiam ex ἀπώλλυντο et ἀπολλυμένων corrupta esse possunt. Sed illud probabilius: conf. schol. κ, 208. λ, 51. Eodem vitio ἀπολλομένων in T. p. 411, 12., in H. p. 412, 6. 20. καὶ σχεδὸν — ἑβδομήκοντα δύο om. Q.

www.libtool.com.cn

ὁμοίως "οὐδ' ἄρα μοι προτέρω νῆες κίον." οὐχ ὡς κατεχομένων τῶν νεῶν κατ' ἐμποδισμὸν τινὸς δαίμονος, ἀλλ' ὅτι ἐγὼ οὐκ εἴασα τὰς ναῦς πλεῦσαι, πρὶν κατὰ τὸ ἀρχαῖον ἔθος ἀνακαλέσασθαι τοὺς ἑταίρους. ᾤοντο γὰρ τοὺς ἐν ἀλλοδαπῇ γῇ ἀποθνήσκοντας δεῖν καλεῖν, ἵνα μετάγωσιν αὐτοὺς εἰς τὴν πατρίδα. οὕτω καὶ Ἀθηναῖοι κενοτάφιον ποιοῦντες τῶν ἐν τῇ θαλάττῃ ἀπολομένων ἔστησαν παρὰ τὸν αἰγιαλόν, καὶ ἐφώνουν τρίτον αὐτῶν τὰ ὀνόματα, καὶ οὕτως ἀνεχώρουν· τὸ δὲ ἑξῆς οὕτως, πλέομεν ἀκαχήμενοι ἦτορ φίλους ὀλέσαντες ἑταίρους, ἄσμενοι ἀπὸ θανάτου. H.

63. ἄσμενοι] ἀκαχήμενοι διὰ τοὺς ἀπολωλότας, ἄσμενοι διὰ τὸ σεσῶσθαι αὐτούς. T.

64. οὐδ' ἄρα μοι προτέρω] οἷον οὐ πρότερον ἀνήχθημεν πρὶν τὰ νομιζόμενα τοῖς ἑταίροις ποιῆσαι παλαιῷ θεσμῷ κρατοῦντες. ἐν πολέμῳ γὰρ ἀποθανόντας εἰς τρὶς ἀνακαλεῖν, τουτέστιν ἵνα μή τις πολλάκις ἐμπνέων ὡς νεκρὸς ἀπολειφθείη. οὐ μέντοι προαπέστημεν ἐμβάντες, ἀλλὰ προσεκαρτεροῦμεν ἕκαστον ἀναβοῶντες, εἰ δυνάμεθά τινα τῶν ἀπολελειμμένων σῶσαι καὶ μὴ ἀπολέσθαι ἐν τῇ πολεμίᾳ. καὶ ἐν Ἰλιάδι (μ, 122.) "ἀλλ' ἀναπεπταμένας ἔχον ἀνέρες." φαίνεται δὲ διὰ τοῦτο τὸ φιλέταιρον τοῦ Ὀδυσσέως. T.

65. τρὶς ἕκαστον] τῶν ἀπολομένων ἐν ξένῃ γῇ τὰς ψυχὰς εὐχαῖς τισὶν ἐπεκαλοῦντο ἀποπλέοντες οἱ φίλοι εἰς τὴν ἐκείνων πατρίδα, καὶ ἐδόκουν κατάγειν αὐτοὺς πρὸς τοὺς οἰκείους. H.

πρίν τινα] ἀρχαῖον ἔθος ἦν τῶν ἐπὶ ξένης ἀπολλυμένων τὰς ψυχὰς ἐκ τρίτου ἀνακαλεῖν. τοῦτο δὲ ἐγίνετο ἵνα εἴ τις ὑπολίποιτο ἐν τῷ πεδίῳ προσέλθοι. Q. ἀρχαῖον ἔθος τῶν ἐπὶ ξένης ἀπολλυμένων τὰς ψυχὰς ἀνακαλεῖν τρίτον τοὺς περιλειφθέντας, ἐπὰν ἀπίωσιν οἴκαδε. ἢ ἵνα καὶ εἴ τις ἀπολίποιτο ἐν τῷ πεδίῳ προσέλθοι. V.

68. λαίλαπι θεσπεσίῃ] ἐλλείπει ἡ σύν· πρόθεσις, σὺν λαίλαπι. λαῖλαψ δὲ ὁ μεθ' ὑετοῦ σφοδρὸς ἄνεμος. προκατασκευάζει δὲ τὴν ἐσομένην πλάνην καὶ τὴν ἀπόρριψιν τὴν εἰς τοὺς Λωτοφάγους καὶ ἐξ ἐπιβουλῆς τῶν θεῶν γεγενῆσθαι τὸν χειμῶνα. T.

7. τρίτων] Corrigendum τρὶς hic et in scholio proximo.

13. κρατοῦντες—ἀνακαλεῖν] Verba non integra. In κρατοῦντες Prellerus Cratetis nomen latere conjicit, qui nominatur in scholio v. 60. De sensu verborum constat ex scholiis v. 62. 65.

14. τρὶς] τρεῖς T. Idem vitium apud Eustath. p. 1614, 59.

20. ἀπολομένων] ἀπολλυμένων Eustath. p. 1614. extr.

26. ἀπίωσιν Barnes. pro ἐπίωσιν.

27. εἴ τις Buttm. pro ἔτι.

www.libtool.com.cn

69. ὀρώρει δ' οὐρανόθεν νύξ] ἐπιφώνημα ῥητορικόν. P. ἤτοι σκότος. νύκτα δὲ οὐδέποτε ἐξ Ὀλύμπου ἐρεῖ γεγονέναι ὁ ποιητής. φαίνεται τὴν νύκτα· "ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν." H.

73. προερύσσαμεν] προερέσσαμεν διὰ τοῦ ε Ἀρίσταρχος. M.

79. καί νύ κεν ἀσκηθὴς] τηρεῖ ὡς . . . . μικρὸν τῇ σωτηρίᾳ τοῦ Ὀδυσσέως. καὶ γὰρ ἔμπροσθεν ἀπὸ Καλυψοῦς πλέοντι τῆς γῆς τὸ ναυάγιον ἐπιγίνεται, καὶ ἐξῆς ἤδη τὴν Ἰθάκην ὁρῶντι, ὅτε παρ' Αἰόλου πλεύσαντι ἐπέθεντο οἱ ἑταῖροι. T.

80. Μάλειαν] νῦν ἐνικῶς Μάλειαν, ἑτέρωθι δὲ πληθυντικῶς· "ἀλλ' ὅτε δή ῥα ἔμελλε Μαλειάων ὄρος αἰπὺ ἵξεσθαι" (Od. δ, 514.). ἔστι δὲ ἀκρωτήριον τῆς Λακωνικῆς. B.E.Q. ἀκρωτήριον τῆς Λακωνικῆς λίαν ἐπικίνδυνον. ὅθεν ἡ παροιμία "Μαλέαν δὲ κάμψας ἐπιλαθοῦ τῶν οἴκαδε." MS. Barnes.

81. παρέπλαγξεν δὲ Κυθήρων] τῆς Λακωνικῆς πόλεως· ὡς ἐκεῖ ἐν Κυθήροις αὐτοῦ βουλομένου καταχθῆναι. νησύδριον δὲ πρὸ τῆς Λακωνικῆς. Καὶ ἄλλως. ἀνέμου ὄντος σφοδροῦ ἀπὸ τῆς περὶ Μάλειαν καὶ Κύθηρα θαλάττης εἰς τὴν Λιβύην ἀπηνέχθην, ὅπου ἦσαν οἱ Λωτοφάγοι. Q. ἀναγκαίως πρόσκειται, ἵνα μὴ ζητῶμεν, εἴπερ Μάλειαν ὑπερέβαλε, πῶς τοῦτ' ἠδύνατο οὐδὲ τῶν Κυθήρων προσδραμὼν, τοῦ μεταξὺ ὄντος πόρου; αἰτίους οὖν φησὶ γὰρ, Βορέας καὶ κῦμα καὶ ῥοῦς ἔνθεν ἀπὸ τῆς περὶ τὰ Κύθηρα θαλάσσης ἀπέσπασεν ἡμᾶς. πιθανῶς, ἵνα τὴν ἔξω πλάνην πορίσηται. T.

84. γαίης Λωτοφάγων] τοὺς Λωτοφάγους ἐν Λιβύῃ ὑποτίθενται εἶναι οἱ νεώτεροι. μέχρι δὲ νῦν Αἰγύπτιοι βοτάνην ξηραίνοντες ἀλοῦσι καὶ πέττοντες ἐσθίουσιν. Q. λωτός ἐστι βοτάνη εὔοδμος. ἔνιοι δὲ μυρόλωτον λέγουσι βρῶμα. P.Q.

οἵτ' ἄνθινον εἶδαρ ἔδουσιν] ἴδιον εἶπεν, ὡς τοιούτου ὄντος τοῦ λωτοῦ οἷον ἄνθους τινός· οὐ γὰρ εἶπε δένδρου τινὸς καρπὸν ἢ σπέρμα, ἀλλ' ἄνθινον. εἶδαρ δὲ βρῶμα. T.

88. προΐειν] προέπεμπον. V.

2. ὁ ποιητής—νύκτα] Verba non integra.

4. Ἀρίσταρχος] ἀρίων M., ut supra aliquoties. Correctum ex Eustathio p. 1615, 57. ubi male προερέσαμεν.

11. ἀκρωτήριον] νῆσος B.Q.

15. νησύδριον δὲ] ἢ συνέδριον δὲ Q. "Quamvis sat magna sit insula Cythera, ne dubites tamen scripsisse scholiasten νησύδριον δέ." BUTTM.

17. Κύθηρα correxi pro Κύθηραν.

18. ζητῶμεν Prellerus. ζητῶν T.

19. πῶς τοῦτ' Prellerus. οὐκ T.

20. Inter οὖν et φησὶ (φασὶ T.) aliquid excidit. οὖν φησίν· ὁ γὰρ Prellerus.

26. βρῶμα om. P.

www.libtool.com.cn

89. σῖτον ἔδοντες] ἵνα ἀπροσδόκητόν τι ἐπαγάγῃ· οὐ γὰρ ἦσαν σῖτον ἔδοντες. ἐπηκολούθει τῇ παραθέσει τοῦ λωτοῦ ὄλεθρος, ὥστε καὶ ἡ εὔνοια καὶ ἡ φιλανθρωπία τὸν ὄλεθρον περιεῖλε τῶν εὐτυχούντων ὑπὸ ἡδονῶν τοῦ ἐδέσματος. T.

ἐκ τοῦ Ἡρακλείτου. καθόλου δὲ τὴν Ὀδυσσέως πλάνην εἴ τις ἀκριβῶς ἐθέλει σκοπεῖν, ἠλληγορημένην εὑρήσει. πάσης γὰρ ἀρετῆς καθάπερ ὄργανόν τι τὸν Ὀδυσσέα παραστησάμενος ἑαυτῷ διὰ τοῦτο πεφιλοσόφηκεν, ἐπειδήπερ τὰς ἐκνεμομένας τὸν ἀνθρώπινον βίον ἤχθηρε κακίας, ἡδονὴν μέν γε τὸ Λωτοφάγων χωρίον, ξένης γεωργὸν ἀπολαύσεως, ἣν Ὀδυσσεὺς ἐγκρατῶς παρέπλευσε, τὸν δ' ἄγριον ἑκάστου θυμὸν ὡσπερεὶ καυτηρίῳ τῇ παραινέσει τῶν λόγων ἐπήρωσε. Κύκλωψ δὲ οὗτος ὠνόμασται ὁ τοὺς λογισμοὺς ὑπολωπῶν. T.

90. κήρυκα] ὁ κῆρυξ ἔμφασιν εἶχε βασιλικῆς καὶ δημοσίας πρεσβείας. Q. τρίτατον κήρυκα, ἵνα μὴ εὐεπιχείρητοι ὦσι διὰ τὸν κήρυκα. P.V.

92. οὐδ' ἄρα Λωτοφάγοι] δίκαιοι ὄντες ἄνδρες βίᾳ τινι οὐ κατεῖχον, ἀλλὰ πειθοῖ. τὸ δὲ "μήδοντο" δηλοῖ ὅτι οὐχ ἑκούσιος ἦν ἐκείνων ὁ γενόμενος ὄλεθρος. καὶ γὰρ οἱ Λωτοφάγοι δίκαιοι ὄντες βίᾳ οὐδένα κατεῖχον, ἀλλὰ τῷ λόγῳ μόνῳ ἔθελγον. Q.

97. νόστου τε λαθέσθαι] ἀκολούθως τῇ φύσει, ὡς ἐπὶ ἀλόγων ζῴων, οὐχ ὡς μέντοι τοῦ λωτοῦ λήθην ἐμποιοῦντος, ἀλλὰ διὰ τὴν ἡδονὴν καταφρονούντων τοῦ νόστου. ὅμοιον δέ ἐστι τῷ "λάθοντο δὲ θούριδος ἀλκῆς" (Il. ο, 322.). οὐ γὰρ ἐπελάθοντο, ἀλλὰ κατημέλησαν. H.Q.

98. τοὺς μὲν ἐγὼν ἐπὶ νῆας ἄγον] διδάσκει ὅτι οὐ χρὴ ὑπεριδεῖν ἑταίρους κινδυνεύοντας, ὥσπερ καὶ ἐν τοῖς ἑξῆς πρὸς τοὺς ἐκθηριωθέντας ὑπὸ Κίρκης μόνος τολμᾷ καὶ ἔρχεται. ἐγκράτειαν δὲ σημαίνει αὐτοῦ, εἰ μηδὲ τὴν ἀρχὴν ἥψατο τοιαύτης ἡδονῆς, ἣ καὶ γευσάμενος ἀπέστη καὶ οὐκ ἐνικήθη τῆς ἰδίας φύσεως. H.Q.

106. Κυκλώπων δ' ἐς γαῖαν] ζητεῖ Ἀριστοτέλης πῶς ὁ Κύκλωψ ὁ Πολύφημος μήτε πατρὸς ὢν Κύκλωπος, Ποσειδῶνος γὰρ ἦν, μήτε μητρὸς, Κύκλωψ ἐγένετο. αὐτὸς δὲ ἑτέρῳ μύθῳ ἐπιλύεται. καὶ γὰρ ἐκ Βορέου ἵπποι γίνονται, καὶ ἐκ Ποσειδῶνος καὶ τῆς Μεδούσης ὁ Πήγασος ἵππος. τί δ' ἄτοπον ἐκ Ποσειδῶνος τὸν ἄγριον τοῦτον γε-

2. παραθέσει Prellerus. θέσει T.
5. Ἡρακλείτου] Alleg. c. 70.
14. ἵνα μὴ εὐεπιχείρητος] Cf. schol. κ, 102.
20. φύσει Buttm. pro φωνῇ.
21. λωτοῦ addidit Buttm.
22. καταφρονούντων H. καταφρονοῦντες Q.

www.libtool.com.cn

γονέναι; ὥσπερ καὶ τὰ ἄλλα ἐξ αὐτοῦ ἀναλόγως τῇ θαλάσσῃ ἄγρια γεννᾶται ἢ τερατώδη ἢ παρηλλαγμένα. γελοίως δ' αὐτοὺς ἐτυμολογεῖ Ἡσίοδος "Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρω σφέων κυκλοτερὴς ὀφθαλμὸς ἐείς ἐνέκειτο μετώπῳ." ὁ δ' Ὅμηρος φαίνεται φύσιν αὐτῶν λέγων· εἰ γὰρ ἦν τι τοιοῦτον, ὥσπερ τὰς ἄλλας ἰδιότητας τῶν ὀφθέντων ἔγραψεν ἐπ' αὐτοῦ Κύκλωπος, τὸ μέγεθος, τὴν ὠμότητα, οὕτω κἂν τὸ περὶ ὀφθαλμοῦ ἔγραψε. φησὶ δὲ ὁ Φιλόξενος ὅτι ἐπλάνησε τὸν Ἡσίοδον τὸ τὸν ἕνα ὀφθαλμὸν τυφλωθέντα μηκέτι ὁρᾶν. οὔτε δὲ περὶ πάντων τῶν Κυκλώπων εἶπε τοῦτο Ὅμηρος, εἰκός τε τὸν Πολύφημον κατά τινα ἄλλην αἰτίαν τὸν ἕτερον τῶν ὀφθαλμῶν ἀπολωλεκέναι πρὸ τῆς Ὀδυσσέως ἀφίξεως. οἱ δὲ ἀντιλέγοντες τούτῳ φασὶν, εἰ δύο εἶχεν ὀφθαλμοὺς καὶ τὸν ἕνα Ὀδυσσεὺς ἐτύφλωσε, πῶς συμφωνήσει τὸ ὑπ' αὐτοῦ λεγόμενον, "Κύκλωψ, εἴ καί τίς σε καταχθονίων ἀνθρώπων ὀφθαλμοῦ εἴρηται ἀεικελίην ἀλαωτύν" (502.); οὐκ εἶπεν ὀφθαλμῶν. ἔτι δὲ καὶ τὸ προκείμενον παρὰ τοῦ Κύκλωπος, ὅτι δύναταί μου ὁ Ποσειδῶν ἰάσασθαι τὸν ὀφθαλμόν. εἰ γὰρ ἦν ἑτερόφθαλμος ἤδη ὑπάρχων, ἔλεγεν ἂν αὐτῷ Ὀδυσσεὺς, καὶ πῶς τὸν ἕτερον οὐκ ἐθεράπευσεν; ἀλλ' εἶπεν "ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' ἐνοσίχθων" (525.). δι' αὐτοῦ δὲ τούτου ἀπολογοῦνται περὶ τοῦ εἶναι αὐτὸν διόφθαλμον, διὰ τοῦ εἰπεῖν, εἰ τὸν πρῶτον πεπωθέντα ὀφθαλμὸν οὐκ ἐθεράπευσεν, οὐδὲ τοῦτον ἰάσεται. H.Q.

Κυκλώπων] ἐν Σικελίᾳ ὑποτίθενται οἱ νεώτεροι τοὺς Κύκλωπας. πάντες μὲν οἱ Κύκλωπες ἀγαθοί εἰσι καὶ θεοὺς τιμῶντες, χωρὶς τοῦ Πολυφήμου, ὅστις ἦν ἡγεμὼν αὐτῶν· ἀφ' οὗ καὶ τοὺς Κύκλωπας ὑπερφιάλους λέγει. H.

ὑπερφιάλων, ἀθεμίστων] ἢ τῶν μεγαλοφυῶν τῷ σώματι, τῶν δισήμων γὰρ ἡ λέξις, ἀθεμίστων δὲ τῶν νόμοις μὴ χρωμένων· φησὶ γὰρ "θεμιστεύει δὲ ἕκαστος παίδων ἠδ' ἀλόχων." εἰ γὰρ ἦν ἀθεμίστων ἀντὶ τοῦ ἀδίκων, πῶς λέγει "οἵ ῥα θεοῖσι πεποιθότες;" εἰ δ' εἴπῃ τις, καὶ πῶς ὁ Πολύφημός φησιν "οὐ Κύκλωπες Διὸς αἰγίοχου ἀλέγουσι," (275.) σκοπείτω τὸ πρόσωπον, ὅτι Πολυφήμου ἐστὶ

3. Ἡσίοδος] Theog. 144.
ὄνομ' ἦσαν] οὔνομ' ἦσαν H. ἦσαν οὔνεμ' (sic) Q.: unde Maius ἔσαν οὔνεμ'.
4. ἔεις (sic) ἐνέκειτο H. εἷς ἐνέκειτο τῷ Q. Recte scriptum in Etym. Gud. p. 352, 44. ubi quæ de Cyclope dicuntur comparanda cum annotatione scholiastæ.
5. γὰρ] γοῦν Buttm.
7. κἂν Buttm. pro καί.
10. ἀπολωλεκέναι H. ἀπολωλέναι Q.

www.libtool.com.cn

τοῦ ὠμοφάγου καὶ θηριώδους. καὶ Ἡσίοδος "ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖσι πετεινοῖς ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς, ἀνθρώποισι δ' ἔδωκε δίκην." ὥστε Πολύφημον μόνον λέγει ὑπερήφανον καὶ ἄδικον, τοὺς δὲ λοιποὺς πάντας Κύκλωπας εὐσεβεῖς καὶ δικαίους καὶ πεποιθότας τοῖς θεοῖς, ὅθεν καὶ ἀνῆκεν αὐτοῖς αὐτομάτως ἡ γῆ τοὺς καρπούς. H. πῶς ὑπερφιάλους καὶ ἀθεμίστους καὶ παρανόμους εἰπὼν τοὺς Κύκλωπας ἄφθονα παρὰ θεῶν αὐτοῖς ὑπάρχειν λέγει τὰ ἀγαθά; ῥητέον οὖν ὅτι ὑπερφιάλους μὲν διὰ τὴν ὑπεροχὴν τοῦ σώματος, ἀθεμίστους δὲ τοὺς μὴ νόμῳ χρωμένους ἐγγράφῳ διὰ τὸ ἕκαστον ἴδιον ἄρχεσθαι· "θεμιστεύει δὲ ἕκαστος παίδων ἠδ' ἀλόχου" (115), ὅπερ ἀνομίας σημεῖον. Ἀντισθένης δέ φησιν ὅτι μόνον τὸν Πολύφημον εἶναι ἄδικον· καὶ γὰρ οὗτος τοῦ Διὸς ὑπερόπτης ἐστίν. οὐκοῦν οἱ λοιποὶ δίκαιοι· διὰ τοῦτο γὰρ καὶ τὴν γῆν αὐτοῖς τὰ πάντα ἀναδιδόναι αὐτόματον, καὶ τὸ μὴ ἐργάζεσθαι αὐτὴν δίκαιον ἔργον ἐστίν. ἀλλ' ἔμπροσθεν βιαίως βιαίους, "οἳ σφέας σινέσκοντο" (Od. ζ, 6), ὥσπερ καὶ τοὺς Γίγαντας· "ὅσπερ ὑπερθύμοισι Γιγάντεσσιν βασίλευεν" (Od. η, 59), ὥσπερ καὶ τοὺς Φαίακας βλαπτομένους ὑπ' αὐτῶν μεταναστῆναι. T. δίκαιοι οὗτοι πλὴν Πολυφήμου. ὅθεν τὸ μὲν ὑπερφιάλων, νῦν μεγάλων, τὸ δὲ θεμίστων, μὴ ἐχόντων χρείαν νόμων διὰ τὸ θεμιστεύειν ἕκαστον παίδων ἠδ' ἀλόχων. πῶς οὖν ἠδίκουν τοὺς Φαίακας καὶ ἐλύπουν (ζ, 5. 6.); διὰ τὸ ἀνόμοιον τῆς πολιτείας. V. et ex parte B.

107. οἵ ῥα θεοῖσι πεποιθότες] φασὶ γὰρ ὅτι διὰ τὸ εὔκρατον τῶν ἀέρων προνοοῦσιν αὐτῶν οἱ θεοὶ ὡς ἀπογόνων, "ἐπεί σφισιν ἐγγύθεν εἰσίν," ἢ ὡς δικαίων. μόνος γὰρ ἄδικος ὁ Πολύφημος. ἀπάνευθε γὰρ ὧν ἀθεμίστια ᾔδη καὶ οἷος ποιμαίνεσκε, τῶν δ' ἄλλων ἕκαστος θεμιστεύει παίδων ἠδ' ἀλόχων. ὅθεν μηδὲ τὸ σπήλαιον ἀνοίξαντες πολυπραγμονοῦσί τί πέπονθε καὶ μαντείαις χρῶνται καὶ θεοὺς νομίζουσι. "ἀλλὰ σύγ' εὔχεο πατρὶ Ποσειδάωνι ἄνακτι" (v. 412). T.

111. ἐριστάφυλον] ἐκ τελείου καρποῦ τῆς σταφυλῆς γινόμενον.

1. Ἡσίοδος] Op. 277.
3. δ' ἔδωκε] δὲ δέδωκε H.
ὥστε Πολύφημον —] Hanc Aristarchi sententiam fuisse discimus ex Apollonii Lex. s. v. ἀθεμίστων.
8. Addidi λέγει.
12. οὗτος τοῦ Διὸς ὑπερόπτης Prellerus. ὅπως τοῦ διὸς εἶποτε T.
14. ἐργάζεσθαι Prellerus. ἄζεσθαι T.
15. βιαίως delendum aut in εἶπε mutandum.
20. χρείαν—ἀλόχων] νόμους, φύσει δὲ δικαίων B.

www.libtool.com.cn

P.V. *τὸν ἐκ τελείου καὶ εὐτραφοῦς σταφυλῆς γινόμενον. καὶ γὰρ ἀγρία ἄμπελος μικρὰν φέρει τὴν σταφυλήν.* T.

καί σφιν Διὸς ὄμβρος ἀέξει] *πλουτίζει, ἀέξει αὐτὰ αὐτοῖς, ἤτοι τοῖς Κύκλωψι, ἢ αὐτοῖς τοῖς πράγμασι.* P.

112. *βουληφόροι*] *εἰς ἃς αἱ βουλαὶ ἀναφέρονται ἵνα ἐπιτελεσθῶσι.* P.V.

οὔτε θέμιστες] *ἀθεμίστους λέγει οὐχ ὡς ἀδίκους, ἀλλ' ὡς μὴ θέμιδος ἤτοι νόμου χρῄζοντας εἰς εὕρεσιν τοῦ καλοῦ. ἦσαν γὰρ ἀγαθοί.* Q.

θεμιστεύει] *κατὰ τὸ δίκαιον, ὅσιον βασιλεύει.* T.

115. *οὐδ' ἀλλήλων ἀλέγουσι*] *οὐ φροντίζουσιν ἀλλήλων ὅσον ἕνεκεν ὑποταγῆς. ἕκαστος γὰρ αὐτοκράτωρ ἐστὶ καὶ οὐχ ὑποτάσσεται τῷ ἑτέρῳ. ἔπειτα τοῦ Πολυφήμου κράζοντος ἦλθον πάντες.* Q.

116. *νῆσος ἔπειτα λάχεια*] *Ζηνόδοτος, τὴν βραχεῖαν, γράφων διὰ τοῦ ε, ἐλάχεια. οἱ δὲ τὴν εὔσκαφον, οἱ δὲ τὴν εὔγειον, τὴν λαχαίνεσθαι καὶ σκάπτεσθαι δυναμένην.* H.Q. *λάχεια*] *ἢ τὸ τῆς νήσου ὄνομα γνωσθὲν ἐκ Κίρκης Ὀδυσσεῖ ἢ ἡ εὔγειος, ἡ ἐπιτηδεία εἰς τὸ λαχαίνεσθαι ἤτοι σκάπτεσθαι, ὅθεν καὶ τὸ λάχανον. ἢ ἐλάχεια, ἵνα ὥσπερ λιγὺς λίγεια οὕτω καὶ ἐλαχὺς ἐλάχεια, ἡ ἐλαχίστη.* P. *λάχεια, ἀπὸ τοῦ λαχαίνω. οὕτως ἀναγνωστέον, ἵν' ᾖ εὔγεως, εὔσκαφος, παρὰ τὸ δύνασθαι αὐτὴν λαχαίνεσθαι καὶ σκάπτεσθαι.* E.

εὐάροτος γῆ. H.Q.

οἰκονομικῶς δὲ εἰς ταύτην νύκτωρ κατήχθησαν, ἵνα μὴ ἀπόλωνται πάντες. Q.V.

παρὲκ λιμένος τετάνυσται] *τοῦ ἐν αὐτῇ· ἡ γὰρ τῶν Κυκλώπων χώρα ἀλίμενος, "ἀλλά μοι εἶφ' ὅπη ἔσχες, ἢ που ἐπ' ἐσχατιῆς" (279.). ὑπευλήσατο δὲ τοιαύτην νῆσον, ἵνα μὴ πάσαις καθορμίσωνται ταῖς ναυσίν.* T.

14. λάχεια] λαχεῖα Q.
γράφων correxi pro γράφει.
15. ἐλάχεια] Hæc scriptura quum Zenodoto tribuatur, non dubitandum quin vulgata hic ut alibi plerumque, ubi lectio Zenodotea diserte memoratur, probata fuerit Aristarcho.
17. ἡ γ . . . ἢ] Paucæ litteræ cultro interceptæ: ita tamen ut dubium etiam sit an ad hoc scholium pertinuerint hæc ἡ γ . . BUTTM. Scripsi ἢ ἡ εὔγεως, ἡ. Conf. Eustath. p. 1619, 31., Hesych. et Etym. M. s. v. Λάχεια.
19. λίγεια] Vid. Gramm. m. ampl. §. 62. Obs. 3. c. not. BUTTM.
20. λάχεια] λαχεῖα E.
23. κατήχθησαν] κατηνέχθησαν V.
25. τοῦ Prellerus. τὸ T.
27. ὑπευλήσατο corruptum.

www.libtool.com.cn

119. ἀπερύκοι] ἀπείργοι, κωλύοι. V.

124. μηκάδας] ἤτοι μηκωμένας, ἀπὸ τῆς φωνῆς. Q.V. μηκὴ γὰρ λέγεται ἡ τῶν αἰγῶν φωνή. ἢ ἀπὸ τοῦ ἐπὶ τὰ μήκη κίειν, ὅ ἐστι πορεύεσθαι. V.

125. νέες πάρα μιλτοπάρῃοι] μιλτωτὰς παρειὰς ἔχουσαι, τουτέστι πρῴρας κεχρισμένας. μίλτος δέ ἐστι πηλὸς ῥουσιώδης. E.Q.V.

126. κάμοιεν] κατασκευάσαιεν. V.

127. αἵ κεν τελέοιεν] ἅστινας τὰς νῆας οἱ ναυτικοὶ κατεσκεύασαν, ἵνα τὰ πρὸς ἕκαστον καιρὸν ἐπιτήδεια φέρωσιν. Q.

128. οἷά τε πολλὰ] ἔλλειψιν ἔχει προθέσεως, ἵνα λέγῃ, δι' οἷα πολλὰ αἴτια καὶ πράγματα ἐπ' ἀλλήλους περῶσιν ἄνθρωποι. P.

130. οἵτινες οἱ ναυπηγοὶ τοῖς Κύκλωψι τὴν νῆσον κατεσκεύασαν. H. αὐτοὶ οἱ κατοικοῦντες τὴν νῆσον ἔκαμνον, τουτέστιν ἐξημέρουν γεωργήσαντες. T.

135. ἀμῷεν] γρ. ἀμμοῷεν. H.

ἐπ' οὔδας] γρ. ὑπ' οὔδας. H.

136. πείσματος] ἀπογείου σχοινίου ᾧ πείθεται ἡ ναῦς. P.V.

137. εὐνὰς] ἀγκύρας. εὐνὰς λέγει τὰ τῶν πλοίων σιδηρᾶ ἀγκύρια διὰ τὸ εὐνάζεσθαι ὑπὸ τούτων τὰ πλοῖα καὶ ἠρεμεῖν. Q.

138. ἀλλ' ἐπικέλσαντας] ἐποκείλαντας. Gl. H. ἀλλ' ἐπιψαύσαντας ἐν τοῖς τοιούτοις λιμέσι τὰ πλοῖα μεῖναι χρόνον ἀβλαβῆ, ἕως οὗ ὁ τῶν ναυτῶν θυμὸς ἐποτρύνῃ αὐτὰς πρὸς τὸν πλοῦν. Q. ἐπιψαύσαντας τῇ γῇ. ἀπὸ τοῦ κέλλειν, ὅθεν καὶ ὁ κόλπος. P.

142. καί τις θεὸς ἡγεμόνευεν] ἵνα μὴ τῇ τῶν Κυκλώπων προσορμίσαντες γῇ τὰς ναῦς ἀπολέσωμεν. T.

143. νύκτα δι' ὀρφναίην] εἰς τὴν νύκτα τὴν σκοτεινήν. τὸ γὰρ διά ἀντὶ τοῦ εἰς ἐκληπτέον. Q.

144. ἀὴρ] ἀορασία, ἢ ἀχλύς. H.

παρὰ] οὕτως, περὶ νησίν. H.

145. χωρὶς τοῦ ν τὸ οὐρανόθεν. H.

147. ποτὶ χέρσον] πρὸς τὴν γῆν. V.

148. τὸ κέλσαι καὶ τὸ ἐπικέλσαι ἐν λιμένι στῆναί ἐστι. P.

151. ἀποβρίξαντες] ἀποβρίξαι ἐστὶ τὸ ἐπὶ τῇ βορᾷ καὶ τροφῇ

2. μηκὴ] μήκη V.

6. ῥουσιώδης] ῥούσιος E.: quæ usitata forma est, cujus exempla v. apud Ducangium.

15. ἀμμοῷεν] Sic H. Voluit aut ἀμμῷεν vel ἀμόφεν.

33. ἐστὶ τὸ ἐπὶ—τροφῇ] κυρίως τὸ ἀπὸ τῆς βορρᾶς καὶ τροφῆς P.

www.libtool.com.cn

κοιμηθῆναι. H.P.Q. βρίζειν τὸ βαρὺ ἴζειν. ὅθεν ἐν Ἰλιάδι (δ, 223.) ἐπὶ ἀμελείας· ἢ τὸ μετὰ βορὰν ἴζειν, ὡς ἐνταῦθα. P. ἐπὶ τοῦ ἀπονυστάζοντος τίθησι τὴν λέξιν, οὐκ ἐπὶ τοῦ βαθέως ὑπνῶσαι· καὶ ἐν Ἰλιάδι "ἔνθ' οὐκ ἂν βρίζοντα" (δ, 223), ἤγουν νυστάζοντα. T.

153. ἐδινεύμεσθα] περιηρχόμεθα, ἀνεστρεφόμεθα. V.

154. ὦσαν δὲ νύμφαι] ὅμοιόν ἐστι τῷ "οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμε·" τὰ γὰρ συμβεβηκότα ὡς αἴτια λαμβάνει. γέγονε δὲ ἀφορμὴ τοῦ ζητῆσαι αὐτοὺς καὶ τὴν τῶν Κυκλώπων χώραν τὸ εὑρεῖν εὐτυχῆ ἄγραν, καθὸ καὶ οἱ ἑταῖροι συνεβούλευον, "τυρῶν αἰνυμένους ἰέναι πάλιν." H.

Διὸς αἰγιόχοιο] ἀπὸ τοῦ ἔχειν τὰς καταιγίδας. ἢ ὀχηθεὶς ὑπὸ τῆς αἰγός. E.

155. ὀρεσκῴους] τὰς ἐν τῷ ὄρει διατριβούσας. H.

156. αἰγανέας δολιχαύλους] ἀκόντια μακρὰ ὁλοσιδήρους αὐλοὺς ἔχοντα, τουτέστι τὰ σιδήρια. P. ἀκόντια ἐπιμήκεις τοὺς αὐλοὺς ἔχοντα, ἤτοι τὰ σιδήρια. E.V. αὐλός ἐστι τὸ σιδήριον εἰς ὃ ἐμβάλλεται τὸ ξύλον· δηλοῖ δὲ τὰς μακροσιδήρους. H. μακρὰς ἢ ἐπὶ δολιχὸν διήκουσας, δολιχοδρόμους, ἢ τὰς μακρὸν αὐλὸν ἐχούσας. αὐλὸς δὲ τὸ κοῖλον τῆς ἐπιδορατίδος, εἰς ὃ ἐντίθεται τοῦ ξύλου τὸ ἄκρον. T.

161. ἐς ἠέλιον καταδύντα] πρὸ τοῦ καταδῦναι ἥλιον. ἀντὶ γὰρ ἀπαρεμφάτου ἐγκλίσεως νῦν τὴν μετοχὴν ἔλαβεν. Q.

165. ἠφύσαμεν] ἠντλήσαμεν. Q.

166. ἐλεύσσομεν] ἄνω τὸ ἐλεύσσομεν ἐπὶ μὲν τῆς γαίας καὶ τοῦ καπνοῦ κοινόν· ἐπὶ δὲ τοῦ φθόγγου ὑπακουστέον τὸ ἠκούομεν, ὡς τὸ "καρπαλίμως οἶνον δὲ μελίφρονα οἰνίζεσθε, σῖτον δ' ἐκ μεγάρων" (Il. θ, 505.). ἐπὶ τοῦ σίτου δεῖ ὑπακούειν τὸ φέρετε. Q.

167. καπνόν τ' αὐτῶν τε φθογγὴν οἰῶν τε καὶ αἰγῶν] σπονδεῖος ὅλος ὁ στίχος. E.

διὰ τί οὐκ ἤκουον οἱ ἑταῖροι τοῦ Ὀδυσσέως οἱ ἐν τῇ νηὶ βοῶντος τοῦ Κύκλωπος; καίτοι Ὀδυσσεὺς ἀπὸ τῆς νήσου φησὶ πόρρωθεν ἀκούειν "αὐτῶν τε φθογγὴν οἴων τε καὶ αἰγῶν" (ι, 167). ῥητέον οὖν

6. ἀπ' ἀσφάραγον] ἀποσφάραγον H.
15. ἐπιμήκεις] ἐπιμήκη E.
16. ἤτοι τὰ σιδήρια] ὅ ἐστι τὸν σίδηρον V.
24. καὶ τοῦ Buttm. pro κατὰ τοῦ.
28. σπονδεῖος ὅλος ὁ στίχος] Hoc qui scripsit τε post οἰῶν omittere debuit.

www.libtool.com.cn

ὅτι ἀσήμους φθόγγους συμμίκτους οἷόν τε ἦν πόρρωθεν ἀκούειν. ὁ δὲ Κύκλωψ εἷς ὢν ἐβόα ἐν τῷ ἀγρῷ. T.

[168. ἦμος: ἡνίκα. τὸ ἦμος ψιλοῦται παρὰ Ἴωσι καὶ οὐχ ὑποτάσσει, παρὰ δὲ Ἀττικοῖς ὑποτάσσει καὶ δασύνεται. καὶ ὅτε καὶ ὅ κεν ὑποτάσσει παρὰ τοῖς Ἀττικοῖς. καὶ τὰ δεύτερα πρόσωπα διφθόγγῳ γράφεται, πάσομαι πάσει· ὄψομαι ὄψει· καὶ τὰ ὅμοια. P.]

173. εἰκότως αὐτοῦ ἀπέρχεται σὺν τοῖς ἑαυτοῦ ἑταίροις, μηκέτι πιστεύων διὰ τὸ πρὸς τοὺς Λωτοφάγους σύμπτωμα, καὶ τὴν παρὰ Κίκοσιν ἀπείθειαν, μή πως πάλιν ὑποφερόμενοι τινὶ κέρδει κινδυνεύουσιν. H.

174. τῶνδ' ἀνδρῶν πειρήσομαι] ἀνάγκῃ δὲ φιλόπονος ἅπαντα ἦν οὐ μόνον διὰ τὸ φιλιστορεῖν, ἀλλὰ διὰ τὴν ἄγνοιαν τῆς πατρίδος ἔρευναν ποιούμενος. T.

177. ἀνὰ νηὸς ἔβην] ἰδίως εἶπεν ἀντὶ τοῦ ἀνὰ τὴν ναῦν ἔβη. H.

182. ἔνθα δ' ἐπ' ἐσχατιῇ] ὑπογράφων τὰ κατὰ τὸν τόπον ἐπισημαίνεται τὸ ἐπ' ἐσχατιᾶς εἶναι τὸ σπήλαιον. τοῦτο δὲ συνέφερε καὶ πρὸς τὸ εὐχείρωτον αὐτοῖς εἶναι τὸν ἐνοικοῦντα, ἅμα τε καὶ φυγὴ εὐχερὴς πλησίον τοῦ ἄντρου τῆς νεὼς ὡρμισμένης. H.Q. ἵνα πρῶτον τῷ Πολυφήμῳ ἐντύχῃ καὶ πειραθεὶς αὐτοῦ μηδὲ ἡ ναῦς ὁρμίζουσα ὀφθῇ· τοὺς γὰρ ἄλλους πόρρω φησὶν οἰκεῖν, ὡς εἴ γε τοῖς ἄλλοις πρῶτον ἐνέτυχε, οὐκ ἂν αὐτὸν εἴασαν παρελθεῖν, ἀλλὰ καὶ ἐμήνυσαν τὴν ὠμότητα τοῦ Πολυφήμου. T.

183. δάφνῃσι κατηρεφὲς] κατεσκιασμένον. P.Q.V. πεπυκνωμένον. καὶ εἴρηται ἀπὸ τοῦ ὀρόφου, ὅ ἐστιν ἐπεστεγασμένον, ἄλλης ἐπ' ἄλλῃ δάφνης οὔσης. T.

184. μῆλ' ὄϊές τε] ἐπειδὴ διάφορά εἰσιν ὀνόματα τοῖς προβάτοις, γενικά τε καὶ εἰδικὰ, καὶ αὐτὰ διάφορα πρόβατά τε καὶ ἄρνες ἢ αἶγες, διαφόροις ἐνταῦθα ἐχρήσατο τοῖς ὀνόμασι μῆλά τε ταῦτα εἰπὼν καὶ ὄϊας. Q. προτάξας τὸ γένος ἐπήνεγκε τὸ εἶδος. V.

3—7. Scriptum hoc scholium a manu longe diversa, abs qua pauca nullius fere pretii, e. g. excerpta quædam e Tzetzæ comm. ad Lycophr., exarata sunt. BUTTM.

17. ἐσχατιᾶς] Pors. ob varietatem ἐσχατιῇ vel ῆς ex H. refert: "ἐσχατιῆς citat schol. marg."

19. ἄντρου] ἄντλου H.

24. κατεσκιασμένον Barnes. pro κατεσκευασμένον.

www.libtool.com.cn

ἰαύεσκον] διέτριβον, ἢ ἐκοιμῶντο, ἢ ἐβόων, ἢ διενυκτέρευον. Q. ἐβόων, διενυκτέρευον, διέτριβον. P.

185. ὑψηλὴ] οἰκονομικῶς, ἵνα μὴ ἐξῆς βοῶντος ὑπομείνωσιν, ἀλλ' ὥσπερ ἀφοσιωσάμενοι ἀπέλθωσι. Q.

δεδμητο] οὕτως Ἀρίσταρχος. ὁ δὲ Ἀριστοφάνης, βέβλητο. H.

κατωρυχέεσσι] τοῖς ἐν τῇ γῇ ἐνωρυγμένοις καὶ ἐμβεβλημένοις, τεθεμελιωμένοις. P.

186. πίτυσσιν] ἐκ διαστήματος τῶν δένδρων πεφυκότων, τὸ μεταξὺ τῶν λίθων πληρούντων. T.

187. ἔνθα δ' ἀνὴρ] εἰκότως προσυνίστησι τὸ μέγεθος, ἵνα ἀξιόπιστος φανῇ τὰ δύο σώματα σιτούμενος. πλείστας δὲ παραβολὰς ποιεῖται τοῦ μεγέθους αὐτοῦ. διὸ καὶ ὄρει ἄνθρωπον εἴκασεν ὡς ὑπερβάλλοντα παντὸς ζῴου μέγεθος, καὶ οὐδ' ὄρει ἁπλῶς, ἀλλὰ ῥίῳ ὑλήεντι, ὅ ἐστιν ὄρει τῷ ὑψηλοτέρῳ καὶ τούτῳ ὑλήεντι. τοῦτο δέ ἐστιν ὑπερβολὴ ὑπερβολῆς. Q.

ἐνίαυε] διέτριβε, ἐνηυλίζετο. T.

189. ἀθεμίστια λέγων τὰ ἐστερημένα τῆς θέμιδος, ἤγουν τῆς θείας δίκης, ἄδικα. H.

195. αὐτὰρ ἐγὼ κρίνας ἑτάρων] χωρίσας καὶ ἐπιλεξάμενος τοὺς ἀρίστους. διὰ τί δώδεκα; καὶ γὰρ ὀλίγοι, ἵνα μὴ δοκῇ ὡς ἐπὶ λῃστείαν ἥκειν· ἐλάττους δὲ πάλιν οὐκ ἦγεν, ἵνα μὴ εὐκαταφρόνητος εἶναι δόξῃ· ἀλλ' οὐδὲ ὅπλα ἐπιφέρεται, ἵνα μὴ ὡς πολέμιος εἶναι δοκῇ. αὐτὸς δὲ παρέστη καὶ οὐ προπέμπει, ἵνα μὴ φαίνηται δειλὸς τοῖς Φαίαξι. τὸν δὲ ἀσκὸν οἰκεῖον ἐφόδιον λαμβάνει, τὸν οἶνον, πρὸς ποιμενικοὺς καὶ ἀγρίους ἄνδρας. διὰ τί οὖν κινεῖ τὸν Ὀδυσσέα πρὸς τὸ μὴ πεισθῆναι τοῖς ἑταίροις συμβουλεύουσι φυγεῖν; ὅτι γενόμενος ἐν τῷ σπηλαίῳ οὐδεμίαν βίου θηριώδους ὑπόνοιαν ἔλαβε. T.

196. ἀσκὸν ἔχον] εἰκότως καὶ πρὸς ποιμένας ἀπιὼν ἄλφιτα καὶ οἶνον βαστάζει. εἶχε δὲ καὶ τὸν οἰκεῖον λόγον πρὸς πειθώ, ἵνα διὰ τῶν λόγων καταπλήξῃ, ἢ τῷ οἴνῳ καταπραΰνῃ. H.Q.

197. ἔδωκε Μάρων] Μάρων Εὐάνθους υἱός, ὁ δὲ Εὐάνθης υἱὸς Διονύσου. γυνὴ Μάρωνος Οἰδέρκη, ὡς Πορφύριος. H.Q.

198. ἱερεὺς Ἀπόλλωνος] ταῦτα σημειοῦνταί τινες πρὸς τὸ μὴ

1. ἐβόων] ἐβοῶντο Q.
5. βέβλητο] κέκμητο Nauckius Aristoph. p. 40.
11. φανῇ τὰ Buttm. pro φανῆται.
29. ἵνα—καταπλήξῃ] ἵν' ἢ διὰ λόγους καταπληκτικοὺς Q.
32. οἰδέρκη H. οἰδερὴ Q.

www.libtool.com.cn

παραδιδόναι Ὅμηρον Διόνυσον οἴνου εὑρετὴν, τὸν δὲ Μάρωνα οὐ Διονύσου, ἀλλ' Ἀπόλλωνος ἱερέα, δι' ὅλης τῆς ποιήσεως οἴνου μνημονεύων. ἡ δ' ἀπότασις πρὸς Ἡσίοδον λέγοντα τὸν Μάρωνα εἶναι Οἰνοπίωνος τοῦ Διονύσου. H.Q.

199. σὺν παισὶ] σὺν παιδί, Ἀρίσταρχος καὶ Ἀριστοφάνης. H.

περισχόμεθα] ὅτι περιεσώσαμεν αὐτὸν καὶ τὴν αὐτοῦ γυναῖκα σὺν τῷ παιδὶ αὐτοῦ. H.Q. περιεσώσαμεν, ἐφυλάξαμεν. H.

200. ἁζόμενοι] σεβόμενοι, ἐντρεπόμενοι διὰ τὸ εἶναι ἱερέα Ἀπόλλωνος. H.

ᾤκει γὰρ ἐν ἄλσει Φοίβου Ἀπόλλωνος] παιδευτικῶς· δεῖ γὰρ φείσασθαι τοῦ ἱερέως διὰ τὴν ἱερωσύνην. Q.

202. ἀκολούθως τῷ οἴνῳ καὶ εἰκότως τὰ ἑπτὰ τάλαντα τοῦ εὐεργέος χρυσοῦ φιάλαι τινὲς ἦσαν καὶ ἱερὰ πώματα. H.

χρυσοῦ] διὰ τούτου καὶ τὸ τίμιον δηλοῖ· οὔπω γὰρ ἐδόκει παρὰ τοῖς παλαιοῖς τὸ ἀργὸν χρυσίον τίμιον εἶναι. ἀναγκαίως δὲ μετὰ τῶν τοιούτων δώρων ἀπαριθμεῖται καὶ ὁ οἶνος, ὅτι ὡς ἐφάμιλλος αὐτοῖς ἐδόθη. Q.

205. ἀκηράσιον] ἤτοι καλὸν καὶ ἀδιάφθαρτον, ἢ ἀκέραιον, ἄκρατον, καθαρώτατον. H. ἀκέραιον δὲ καὶ ἀδιάφθορον, ὑπερβολικῶς. οἱ δὲ ἀμιγῆ πρὸς ἕτερον ἢ δύναμιν ἔχοντα, παραμεῖναι δυνάμενον. ἀποδίδωσι δὲ αὐτοῦ καὶ τὴν δύναμιν διὰ τῶν ἑξῆς. T.

209. ἓν δέπας] τοῦτο προῳκονόμησεν, ἵνα μὴ ζητῶμεν πῶς ὁ τηλικοῦτος ἐκορέσθη. H.Q.V.

211. οὕτοι ἀποσχέσθαι φίλον ἦεν] ἀποσχέσθαι τοῦ οἴνου οὐκ ἦν προσφιλὲς τῷ πίνοντι, διὸ καίπερ ὕδωρ ἔχων καλὸν ἦν. H.Q. οὐδὲ σοί, φησὶ, τῷ πάντων ἡδύτατον κεκτημένῳ οἶνον, ὦ Ἀλκίνοε. H.

213. αὐτίκα γάρ μοι ὄΐσατο] εἰκάζει ἐκ τοῦ μεγέθους τοῦ σπηλαίου μέγαν τινὰ καὶ ἄγριον εἶναι ἐκ τοῦ ἐπ' ἐσχατιὰν οἰκεῖν. διὰ τί οὖν οὐκ ἐπείθετο τοῖς ἑταίροις; ἄδικον αὐτῷ ἐδόκει εἶναι μηδὲν ἀδικήσαντα. καὶ ἄλλως δὲ, ὡς ἔφην, ἡμερώτερον ἔβλεπε .... πάνυ ἐφοβεῖτο. καὶ συνέσει .... καὶ εἰ ἄγριος ἦν, ἀλλ' οὐκ ᾤετο ἀνθρωποφάγον εἶναι. T.

216. οὐδέ μιν ἔνδον] γρ. οὐδέ τιν' ἔνδον. H.

218. ἐλθόντες δ' εἰς ἄντρον] ἦν ἐκ τῆς εὐταξίας τῆς κατὰ τὸ ἄν-

3. τὸν Μάρωνα Porsonus pro τὸν δὲ Μάρωνα.
Οἰνοπίωνος] οἴνου πίονος H.

22. τηλικοῦτος H. τοιοῦτος Q. τοσοῦτος V.

25. καίπερ H. καθάπερ Q.

www.libtool.com.cn

τρον καὶ τῆς τῶν σκευῶν διακοσμήσεως τὸ τοῦ δεσπότου ἦθος στοχάσασθαι, οὐδὲν τῆς ἀγριότητος ὑποφαῖνον. Q.

219. ταρσοὶ] ταρσοὶ μὲν πλεκτοὶ καλαθίσκοι, ἐν οἷς τυροκομοῦσι καὶ ἐκτυποῦνται οἱ τυροί. λέγονται δὲ καὶ τάλαροι καὶ ψυγοί, ἤτοι ψυκτῆρες, διότι ἐν αὐτοῖς τὸ γάλα ψύχεται. ἐστὶ δὲ ἀγγεῖα πλεκτά. ταρσοὶ δὲ λέγονται παρὰ τὸ τέρσαι, ὅ ἐστι ξηρᾶναι. H.P.Q.V.

στείνοντο δὲ σηκοί] ἐστενοχωροῦντο αἱ μάνδραι καὶ τὰ περίβολα, ἐν οἷς ἐγκεκλεισμένα εἰσὶ τὰ θρέμματα. P.Q.V. ἢ αἱ καταδύσεις τῶν θρεμμάτων. P.V.

220. διακεκριμέναι] ἄνω ἰδίως ἀρσενικὰ προτάξας κατ' ἐπικράτειαν τοῦ θηλυκοῦ ἐπήνεγκε τὸ "διακεκριμέναι δὲ ἕκασται." H.Q.

221. ἔρχατο] ψιλωτέον τὸ ἔρχατο. ἀπὸ γὰρ τοῦ εἶρκτο ἐστὶ κατὰ Ἰωνικὸν ὑπερσυντελικὸν παθητικῶς γενόμενον. H.

χωρὶς μὲν πρόγονοι] πρόγονοι αἱ προγεγενημέναι καὶ παλαιότεραι. μέτασσαι αἱ γεγενημέναι μέσαι τῇ ἡλικίᾳ. αἱ δὲ νεώταται ἀπὸ τῆς ἔρσης ὠνομάσθησαν ἔρσαι, οἷον νεογναὶ καὶ ἀπαλαὶ καὶ δροσώδεις. ὀρρὸς δέ ἐστι τὸ ὑδατῶδες τοῦ γάλακτος. εἰπὼν δὲ πάντα τὰ ἀκολουθοῦντα τῷ ὁλοκλήρῳ ποιμένι περὶ κυνῶν οὐδὲν εἶπε. τοῦτο δὲ συμφερόντως πρὸς τὴν ὑπόθεσιν. οὐδὲ γὰρ ἂν ἐσώθη Ὀδυσσεὺς διὰ τὴν ὑλακὴν τῶν κυνῶν. ἅμα καὶ ἄθηρον τὴν χώραν διὰ τοῦτο ὑποτίθεται. Q.

μέτασσαι] μεσήλικες. Gl. H. αἱ ἐπιγενόμεναι τοῖς προγόνοις, αἱ μεθηλικέστεραι. E.

πρόγονοι] προγενέστεραι, παλαιότεραι ἢ μεταγενέστεραι τῇ ἡλι-

2. ὑποφαῖνον correxi pro ὑποφαίνειν.

3. ταρσοὶ—ἐν οἷς H. ταρσὸς μὲν πλεκτὸς καλαθίσκος, ἐν οἷς Q. οἱ καλαθίσκοι ἐν οἷς P.V.

4. ψυγοὶ] ψυχοὶ P. ψυγχοὶ Q.

5. ψύχεται] ψύγεται H.P.V.

ἐστὶ] εἰσὶ H.Q.

8. ἐγκεκλεισμένα εἰσὶ] συγκέκλεισται. V.

10. ἰδίως H. ἡδέως Q.

ἀρσενικὰ τάξας] Nimirum masculinam proprie vocem ἄρνες esse statuens, superius illud ἀρνῶν masculine a poeta adhibitum dicit; suaviter; quoniam scilicet nullum ibi genus expressum. BUTTM.

προτάξας H. τάξας Q.

11. ἐπήνεγκε Buttm. pro ἐξήνεγκε.

24. Nonnulla ex his habet P. BUTTM.

Apparet istud μεταγενέστεραι nescio quo errore transpositum, ac, deleto ἤ, post μέτασσαι inserendum esse. Ita respondent sibi προγενέστεραι, μεταγενέστεραι, νεογναί, et similiter παλαιότεραι τῇ ἡλικίᾳ, μεσήλικες, ἐνδεεῖς τῇ ἡλικίᾳ. Hesych. πρόγονοι, οἱ πρωτόγονοι ἄρνες, οἱ δὲ μετ' αὐτοὺς μέτασσαι. ἔρσαι δὲ ἁπαλοί, καὶ τῷ ἔαρι γενόμενοι. BUTTM.

κίᾳ. μέτασσαι] μέσαι, μεσήλικες. ἔρσαι] αἱ νεογναὶ καὶ ἁπαλαὶ καὶ δροσώδεις ἀπὸ τῆς ἕρσης, ἢ ἐνδεεῖς τῇ ἡλικίᾳ. νᾶον] νῦν ἀντὶ τοῦ περιερρέοντο καὶ κατερρέοντο, ἢ ἐπεπλήρωντο. ἢ ᾤκουν. ὀρῷ] τῷ διεφθορότι γάλακτι, ἢ τῇ ὑποστάθμῃ τοῦ γάλακτος. ὀρὸς γὰρ λέγεται ἡ τοῦ γάλακτος ὑδατώδης ὑπόστασις. V.

νᾶον] Ἀρίσταρχος, ναῖον. τινὲς δὲ, νᾶον. οἱ δὲ ναῖον. H.

222. ἄγγεα πάντα] λέγει τὸ ὑδατῶδες καὶ ἀφρῶδες τοῦ γάλακτος. "νᾶον" δὲ ῥεῖ. καὶ γὰρ τὸ ὕδωρ νᾶμα λέγει· περιέρρει οὖν, φησὶ, τῷ ἀφρῷ τὰ ἀγγεῖα πάντα πλήρη ὄντα. T.

223. γαυλοί] νῦν μὲν ὀξυτόνως τὸ γαυλοί, ἐπὶ δὲ τοῦ πλοίου βαρυτόνως. γαυλοὶ δὲ τὰ ἀμόλγια, γαλοί τινες ὄντες. ἤτοι ἀγγεῖα ποιμενικὰ σκαφοειδῆ, εἰς ἃ οἱ ποιμένες ἀμέλγοντες δέχονται τὸ γάλα. εὐθετοῦσι δὲ καὶ εἰς τυροῦ ἀπόθεσιν. Q.V. ποιμενικὰ ἀγγεῖα γαλακτοδόχα, ὅθεν εὐλόγως ἐπισυνάπτει τὸ "ἐνάμελγεν" πᾶν δὲ τὸ κοῖλον γαυλὸν ἐκάλουν. ἔλεγον δὲ οὕτω καὶ Φοινικικὸν πλοῖον. πῶς δὲ ἔχει ποιμενικὰ ἀγγεῖα μήτε τεκτόνων ὄντων μήτε λιθοξόων; τί δὲ καὶ κισσύβιον; ἴσως ἀγροικότερον ἑαυτῷ κατεσκεύασεν. T.

τοῖσιν] ἐν οἷς. V.

225. τυρῶν αἰνυμένους] ὅσον ἕκαστος ἐδύνατο φέρειν βάρος τῶν εὑρεθέντων τυρῶν, τοσοῦτον ἐκέλευόν με, φησὶν, οἱ ἑταῖροι ἀποφέρειν. ἐκ τούτων δὲ ἡ δικαιοσύνη τῶν Κυκλώπων δήλη, ἐκ τοῦ ἀμελῶς εὑρεθῆναι τὸ σπήλαιον πλῆρες ὂν τυρῶν τε καὶ θρεμμάτων. ᾔδει γὰρ ὁ Κύκλωψ ὅτι οὐδεὶς ὑφαιρήσεται τῶν ἐπιχωρίων. T.

228. ἀλλ' ἐγὼ οὐ πιθόμην] ἔδει μὲν πεισθέντα τοῖς ἑταίροις εὐθὺς ἀποτρέχειν. ὅτι δὲ ἐν τούτοις ἀσυνέτως ἔπραξεν αὐτὸς ὁμολογεῖ. H.Q.

229. ὄφρ' αὐτὸν] ἄλογον εἰπόντα λογίσασθαι τὸν ἀφιξόμενον ἄγριον εἶναι τοιαῦτα προσδοκᾶν παρ' αὐτοῦ. ἡ δὲ λύσις ἐκ τῆς λέξεως. προληπτικῷ γὰρ τρόπῳ χρῆται, ἃ μετὰ ταῦτα ἔγνω ταῦτα ἐν ἀρχῇ τιθείς. H.Q.T. ὑπὲρ φιλοτιμίας ἰδεῖν αὐτὸν θέλει φιλιστορῶν. οὕτω γοῦν καὶ ἐν Ἅιδου· "ἀλλά μοι ἤθελε θυμὸς τῶν ἄλλων ψυχάς" (Od. λ, 566.). T.

6. Verba οἱ δὲ ναῖον supervacanea.
12. σκαφοειδῆ om. Q.
17. ἑαυτῷ Prellerus. ἑαυτὸν T.
18. ἐν οἷς] Nimirum legit τοῖσιν ἄμελγεν. BUTTM.
24. ἔδει μὲν—ἀποτρέχειν H. ἔδειξε μέντοι—ἀποτρέχων Q.
29. ἐν ἀρχῇ H. ἐξ ἀρχῆς Q.

καὶ εἴ μοι ξείνια δοίη] ποῖον ξένιον ἤλπιζε λαβεῖν παρὰ ἀνθρώπου θησαυροὺς μὴ ἔχοντος, τυροὺς δὲ μόνον καὶ γάλα βλέπων; δεῖ δὲ τὰς κατηγορίας ποιεῖν οὐκ ἐκ τῶν ἀποβάντων· ἄδηλον γὰρ εἰ ἐπιεικὴς ἦν ἀνήρ· εἰ καὶ πρὸ τῆς πείρας γὰρ λέγει περὶ τοῦ Πολυφήμου, τὰ ἐπίθετα ταῦτα δεινὰ ἄλλοτε ἐπράττετο, εἰ μὴ ἐπὶ τῶν ἔργων οὐκ ἔγνωσται. δεῖ δὲ εἰδέναι ὅτι τὸ ἄδηλον ἐν τῷ βίῳ καὶ τῶν φρονίμων κρεῖττόν ἐστιν, ὅπου ἐν τοῖς τοιούτοις ἐνίοτε καὶ ἄφρονες κατορθοῦσιν. Q.

230. ἐρατεινὸς] ἀγαπητὸς, ἐπέραστος, ἡδὺς, προσηνὴς, ἐπιθυμητός. H.

231. ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν] ἐθύσαμεν ἀπὸ τῶν τυρῶν. παλαιὸν γὰρ ἔθος τὸ τῶν ἀπαρχῶν θύειν· "ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς." H. μέλλοντες ἐσθίειν πρότερον ἐθύσαμεν. T.

234. ἵνα οἱ ποτιδόρπιον] ἵνα ἔχῃ πρὸς φῶς δειπνεῖν· ἔνιοι δὲ ἀγνοοῦντες γράφουσιν. Ἄλλως. ἵν' αὐτῷ δειπνοῦντι ἐπιδείπνιον φῶς παρείη. H.

235. ἔκτοσθεν δ' ἄντροιο βαλὼν] δηλονότι τὴν συρφετώδη ὕλην. V.

236. ἀπεσσύμεθα] ἀπεχωρήσαμεν. Q.

240. θυρεὸν μέγαν] τὸν μοχλόλιθον, ἢ τὸν ἐν τῇ διαβάσει σκέπτοντα καὶ ἀσφαλίζοντα. Q. τὴν πέτραν ἀντίθυρον εἰς ὕψος ἄρας ἐπέθηκεν. πῶς δὲ οὐκ ἄλογον, ὅτε μὲν ἠρημωμένον ἦν τὸ σπήλαιον, ἄθυρον αὐτὸ καταλιπεῖν, ἔνδον δὲ γενόμενον ἐπικλείειν; καὶ τοῦτο πρὸς τὸν μῦθον. ὑπὲρ τοῦ μὴ διαδρᾶναι τοὺς ξένους, ἢ ἵνα μὴ ἐπεισέλθῃ τὰ ἄρσενα. T.

242. τετράκυκλοι] τετράτροχοι. Gl. H.

243. ἠλίβατον] ὑψηλὴν, ἢ ποιοῦσάν τινα ἀλιταίνειν τῆς βάσεως, ἤτοι ἁμαρτάνειν. Q. μόνῳ διαβατὴν, ἢ ἧς ἔστιν ἀλιτεῖν τῆς βάσεως, ἢ μέγαν, κατωφερῆ, ὥστε μηδὲ λιβάδα δύνασθαι προσμένειν ἐπ' αὐτῆς. T.

245. ὑπ' ἔμβρυον ἧκεν] ὑπέθηκεν ἔμβρυον. Ὅμηρος γὰρ ὑπεναντι τῆς συνηθείας βρέφος μὲν λέγει τὸ κατὰ γαστρὸς, ἔμβρυον δὲ τὸ νεογνὸν, ἢ τὸ τέκνον. P.V. ἔμβρυον ἡμεῖς μὲν τὸ ἐν τῇ γαστρὶ

5. τὰ ἐπίθετα — ἔγνωσται] Hæc non integra.

15. γράφουσιν] Quid scribunt?

ἵν'—παρείη] ἵν' αὐτῷ δειπνοῦντι φῶς παρείη P. ἵνα αὐτοῦ δειπνοῦντος φῶς παρείη Q. ἀντὶ τοῦ, ἵνα αὐτῷ δειπνοῦντι φῶς παρείη V.

27. διαβατὴν Prellerus. λιβατεῖν T.

32. ἔμβρυον et μὲν om. Q.

ὁ δὲ ποιητὴς τὸ ἤδη γεγενημένον. H.Q. ὑπέθηκεν, ἔπεμπεν εἰς τὸν γνωστὸν, ἢ εἰς τὸ ἴδιον τέκνον. H. ὑπελθεῖν εἴασεν. οὐ γὰρ ἤδη τὸ ἑκάστης ἔκγονον. ἰδίως δὲ Ὅμηρος ἔμβρυον λέγει τὸ ἤδη γεγενημένον. T.

246. θρέψας] πήξας, τυροποιήσας. Q. πήξας. ἔνθεν καὶ τροφαλὶς τὸ πεπηγὸς τοῦ γάλακτος. T.

247. πονησάμενος μετέθηκεν] ἐνήργησεν. γράφεται δὲ, ἀμησάμενος, ἤτοι συναγαγών. E.

ἀμησάμενος] συναγαγών. καὶ τῶν ὀσπρίων ὁ ἄμητος οὐδέν ἐστιν εἰ μὴ συναγωγή. H. ἀντὶ τοῦ ἅμα συναγαγὼν ἢ ἐξαντλήσας ἢ ἀφε . . . καὶ προσενεγκάμενος. T.

248. ἥμισυ δ' αὖτ' ἔστησεν] σταθηρὸν ἀπὸ τοῦ ὄρρου ἐποίησεν. H.Q. εἴασεν ἐν τοῖς ἄγγεσιν. V.

249. αἰνυμένῳ] ἐπιθυμοῦντι. Q.V. λαμβάνοντι. V.

250. πονησάμενος] πονηθεὶς τὰ αὐτοῦ ἔργα, ὅ ἐστι περιγενόμενος· τοῦτο γὰρ ὁ πόνος παρὰ τῷ ποιητῇ. T.

τὰ ἃ ἔργα] λαμβάνων τὰ ἴδια ἔργα. H.

252. ὦ ξεῖνοι, τίνες ἐστέ;] οὐδεγ ζητεῖ πῶς ταῖς εἰωθυίαις ὁμιλίαις χρῆται, εἴπερ ἔξω τυγχάνει τῆς οἰκουμένης ἐπὶ τούτῳ τῷ λόγῳ. καὶ τὰ περὶ τοὺς Φαίακας ἀνασκευάσομεν. εἰκὸς οὖν καὶ ἄλλους πεπλανῆσθαι. T.

254. τοί τ' ἀλόωνται] γρ. μηχανόωνται. H.P.

255. ψυχὰς παρθέμενοι] ἀφειδήσαντες τῆς ἑαυτῶν ζωῆς. Q.

ἀλλοδαποῖσι] τοῖς παρ' αὐτῶν φονευομένοις. H.

257. δεισάντων φθόγγον τε βαρὺν] τὸν ἀπὸ τοῦ ἤχου βαρβαρισμόν. ὅλως οὐ τίθησι τὴν λέγουσαν ἐπὶ τῆς ἀδιαρθρώτου φωνῆς καὶ ἀκατασχηματίστου, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν αὐτῶν τὴν φθογγήν. τὸ δὲ σχῆμα ποιητικόν. ἔδει γὰρ εἰπεῖν ἡμῶν δεισάντων. T.

αὐτόν τε πέλωρον] θαυμάσιον καὶ ἄγαν φοβερὸν ἰδεῖν. ἐχρῆν δὲ φάναι, εἴπερ αὐτὸν ἴδῃ μονόφθαλμον, καὶ τοῦτο αὐτὸ ἐπισημήνασθαι ὑποτάξαντα μόνον ὀφθαλμὸν ἐν τῷ μέσῳ ἔχοντα. T.

1. ὁ δὲ π. τὸ ἤδη γ. H. ὁ δὲ ὅμηρος τὸ γ. Q.

12. ὀρροῦ Buttm. ὀροῦ H. οὐροῦ Q.

18—23. De versibus 253—255. ab Aristophane reprehensis, ab Aristarcho defensis dixit schol. ad γ, 71. (ubi iidem versus leguntur), cujus verba hoc loco excerpsit Eustathius.

18. οὐδεγ] Corruptum. Desideratur nomen grammatici.

www.libtool.com.cn

261. ἄλλην ὁδὸν ἄλλα κέλευθα] ἐκ παραλλήλου τὸ αὐτό. τὰ γὰρ δύο ἓν σημαίνουσιν. Q.

262. μητίσασθαι] ἐργάσασθαι. V.

263. λαοὶ δ' Ἀτρείδεω] ἴσως ἵνα φοβηθῇ ἀνελεῖν αὐτὸν τοῦτό φησι. Q. οἴεται διὰ τοῦ ὀνόματος Ἀγαμέμνονος καὶ τῆς περὶ αὐτοῦ δόξης καταπλήξασθαι τὸν πολέμιον, ὅτι ἐπιστροφῆς τεύξονται οἱ ἀπ' αὐτοῦ πλημμεληθέντες. εἶναι γὰρ αὐτόν ποτε ἐξελευσόμενον. T.

266. κιχανόμενοι] παραγενόμενοι. V.

267. ἱκόμεθα] ἱκέται ἐσμὲν παρὰ τὰ σὰ γούνατα παραγενόμενοι. ἐνόμιζε δὲ αὐτὸν αἰδεῖσθαι τὸν ἱκέσιον Δία· διὸ καὶ ἐπήγαγε "Ζεὺς δ' ἐπιτιμήτωρ ἱκετάων τε ξείνων τε" ἀντὶ τοῦ τιμωρός. τινὲς δὲ τὸ ἐπιτιμήτωρ ἀντὶ τοῦ, ἐντίμους παρεχόμενος. Q. ἱκετεύομέν σε καταλαβόντες τὸν τόπον τοῦτον, εἰς ὃν ἐξεπέσαμεν ἐπὶ τὰ σὰ γόνατα. T.

εἴ τι πόροις ξεινήϊον] ὅπως παράσχοις ξεινήϊον, ἤγουν δῶρον τὸ κοινὸν πᾶσιν, οἷον τροφήν. H. καὶ τί ξένιον ἤλπιζεν; προβάτου δορὰν ἴσως. ἀλλὰ τὸν εἰς τοὺς ξένους καθήκοντα ἔλεον πρεπόντως ** ἀποπεπλανημένον ἔξω τῆς οἰκουμένης διὰ τοῦ ἀγνοεῖν καὶ παραπεμφθῆναι βούλεσθαι διὰ τῆς μηνύσεως τὸν τόπον. τοῦτο γὰρ καὶ εἰκὸς διανοούμενος οὐκ ἐπείσθη τοῖς ἑταίροις ὥστε φεύγειν, ἀλλὰ τῷ κινδύνῳ προσεβάλλετο μαθεῖν ἀξιῶν ὁποίῳ πλῷ τεύξεται τοῦ νόστου. T.

270. Ζεὺς δ' ἐπιτιμήτωρ] βοηθὸς, τῆς τιμῆς ἐπόπτης. E.

273. βαρυντέον τὸν ῆ. διαζευκτικὸς γάρ ἐστι· οὐ γὰρ ἐρωτᾷ, ἀλλ' ἀποφαίνεται ὅτι ἢ δι' ἀπειρίαν ὡς ἂν μακρόθεν ἐληλυθὼς τὰ Κυκλώπων ἀγνοεῖς. H.

ἦ τηλόθεν εἰλήλουθας] διαζευκτικὸς ὁ ἦ· οὐ γὰρ ἐρωτᾷ, ἀλλ' ἀποφαίνεται ὅτι δι' ἀφροσύνην ἢ δι' ἀπειρίαν τὸ πόρρω ἥκειν ἀγνοεῖ. T.

274. ἀλέασθαι] ἐκφυγεῖν, φροντίδα ποιεῖν. E.

275. Διὸς αἰγιόχου ἀλέγουσιν] τὸ ἴδιον ἁμάρτημα ἑαυτοῦ ὁ Πολύφημος κοινὸν ποιεῖται· ὅτι γὰρ οἱ ἄλλοι Κύκλωπες οὐκ ἦσαν ἄθεοι, φησὶ "νοῦσον δ' οὔπως ἐστὶ Διὸς μεγάλου ἀλεύασθαι." H.Q. ἀσεβὴς ὢν ὁ Πολύφημος διαβάλλει καὶ τοὺς λοιπούς. ὅτι γὰρ

3. μητίσασθαι] Sic ed. ant. Recentt. ita, μητιάασθαι] ἔνιοι, μητίσασθαι, ἐργάσασθαι. Vid. not. ad δ, 139. BUTTM.

17. Lacunam indicavit Prellerus.

ἐκεῖνοι οὐκ ἦσαν ἄθεοι παρίστησιν ὁ ποιητὴς λέγων "νοῦσόν γ' οὔπως ἐστι Διὸς μεγάλου ἀλέασθαι" (411.). V.

276. πολὺ φέρτεροί εἰμεν] διὰ τούτων κινεῖ τὸν ἀκροατὴν, ἵνα μισήσωμεν τὸν Κύκλωπα τῆς ἀσεβείας καὶ ἐφησθῶμεν αὐτῷ κολασθέντι. ἐπιτείνεται δὲ αὐτῶν ἀσέβεια. οὐ γὰρ ἀγνοοῦντες θεοὺς φαίνονται, ἀλλὰ καταφρονοῦντες αὐτῶν δι' ἀλαζονείαν. ἀμέλει δὲ τοῖς τὰ τοιαῦτα εἰς θεοὺς ἀπορρίψασι μετὰ τὴν τύφλωσιν θεοῖς εὔχεται. H.Q.

φέρτερον τὸ κρεῖσσον λέγει ποιήσας τοὔνομα ἀπὸ τοῦ μᾶλλον φέρειν δύνασθαι τὰ προσπίπτοντα. τούτοις οὖν ἐν εἴδει καὶ ὁπλότερος ὁ φέρειν μᾶλλον ὅπλον δυνάμενος. καὶ ἀντιφέρει ὁ ἐξ ἐναντίας τῷ φέροντι ἀντιφέρων τὸ ἴσον. τὸ δὲ αὐτὸ καὶ ἰσοφαρίζει λέγει, ἤτοι ἀπὸ τῶν φερόντων ἐναντία ὅπλα ἢ καὶ ἀπὸ τῶν ὑποζυγίων "ἥλικες ἰσοφόροι" (Od. α, 373.). H.Q.

277. τινὲς ἄχθος φασί. τινὲς ἔχθος ἀντὶ τοῦ ἔχθραν. H.

278. εἰ μὴ θυμός με κελεύει] πανούργως ἄγαν ἐλπίδα αὐτῷ ὑποβάλλει φιλανθρωπίας οἰόμενος διὰ τούτου προάξειν αὐτὸν ἐπὶ τὴν ἀλήθειαν περὶ τῆς νεώς. διόπερ οὐδὲ ἥψατο τῶν ἑταίρων ἄχρι μάθῃ πόσοι εἰσὶν οἱ συνακολουθήσαντες αὐτῷ. οὐκ ἠκρίβωσε δὲ τὸ τῆς πονηρίας διὰ τὴν ἀκρίβειαν τῆς ἐρωτήσεως. τί γὰρ ἦν χρήσιμον ἵνα μάθῃ; H.Q.

279. εἰπὲ ποῦ κατέσχες καὶ ἤδρασας τὴν ταχυτάτην νῆα. H.

280. περισπαστέον τὸν δεύτερον ῆ. τινὲς δὲ ὀξύναν. H.

281. εἰς δὲ τὸ ὣς φάτο στικτέον. ἦθος γὰρ ἐμποιεῖ τὰ ἐπιφερόμενα. H.

282. ἄψορρον] πάλιν οὐχ ἁπλῶς, ἀλλ' ὀπισθόρμητον τὸ ἀνάπαλιν τῆς ἀληθείας. H. οὐκέτι ἁπλῶς, ἀλλ' ἐναντία λέγων οἷς προεῖπεν· στοχάζεται γὰρ τοῦ βουλήματος καὶ τῆς συνέσεως τὸ ἄγριον. T. ταχέως, ἀντιστρόφως τῇ ἀληθείᾳ. E.

283. νῆα] νέα μέν μοι, οὕτως Ἀρίσταρχος. H.

νέα μέν μοι κατέαξε] ὡς ἀντιδιδοὺς τὴν ψυχὴν ὑπὲρ τῶν ἑταίρων.

1. νοῦσόν γ' ex Homero correctum pro νοῦσον ἄγ'.
4. μισήσωμεν H. μισήσωσι Q.
12. τὸ ἴσον H. τῷ ἴσῳ Q.
18. περὶ Buttm. pro ἐπί.
20. ἵνα] ἐὰν Buttm.
21. μάθῃ] μάθω H.
30. νῆα] Sic etiam M. in textu. Idem ἔαξε, superscripto a m. rec. κατ.

www.libtool.com.cn

ἀπογνοὺς γὰρ τὸ καθ' αὑτὸν ὅμως οὐ προδίδωσι τοὺς ἑταίρους τοὺς ἐν τῇ νηΐ. T.

284. πρὸς πέτρῃσι βαλὼν] πιθανῶς, ἵνα μὴ ἐπιζητήσῃ πόθεν ἐσθῆτα ἔχει καὶ ἅλφιτα καὶ οἶνον. T.

285. προσπελάσας] προσεγγίσας, ἀντὶ τοῦ προσρήξας. V.

289. σὺν δὲ δύω μάρψας] σὺν δύο ἡμῶν μάρψας. τὴν τῆς ἰσχύος ὑπερβολὴν ἐκ τούτου δηλοῖ. T.

290. κόψε] συνέτριψε. V.

291. μελεϊστὶ] κατὰ μέλος. V. εἰς μέλη διασπαράξας, οὐ διὰ τέχνης ἢ σιδήρου. T.

292. ἤσθιε δ' ὥστε λέων] ἐμφαντικώτατα τῇ παραβολῇ ἐχρήσατο. παρατετηρημένον δ' ἐπὶ τῶν λεόντων ἐστὶ τὸ ἐσθίειν τὸ μέλος ἐκεῖνο οὗ δράττεται, τοὺς δὲ κύνας ἀπ' ἄλλων ἐπ' ἄλλο μεταπηδᾶν. διὸ καὶ κύνων μέλπηθρα. H.Q.

ὥστε λέων] πρὸς πάντα ἐμφερῶς τῇ εἰκόνι, πρὸς τὴν ἀνθρωποφαγίαν, πρὸς τὴν ὠμοφαγίαν, καὶ τὸ ἄπληστον τῆς βορᾶς. καὶ τετήρηται ὅτι λέων, ἐὰν ἅψῃ μέλους, ἕως τέλους ἐσθίει αὐτό, κύων δὲ μεταβαίνει, ὅθεν ἐπ' ἐκείνου καὶ ἀλλαχοῦ κυνῶν μέλπηθρα (Il. ρ, 255). T.

οὐδ' ἀπέλειπεν] διὰ τοῦτο οὐδὲ ἐκ λειψάνου τινὸς μένοντος ἐπέγνω τὴν ὠμότητα αὐτοῦ Ὀδυσσεύς. Q.V.

294. ἡμεῖς δὲ κλαίοντες] τίς γὰρ ἄλλη σωτηρίας ἐλπὶς ἦν; σημαίνει δὲ δι' αὐτῶν τὴν ἑαυτοῦ εὐσέβειαν. ὑπερφυῶς τὸ "μεγάλην ἐμπλήσατο νηδύν." Q. οὐδεμία γὰρ ἄλλη καταφυγὴ τοῖς εἰς τοιαύτην ἀπορίαν ἀφιγμένοις. T.

295. οὐκ εἶπε δεδιότες, ἀλλ' ἀμηχανοῦντες ὑπὲρ τῶν ἑταίρων. H.

296. ἐπλήσατο] ἐπλήρωσεν, ἐκόρεσεν. V.

297. ἀνδρόμεα κρέ' ἔδων] εἰς ἔμφασιν τοῖς παρατατικοῖς κέχρηται ἀδιαλείπτως ἐσθίοντος καὶ πίνοντος. καὶ τὸ "ἀνδρόμεα" μεῖζον τοῦ ἀνθρώπεια. καὶ τὸ "κεῖτο" ἐμφαντικῶς. οὐ γὰρ ἂν ἐκ προνοίας ἀνεκλίθη, ἀλλὰ κατηναγκασμένην ἀνατροπὴν σημαίνει τὸ ῥῆμα. Q.

ἐπ' ἄκρητον γάλα] ἀπαραμιγὲς ἔχον καὶ ὀρρῶδες καὶ τὸ τυρῶδες καὶ τὸ ἐλαιῶδες. H.

5. προσρήξας codex Barnes. pro προρρήξας.

11. ἐμφαντικώτατα H. ἐμφαντικώτατον Q.

23. εὐσέβειαν Buttm. collato schol. v. 317. pro ἀσέβειαν.

www.bibtool.com

298. τανυσσάμενος] ἐκταθείς. ἐμφαντικῶς δὲ ἐδήλωσε τὸ μέγεθος. V.

300. ξίφος ὀξὺ] διὰ τί μὴ ἔλαβεν ἐξ αὐτῶν ὁ Κύκλωψ τὰ ξίφη καὶ ἀπεγύμνωσεν αὐτούς; τῆς ἐπιβουλῆς ἴσως ἔλαθεν αὐτὸν πρὸς τὴν βορὰν ἐπειγόμενον. Q.

301. ὅθι φρένες ἦπαρ ἔχουσιν] ὅπου αἱ φρένες τὸ ἦπαρ συνέχουσιν. φρένες δὲ λέγονται ὁ ὑμὴν ὁ σκέπων τὴν καρδίαν καὶ τὸ ἦπαρ. Q.

302. χεῖρ' ἐπιμασσάμενος] ἐπισπάσας τὴν χεῖρα. μαιμῶ γὰρ τὸ προθυμῶ. H. ἐφαψάμενος χειρὶ τὸ πλῆρες. Gl. H.

θυμὸς] νῦν λογισμός. V.

303. αὐτοῦ γὰρ ἀπωλόμεθα] ἐφθάρημεν ἂν πάντως εἰ τὴν βουλὴν ἣν ἐβουλευσάμην ἐπλήρωσα, δηλαδὴ τὴν διὰ ξίφους σφαγὴν τοῦ Κύκλωπος. Q. ἀπωλέσθημεν ἂν πάντως, εἰ τὴν βουλὴν ἣν ἐβουλευσάμην ἐπλήρωσα δηλαδή. H.

308. καὶ τότε πῦρ ἀνέκαιε] οἰκονομικῶς δὲ, ἵνα πυρωθῇ ὁ δαλός. τὸ δὲ "κλυτὰ μῆλα" καταχρηστικῶς οἱ ἀγαθοὶ καὶ εὐτραφεῖς. T.

311. σὺν δ' ὄγε δ' αὖτε δύω μάρψας] ζητεῖ Ἀριστοτέλης πῶς ὁ Κύκλωψ Πολύφημος μήτε πατρὸς ὢν Κύκλωπος (Ποσειδῶνος γὰρ ἦν) μήτε μητρὸς αὐτὸς Κύκλωψ ἐγένετο. ἑτέρῳ μύθῳ ἐπιλύεται. καὶ γὰρ ἐκ Βορέου ἵπποι γίνονται καὶ ἐκ Ποσειδῶνος καὶ τῆς Μεδούσης ὁ Πήγασος ἵππος. τί δὲ ἄτοπον ἐκ Ποσειδῶνος τὸν ἄγριον τοῦτον γεγονέναι, ὥσπερ καὶ τὰ ἄλλα τὰ ἐξ αὐτοῦ ἀνὰ λόγον τῇ θαλάττῃ ἄγρια γεννᾶται ἢ τερατώδη ἢ παρηλλαγμένα. T.

315. πολλῇ δὲ ῥοίζῳ] ἐμφαντικῶς πρὸς τὸ μέγεθος, εἴ γε ὅλην ποίμνην ῥοιζήσας ἐξάγει πρὸς τὸ ὄρος. τὸ γὰρ σύριγγι χρήσασθαι ποιμαίνοντα ἡμέρου ποιμένος. H.Q. ῥοίζῳ] ἀσήμῳ φωνῇ, συριγμῷ. P.V.

317. εἴ πως τισαίμην] μεγαλοψύχως οὐχ ὑπὲρ σωτηρίας ἑαυτοῦ, ἀλλ' ὑπὲρ ἐκδικήσεως τῶν ἀπολωλότων σκέπτεται. καὶ τοῦτο δὲ εἰς τὴν εὐσέβειαν τοῦ ἀνδρὸς ὅρα, τὸ μηδὲ ἐν τοῖς ἐσχάτοις ὄντα ἀπογινώσκειν θεοῦ βοηθοῦ. H.Q.

14. ἀπωλέσθημεν] ἀπελάσθημεν H.

25. ῥοίζῳ] In B. annotatum, Ἰωνικὸν ὥσπερ ἡ ῥοῖζος, οὕτω παρά τισι καὶ ἡ λιμός, ex Eustathio p. 1631, 2. Femininum ῥοῖζος ex hoc loco annotavit Photius Lex. p. 491, 6.

32. θεοῦ βοηθοῦ H. βοηθείας Q.

www.libtool.com.cn

320. χλωρὸν] ἵνα μὴ ἐπὶ τῆς χρείας θραύσῃ. "ἐλαΐνεον" δὲ ἐπεὶ τὸ τοιοῦτον δέχεται τὴν θερμότητα καὶ ταχέως ἐκπυροῦται. T.

322. νηὸς ἐεικοσόροιο] ὑπὸ εἴκοσι κωπῶν ἐρεσσομένης, εἰκοσακώπου, ἢ εἴκοσι χιλιαδῶν. H. τὴν ὑπὸ εἴκοσι ἐρετῶν ἐρεσσομένην. E.Q. ἐχούσης εἴκοσι κώπας. P.

325. ὄργυιαν] ἐκτεταμένων τῶν χειρῶν τὸ διάστημα ὄργυια λέγεται. Q.V.

326. ἀποξῦναι] ἀπολεπίσαι. P. τὰ ἄκρα καὶ ὀξέα ἀφελεῖν καὶ ὃ μάλιστα κύκλωθεν. T.

327. ἐθόωσα] ἐπώξυνα. ἐκ τοῦ συνωνύμου τὸ ὁμώνυμον. ὁ τρόπος μετάληψις. P.

328. ἐπυράκτεον] ἐπύρουν εἰς τὸ δαλὸν ποιῆσαι. P.V.

329. ὑπὸ κόπρῳ] Ἀριστοφάνης, ὑπὸ κόπρου· ὡς ὑπὸ κόλπου, ὑπὸ μάλης δέ τι φέρει. H.

330. ἤλιθα] χύδην, παρὰ τὸ ἅλις· ἢ ἀθρόως, δαψιλῶς. V.

331. πεπαλάχθαι] Ἀρίσταρχος πεπαλάσθαι. H.M.

κλήρῳ πεπαλάχθαι] καὶ ἐν Ἰλιάδι "κλήρῳ νῦν πεπάλαχθε." καὶ ἴσως διὰ χειρός. κακῶς δέ φασιν ἐπιτρέπειν τῇ ἐκ τοῦ κλήρου τύχῃ τὸ πρᾶγμα δὲ . . . ἑλέσθαι τοὺς ἐπιτηδείους. ἀλλ' οὐδεὶς ἂν τοιοῦτον πρᾶγμα ἑκουσίως ὑπέστη. τὸ δὲ ἐπιλέξασθαι καταγινωσκόντων ἦν τῶν λοιπῶν. πρὸ καιροῦ δὲ ὁ κλῆρος· οὐ γὰρ ἐν ταῖς χρείαις ἕκαστα δεῖ πράττειν. T.

333. τρῖψαι ἐν ὀφθαλμῷ] πῶς οὐκ ἐδεδίει τοὺς ἐκγόνους Ποσειδῶνος Φαίακας, τὴν πήρωσιν λέγων Κύκλωπος; Ἀριστοτέλης οὖν φησιν ὅτι ᾔδει ἐχθροὺς ὄντας αὐτοῖς, "οἳ σφέας σινέσκοντο" (ζ, 6.). M.Q.

ἐν ὀφθαλμῷ] ἐπ' ὀφθαλμῷ διὰ τοῦ π Ἀρίσταρχος. M.

9. ὃ μάλιστα κύκλωθεν] ὅτι μάλιστα κυκλοῦν Prellerus.

13. ὑπὸ κόπρου] Eustath. p. 1631, 36. ὑπὸ κόπρου τινὲς γράφουσιν Ἀττικώτερον etc.

ὑπὸ μάλης] ὑπομάλης H.

15. Hoc scholion (ἀβρὸν scripto pro ἀθρόως) est etiam in cod. Ambrosiano B. ut suspicor vel E.: nam Maius siglam omisit.

16. Ἀρίσταρχος π.] π. ἀρίων (sic per ο, alibi sæpe ἀρίων) M. Idem πεπλάσθαι, H. vero πεπλᾶσθαι. Vera scriptura apud Eustathium est p. 1631, 14. et Apollon. Lex. Hom. s. v. πάλος.

23. ἐδεδίει] ἐδέδιε Q.

24. πήρωσιν] πύρωσιν H.

25. ὅτι M. ὡς Q.

ᾔδει] ἔδει Q. Conf. schol. ad v. 345.

27. Ἀρίσταρχος] Iterum ἀρίων in M.

www.libtool.com.cn

γλυκὺς ὕπνος ἱκάνει] καλῶς νυκτὸς ἐπιτίθεται, ἵνα μὴ τύχῃ βοηθείας· φίλυπνοι γὰρ οἱ ἀγροῖκοι διὰ τὸν μεθ' ἡμέραν πόνον. Η.

335. ὅρα ὅτι αὐτομάτως καὶ δίχα δισταγμοῦ ἑαυτὸν ἐπιδίδωσι πρὸς τοὺς κινδύνους. Η.

339. ἤ τι ὀϊσάμενος] οἰκονομικῶς, ἵνα καὶ οἱ ἄρσενες δυνηθῶσι διασῶσαι καὶ ἐξαγαγεῖν τοὺς ἑταίρους. Q. τοῦτο ὑπολαβὼν ἀφ' ἑαυτοῦ, τὸ βαλεῖν ἐντὸς πάντα τὰ μῆλα. ἢ καὶ ὁ θεὸς ἐμβαλεῖν ἐκέλευσε. Β.

344. νῦν ἀνακεφαλαιοῦται πάλιν τὰ πρὸ ὀλίγου πεφασμένα εἰς μνήμην τῶν ἀκροατῶν. διὰ τοῦτο δὶς περὶ τῶν βρωθέντων δύο φίλων τοῦ Ὀδυσσέως φησὶ καὶ πάλιν. Η. δεῖπνον] γρ. δόρπον. Η.

345. διὰ τί Ὀδυσσεὺς πρὸς τοὺς Φαίακας ἔλεγεν ὅτι τὸν Κύκλωπα ἐτύφλωσε Ποσειδῶνος υἱὸν ὄντα, οὗσι καὶ αὐτοῖς ἀπογόνοις Ποσειδῶνος; λύων οὖν Ἀριστοτέλης φησὶν ὅτι ᾔδει ἐχθροὺς αὐτοὺς ὄντας τοῦ Κύκλωπος. ἐκβληθέντας γάρ φησιν ὑπὸ τῶν Κυκλώπων ἐλθεῖν ἐπὶ τὴν Σχερίαν· (ζ, 4.)

οἳ πρὶν μέν ποτ' ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ
ἀγχοῦ Κυκλώπων, ἀνδρῶν ὑπερηνορεόντων,
οἵ σφεας σινέσκοντο, βίηφι δὲ φέρτεροι ἦσαν·
ἔνθεν ἀναστήσας ἄγε Ναυσίθοος θεοειδὴς,
εἶσεν δὲ Σχερίῃ, ἐκὰς ἀνδρῶν ἀλφηστάων. Η.Τ.

345. καὶ τότ' ἐγὼ Κύκλωπα] ὅρα τὴν εὐτολμίαν. οὐ γὰρ μόνον τὸ κινδυνωδέστατον ὁρῶν τῶν ἑταίρων οὐ φρίττει, ἀλλὰ καὶ πλησίον προσέρχεται καὶ διαλέγεσθαι τολμᾷ. * * αὐτὸν ἀπὸ πάσης ἐπιθέσεως πλανήσειν ἔμελλεν ἐπιφανείς. οὐχ ὡς πρόσκειται, ἀλλ' ἁπλῶς ἔφη. Τ.

346. κισσύβιον] ποιμενικὸν ποτήριον. τοῦτο δὲ εὕρηται καὶ παρὰ τῷ συβώτῃ Εὐμαίῳ. Q. ἤτοι ἐκ κισσίνου ξύλου κατεσκευασμένον, ἢ ὄνομα ποτηρίου, ὡς Θηρίκλειον, παρὰ τὸ ἐκεῖσε κεῖσθαι τὴν πόσιν, ἢ ἔχον κισσὸν ἔξωθεν. Η.P.Q.V.

347. τῇ] ἀντὶ τοῦ λάβε. τὸ δὲ τῇ πόθεν κανονίζεται; ἐκ τοῦ τάω τῶ, ὡς ζάω ζῶ. τὸ δὲ δεύτερον τῆς, τὸ δὲ τρίτον τῇ. Ρ.

3. δισταγμοῦ Struvius. λαγμοῦ Η.
13. καὶ αὐτοῖς om. Η.
14. Ποσειδῶνος] τοῦ ποσειδῶνος Τ.
οἷν et φησὶν om. Τ.
21. ἀνδρῶν] ἄλλων Η.Τ.
24. Lacunam indicavit Prellerus.
28. ἤτοι ἐκ] ἄλλως. κισσύβιον ποιμενικὸν ποτήριον ἢ ἐκ Q.
29. ὄνομα] ὄνομα κύριον V.
ὡς Θηρίκλειον—τὴν πόσιν om. P.V.
30. ἔχον] ἔχοντος Q.
32. τῇ] Conf. schol. θ, 477.

www.libtool.com.cn

πίε οἶνον] τὸ "πίε οἶνον" ὡς πρὸς τὸ "ἐπεὶ φάγες." συγγέγηται δὲ τὸ τοῦ βρώματος εἶδος, ἐπεὶ οὐχ ὡς αἴτιον πρόκειται. Q.

348. οἷόν τε ποτὸν τόδε νηῦς ἐκεκεύθει] ἀξιοπίστως ἐνίστησιν ἑαυτὸν, ἐπὶ τῇ πρόσθεν εὐδαιμονίᾳ προσποιούμενος ἐπελπίζειν σωτηρίας παρ' αὐτοῦ τεύξεσθαι, ὅπερ ἀφῄρει πᾶσαν ἐπιθέσεως ὑπόνοιαν. T.

350. ἀνεκτῶς] οὐκ οἰκείως, φησὶν, ἔλεγχος οὐδὲ ἀκολούθως τοῖς προκειμένοις . . . βλασφημεῖ δὲ ὡς φασνόμενος.. T.

353. δέκτο] ἐξεδέξατο τὸ ποτήριον ἐξ ἐμοῦ. H. οὐδὲν ὑπονοήσας ἐδέξατο ὑπὸ τῆς εὐωδίας κρατηθεὶς, ἣν προῳκονόμησεν ὁ ποιητής. T.

*** πιὼν ὁ τηλικοῦτος οὐ κεκράτηται, ἀλλ' ἐστὶν ἀήθης τοῦ οἴνου τοῦ τοιούτου. ἀλλὰ καὶ τὸ κισσύβιον μέγιστον. T.

ἧσατο] δασύνεται τὸ ἧσατο· ἔστι γὰρ ἀπὸ τοῦ ἥδω ἔμαθεν δὲ ὅτι ἥσθη ἀπὸ τοῦ δεύτερον αἰτῆσαι, καὶ διὰ τοῦ μηδέπω γάλακτος πεπωκέναι ἐπὶ τῇ τροφῇ. πιθανὰ οὖν ταῦτα, ἵνα πολλάκις αἰτήσας μεθυσθῇ. Q.

ἧσατο] εἰς ἡδονὴν αὐτὸ ἔσχεν. H.Q.

[356. ἵνα τοι δῶ ξείνιον: εἰρωνεία τοῦτο· ἢ καὶ ἀληθὲς, ὅτι πιὼν δῶρον ἔδωκε τῷ Ὀδυσσεῖ τὴν οἰκείαν τύφλωσιν ἐν ᾗ καὶ ἐχάρη ὁ Ὀδυσσεύς. B.]

357. Κυκλώπεσσι φέρει] αὐξάνει τοῖς Κύκλωψιν. H.

360. αὐτὰρ οἵ] γρ. αὐτάρ οἱ. H.

364. ὄνομα κλυτόν] κλυτὸν οὐκ ἔνδοξον, ἀλλ' ἐξ οὗ καλοῦμαι, ὅ ἐστιν ἐπώνυμον, ὡς καὶ Ἴβυκος "κλυτὸς ὄρθρος" ὁ καλούμενος. Q.

365. σὺ δέ μοι δὸς ξείνιον] δαιμονίως, ἵνα μηδὲν ὑπονοήσῃ τῆς περὶ τὸ ὄνομα πλάνης. οὐ γὰρ ἀληθῶς καὶ ξένια ᾔτει, εἰδὼς ὅτι μὴ λήψεται, οὔτις πιθανῶς λέγων ὅτι ὑπέστη . . . . T.

366. Οὔτις ἐμοιγ' ὄνομα] προπερισπαστέον νῦν τὸ ὄνομα. ἐπὶ δὲ τοῦ "οὔτις με κτείνει" (408.), παροξυντέον· ὡς δύο γὰρ μέρη λόγου παραλαμβάνεται. Q.

1. ἐπεὶ φάγες H. φαγεῖν Q. συγγέγηται corruptum.

15. ἵνα] Vid. not. ad α, 13. BUTTM.

18—20. Scholion ex Eustathii verbis p. 1632, 46. compositum, ut videtur.

21. αὐτάρ οἱ] Hoc non differt ab eo quod H. in textu habet αὐτὰρ οἵ. Duplex scriptura, altera vulgata ὡς ἔφατ'· αὐτάρ οἱ —, altera eaque recta ὡς φάτ'· ἀτάρ οἱ —.

24. κλυτὸς ὄρθρος] Vide Etym. M. s. v. ἠώς. BUTTM.

28. προπερισπαστέον Buttm. pro περισπαστέον.

τὸ ὄνομα] τὸ Οὔτις Struvius.

www.libtool.com.cn

372. ἀποδοχμώσας] εἰς πλάγιον ποιήσας. T. πλαγιάσας· δόχμιον γὰρ τὸ πλάγιον. B.P.V.

373. πανδαμάτωρ] ἐπιθετικῶς ὁ ὕπνος ὁ πάντας δαμάζων καὶ θεοὺς καὶ ἀνθρώπους. V.

φάρυγος] συνεκδοχικῶς τοῦ στόματος. φάρυγγα γὰρ καλοῦσι τὴν ἔνδον ἀχάνειαν τοῦ στόματος, εἰς ἣν ἀνήκει τὰ δύο στόματα, τό τε τοῦ οἰσοφάγου καὶ τὸ τοῦ λάρυγγος. καὶ οἰσοφάγος μὲν λέγεται, ὥς φασιν οἱ τῶν ἰατρῶν παῖδες, τὸ δεχόμενον τὰ σιτία, ἤτοι ὁ στόμαχος, λάρυγξ δὲ αὐτὸ τὸ ἀποτελοῦν τὴν ἠχήν. H.Q. καλῶς φάρυγγα λέγει τὸ ἀπὸ τοῦ βρόχθου ἕως τοῦ στόματος τῆς κοιλίας. στόμαχον δ' ὅταν λέγῃ, τὸν λαιμὸν λέγει. "ἦ, καὶ ἀπὸ στομάχους ἀρνῶν τάμε" (Il. γ, 292.). T.

374. ψωμοί] τὰ λεπτὰ κόμματα τῶν ἀνδρομέων κρεῶν. ὅθεν καὶ ψωμὸς ἄρτου παρ' Ἡσιόδῳ βλωμός. οὐ καλῶς δὲ ἐχρήσατο ὁ Ὅμηρος τῇ λέξει ἐπὶ κρεῶν. B.

376. εἴπως] ὅπως, ἵνα. V.

379. διεφαίνετο] διαφανὴς ἦν ὅτι πεπύρωτο. H.V.

383. ὁ Κύκλωψ κατὰ μὲν Ὅμηρον οὐκ ἦν μονόφθαλμος φύσει, ἀλλὰ κατά τινα συντυχίαν τὸν ἕτερον τῶν ὀφθαλμῶν ἀποβεβλήκει. δύο γὰρ ὀφρύας εἶχε· φησὶ γὰρ "πάντα δέ οἱ βλέφαρ' ἀμφὶ καὶ ὀφρύας εὖσεν ἀϋτμή" (389.). M.

ἐνείρυσαν] γρ. ἐνέρεισαν. H.

ἐρεισθείς] γρ. ἀερθείς. H. ἐρεισθείς Ἀρίσταρχος. M.

384. τρυπῷ] ἀντὶ τοῦ τρυπᾷ, ἀπὸ τοῦ τρυπῷμι, εὐκτικῶς. B.

385. ὑποσείουσιν] τὸ πλῆρές ἐστι, τρύπανον. H.V.

386. τὸ δὲ τρέχει] κυκλοτερῶς κινεῖται. δαιμονίως δὲ τῇ ἐμβάσει τοῦ ὀφθαλμοῦ τὸ μέγεθος καὶ τὸ βάθος . . . παρέστησεν· οὐ γὰρ νέον ξύλον. τὸ δὲ "πυριηκέα" ἀκὴν πυρὸς ἔχοντα, τῷ πυρὶ ἠκονημένον καὶ ὀξυνόμενον. T.

1. πλαγιάσας B. πλαγιώσας ceteri.
2. δόχμιον γὰρ τὸ] ἀπὸ τοῦ δόχμιον τὸ B.
6. ἀχάνειαν Struvius pro ἀχανίαν. στόματος H. σώματος Q.
13. τὰ—βλωμός] Hæc ex Eustathio p. 1635, 26. compilata.
14. Ἡσιόδῳ] Op. 440.
23. ἐρεισθεὶς Ἀρίσταρχος] ἐρισθεὶς ἀρίων M. qui in textu ἀερθείς habet.
25. ἐστι om. V.
τρύπανον] τρυπάνιον H.
28. πυριηκέα] In B. scholion est ex Eustathio p. 1635 extr. transcriptum πυριηκὴς δὲ μοχλὸς ὁ οἷον ἠκονημένος πυρί. εἰ δὲ καὶ βαρυτόνως γράφεται πυριήκης συνηγορεῖται ὑπὸ τοῦ ταυηήκους ξίφους καὶ τῶν ὁμοίων. δύναται δὲ πυριήκης εἶναι καὶ ὁ πυρίνην ἔχων ἀκὴν, ἀφ' ἧς ἡ ἀκωκή.

www.libtool.com.cn

387. πυρηκέα ὡς τανηκέα, ἀντὶ τοῦ ὀξύτητα πυρὸς ἔχοντα. H.Q. πυριεικέα] πεπυρωμένον. V.

τὸ δὲ ἑλόντες Ἀρίσταρχος ἀντὶ τοῦ ἔχοντες. H.

388. τὸν δ' αἷμα] τὸν μοχλὸν λέγει. φασὶ δὲ οἱ ἰατροὶ ὅτι οἱ καιόμενοι αἷμα οὐκ ἀποβάλλουσι φρυττομένων τῶν σαρκῶν. ῥητέον οὖν ὅτι οὐκ ἔφθασεν ἀποφρυγῆναι τὰ ἐν βάθει ἀγγεῖα. B.Q.

390. σφαραγεῦντο] διετείνοντο, ἐσπαράσσοντο μετὰ ἤχου, ἢ κατετονοῦντο. B.P.

391. ὡς δ' ὅτ' ἀνὴρ] ἀμήχανα ταῦτα εἰς μετάληψιν ὅσα τετόλμηκεν Ὅμηρος ὁμοιῶν τὰ ὀνόματα τοῖς ὑποκειμένοις. σχεδὸν γὰρ ἐν τῇ φωνῇ πᾶν τὸ τῶν ὀφθαλμῶν πάθος ἐδήλωσε. πῶς δὲ μὴ εὐθὺς πλαγεὶς ταῖς χερσὶν ἐπελάβετο τῶν περιστρεφόντων τὸν μοχλόν; ἢ ὅτι μακρὰν ἀπέσχον, ἢ ἡ ἐπίθεσις ὀξεῖα, ἢ ὅτι αἱ κινήσεις τῶν μεγάλων σωμάτων βραδεῖαι. ἢ περιαλγὴς ὢν τῷ πάθει ἐπετετάρακτο, ἢ οὐκ ἐσωφρόνει διὰ τὴν μέθην. εὐρὺ δὲ ἦν καὶ τὸ σπέος, ὥστε μὴ εἶναι ῥᾴδιον συνειλῆσαι εἰς ἕνα τόπον. Q.

393. φαρμάσσων] στερροποιῶν, στομῶν, στομοποιῶν. V. ἐφορμῶν, στομῶν, στερροποιῶν. P. ἤτοι φαρμακῶν καὶ ἐνδυναμῶν. B.

σιδήρου τε κράτος ἐστίν] τὸ βάψαι ψυχρῷ τὸν πεπυρωμένον σίδηρον· ἰσχυρὸν γὰρ αὐτὸν ποιεῖ. V.

394. σίζ'] σίζεν ἀντὶ τοῦ ἐσύριζεν, ἤτοι φωνὴν ἀπετέλει, ὡς ἐπὶ τοῦ βαπτομένου σιδήρου. B. καὶ τοῦτο ὠνοματοπεποίηται ἀπὸ τοῦ κατὰ τὸ λίπος γινομένου σισιλισμοῦ, ὅ ἐστι συνεχείας. H.Q.V.

[398. ἀλύων: νῦν ἀντὶ τοῦ ἀδημονεῖν, ἐν δὲ τοῖς μετὰ ταῦτα ἀντὶ τοῦ χαίρειν, ὡς τὸ "ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας" (σ, 333.). μέση γὰρ ἡ λέξις, ὡς καὶ ἡ συμφορὰ καὶ ἡ τύχη καὶ ὁ δαίμων καὶ τὰ ὅμοια. B.]

399. αὐτὰρ ὁ Κύκλωπας] καίτοι οὐ περὶ αὐτὸν ᾤκουν, ἀλλ' ἀπάνευθεν τούτου καὶ ἐφοίτων ἄλλοθεν ἄλλος. λύει δὲ τὴν ἀπορίαν τὸ μέγα βοᾶν αὐτὸν καὶ ἐν ἐρημίᾳ εἶναι καὶ διὰ τοῦτο ἐξακούεσθαι. οὐκ

1. πυρηκέα — ἀντὶ] τὸ δὲ πυρήκεα ἀντὶ H.

3. ἑλόντες—] Eustathius p. 1635, 45. ἑλόντες ἢ ἔχοντες κατὰ Ἀρίσταρχον. Videtur Aristarchus non legisse ἔχοντες, sed ἑλόντες per ἔχοντες interpretatus esse.

7. μετὰ ἤχου om. P.

15. ὥστε Buttm. pro εἴτε.

17. In H. στομῶν, στερροποιῶν, στερρῶν.

23. σισιλισμοῦ codex Barnes. et Eustathius. σηλισμοῦ H. σειλιγμοῦ Q. σισιλιγμοῦ Q.V.

συνεχείας] συνηχείας Barnes.

24—27. Ex Eustath. p. 1636, 22.

www.libtool.com.cn

εἰσῆλθον δὲ ἐν τῷ σπηλαίῳ. τὸ γὰρ εἰσελθεῖν ὄλεθρον τῶν ὄντων ἐποίει, καὶ ἀνῄρει τὴν ὑπόθεσιν τῆς πάσης ὑποθέσεως. B.Q.

οἳ ῥά μιν ἀμφὶς ᾤκεον] οἵτινες περὶ αὐτὸν δὴ τὸν Κύκλωπα κατῴκουν. H.

400. δι' ἄκριας] τοὺς μεταξὺ τῶν ἀκρωτηρίων τόπους. Q.V. ἢ τὰς τῶν ὀρῶν ἀκρωρείας. P.V.

403. Πολύφημε] ἐνταῦθα τὸ ὄνομα ἀπὸ τῶν εἰδότων ἀκούει ὁ Ὀδυσσεύς. ὅθεν πρότερον Κύκλωπα ὀνομάζων ὕστερον τοὔνομα λέγει. H.Q.

ἀρημένος] βλαπτόμενος. B. βεβλαμμένος. P.V.

404. νύκτα δι' ἀμβροσίην] γρ. δι' ὀρφναίην. H.

408. Οὖτίς με κτείνει] εἰκότως μέμνηται τοῦ ὀνόματος αὐτοῦ, ἅτε δὴ δεύτερον αὐτὸ ἀκούσας "Οὖτις ἔμοιγ' ὄνομα, Οὖτιν δέ με κικλήσκουσιν." H.

οὐδὲ βίηφιν] καὶ τοῦτο ὡς ὑπερήφανος, ὑπαλγῶν ὡς βίην τινὸς λειπόμενος. H.

410. εἰ μὲν δὴ μή τίς σε] εἰκότως ὁ Κύκλωψ ἀλγῶν οὐκ ἀντήκουσεν αὐτῶν λεγόντων, ἐπεὶ ἔλεγεν ἂν εὐθὺς ὅτι καὶ ἄνθρωπος Οὖτις οὕτω λεγόμενος ἔβλαψε. γέγονε δὲ ἐκ τῆς ὁμωνυμίας ἡ ἀπάτη. κἀκεῖνοι δὲ νομίζοντες λῃστὰς εἶναι τοὺς ἐπηρεάζοντας αὐτὸν παραγεγόνασιν, εὑρόντες δὲ οὐδένα ἀφοσιωσάμενοι ἀνεχώρησαν. Q.

411. πῶς τοῦ Κύκλωπος προειπόντος "οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν, οὐδὲ θεῶν μακάρων, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν" (275.), πάλιν ἐποίησε τοὺς Κύκλωπας λέγοντας "νοῦσον δ' ὕπως ἔστι Διὸς μεγάλου ἀλέασθαι, ἀλλὰ σύ γ' εὔχεο πατρὶ Ποσειδάωνι." ἐναντίωμα γὰρ φαίνεται μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγοντος. τὸ γὰρ μὴ προσέχειν τοῖς θεοῖς κρειττόνων ἦν εἰκότως, τὸ δὲ προσέχειν πάλιν ἡττόνων. λύεται δὲ πάλιν ἐκ προσώπου τῶν λεγόντων. ὅτι μὲν γὰρ οἱ Κύκλωπές εἰσι πολὺ φέρτεροι τῶν θεῶν ὁ Πολύφημος εἴρηκε πρὸς τὸν Ὀδυσσέα, ὅτι δὲ οἱ Κύκλωπες τῶν θεῶν εἰσι κρείττους καὶ ἄλλων οὐδεὶς εἴρηκεν. εἰ μὲν οὖν ὁ ποιητὴς ταῦτα εἴρηκεν αὐτὸς, παρὰ τῷ ποιητῇ ἐναντία ἦν. ἐπεὶ δὲ ἄλλος καὶ ἄλλος ἐστὶν ὁ λέγων, σκεπτέον τίνι περιέθηκε τοὺς ἀφρονεστέρους λόγους. δῆλον δὲ ὅτι τῷ Πολυφήμῳ, ὃς οὐχ ὁμόγνωμος ἦν τοῖς ἄλλοις οὐδὲ ἐν τῇ περὶ θεῶν δόξῃ

2. ὑποθέσεως] Hoc pro alio vocabulo illatum, librario ad præcedens ὑπόθεσιν aberrante.

5. ἄκριας] Eustathii verba p. 1636, 47. ἄκριας κατὰ τοὺς παλαιοὺς —ἐπιτορεύεσθαι adscripta in B.

7. ὁ Buttm. pro ὡς ὁ.

18. οὕτω Buttm. pro οὕτος.

www.libtool.com.cn

ὡμολόγει. ἐποιμαίνετο γὰρ, ὥς φησιν ὁ ποιητὴς, "ἀπόπροθεν, οὐδὲ μετ' ἄλλους πωλεῖτ', ἀλλ' ἀπάνευθεν ἐὼν ἀθεμίστια ἤδει" (188.). αὐτὸς οὖν καὶ περὶ θεῶν τὰ ἀθεμίστια εἰδὼς ἡγεῖτο καὶ τοὺς ἄλλους Κύκλωπας τὰ αὐτὰ δοξάζειν αὐτῷ, οὓς συμβέβηκε βελτίονας ἐκείνου τὴν φύσιν ὄντας μὴ τὰ αὐτὰ γινώσκειν ἐκείνῳ· περὶ γὰρ τούτων ἔφη ὁ ποιητὴς "οἵ ῥα θεοῖσι πεποιθότες ἀθανάτοισιν" (107.). T.

423. περὶ τῆς ἐμῆς ψυχῆς βουλευόμενος. H.

425. ἄρσενες ὄϊες ἦσαν] Ἀρίσταρχος οἶϊες. τὸ δὲ δασύμαλλοι οἰκεῖον ἐπίθετον ἀπὸ τοῦ κατακρύπτεσθαι ὑπὸ τοῖς ἐρίοις τοὺς ἑταίρους. ἁρμοδίως δὲ ἀεὶ κέχρηται τοῖς ἐπιθέτοις ποτὲ μὲν καλλίτριχα λέγων τὰ μῆλα (336.) διὰ τὸ εὐεργὲς τῶν ἐρίων· τῶν γὰρ ἄλλων ζῴων αἱ τρίχες περιτταί· καὶ ἐξῆς τανύποδα (464.) τὰ μῆλα διὰ τὸ περὶ τοὺς πόδας ἰδίωμα. οὕτω δένδρων δρύες ὑψίκομοι (186.), μηλέαι ἀγλαόκαρποι, συκέαι γλυκεραὶ καὶ ἐλαῖαι τηλεθάουσαι (η, 115. 116.) διὰ τὸ ἀειθαλὲς, ἰτέαι ὀλεσίκαρποι (κ, 510.). ἐπὶ δὲ ζῴων ἵπποι ἀερσίποδες, ἡμίονοι ταλαεργοὶ, κρατερώνυχες ἵπποι, ἀργιόδοντες ὗες. ἐπὶ πτηνῶν αἰετὸς ἀγκυλοχείλης, κορῶναι τανύγλωσσοι (ε, 66.). B.H.Q.

427. λύγοισι] λύγος ἐστὶν ἱμαντῶδες φυτόν. ὁ δὲ ἄγνος λέγεται παρ' Ἀττικοῖς ἀρσενικῶς. B.

429. σύντρεις αἰνύμενος] ἤτοι συναινύμενος, συλλαμβάνων, συζευγνύων τρεῖς κριοὺς, ὧν ὁ μὲν ἔφερε τὸν ἄνδρα δεδεμένον ὑπὸ τὴν κοιλίαν αὐτοῦ, οἱ δὲ ἕτεροι διεπορεύοντο ἑκατέρωθεν περιφυλάσσοντες καὶ περισώζοντες τοὺς φίλους. B. δυνατὸν καὶ δύο μέρη λόγου λέγειν σὺν καὶ τρεῖς, καὶ ἓν μέρος λόγου σύντρεις, ὡς σύνεξ. τούτοις δὲ μόνοις τοῖς δύο ἀριθμοῖς ὑπῆρξε τὸ συντίθεσθαι μετὰ τῆς σύν προθέσεως. H.

434. ἀώτου] ἄνθους τοῦ ἐρίου. λέγει δὲ λαμπροῦ. Q. τοῦ ἄνθους. λέγει δὲ τοῦ ἐρίου. P.V.

435. στρεφθεὶς ἐχόμην] συστρέψας τὰς χεῖρας. οὐδὲ γὰρ ἦν τις τοῦ δῆσαι αὐτὸν αὐτοῦ δήσαντος τοὺς ἄλλους. B.Q.

8. Ἀρίσταρχος οἶϊες] ἀρίσταρχος ὄϊες (voluit οἷες) B.Q., nisi fallit Maii editio. οἶϊες Buttm., ut ediderat Barnesius. Qua forma sæpius utuntur poetæ Alexandrini: v. Gerhard. Lect. Apollon. p. 107.
δασύμαλλοι] δασυνόμενον B.Q.
9. ἀπὸ τοῦ] πρὸς τὸ H.
16. ἡμιόνοι] ἡμίονες B.H.Q.
17. πτηνῶν] πτηνοῦ H.Q.
αἰετὸς om. B.Q.
18. ἄγνος Buttm. pro ἄχνος.
24. τρεῖς—σύντρεις ὡς σύνεξ correxi pro τρὶς—σὺν τρὶς ὡς συνξυνόμενα.
δὲ] καὶ H.

www.libtool.com.cn

440. σφαραγεῦντο] ἐβαροῦντο διὰ τὸ πρωΐας μὴ ἀμελχθῆναι. **B.** διετείνοντο, ἐκπεπλησμένα ἦσαν. οὖθαρ δὲ τὸ γάλα. **H.Q.**

442. ὀρθῶν ἑσταότων] κατὰ τὴν οἰκείαν τάξιν βηματούντων καὶ τότε, ὅπερ ὀρθὸν λέγει, οὐ γὰρ πλαγίως ἢ ὑπτίως ἑστώτων ἐψηλάφει. **B.**

443. ὑπ' εἰροπόκων] λέγει τὰ τῶν προβάτων μαλλία. **H.**

444. ὕστατος ἀρνειὸς] καὶ τοῦτο εἰς ἀγωνίαν τοῦ ἀκροατοῦ, ἀλλὰ καὶ εἰς τὴν φιλεταιρίαν τοῦ Ὀδυσσέως, ὅτι τὸ αὐτοῦ ἀσφαλὲς ἐν ἑτέρῳ ἔθετο, οὐκ ἀξιώσας διὰ τῶν τριῶν προβάτων ἀσφαλῶς διακομισθῆναι. διδάσκει δὲ διὰ πολλῶν οἵους δεῖ εἶναι τοὺς ἄρχοντας διὰ τοὺς ὑποτεταγμένους. **Q.**

445. λαχμῷ στεινόμενος] τῇ λαχνώσει, τῇ λασιότητι, τῇ δασύτητι τῶν μαλλῶν στενοχωρούμενος. **B.Q.** λαχμῷ, τῇ δασύτητι τῶν μαλλῶν. γράφεται καὶ λάχνῳ, παρωνύμως τῇ λάχνῃ. **H.M.P.V.** λαχμὸν λέγει νῦν τὴν ἐκ τῆς λάχνης λασιότητα. οἱ δὲ παλαιοί φασι κάλλιον ἐνταῦθα λάχνῳ κατὰ Ἡρῳδιανόν. **M.**

454. δαμασσάμενος] δαμάσσας, ἀντὶ τοῦ ἀλλοιώσας. **V.**

455. εἶναι ὄλεθρον] γρ. ἔμμεν' ὄλεθρον. **H.P.**

456. εἰ δὴ ὁμοφρονέοις] τὰ αὐτά μοι φρονέοις. **H.** ὁμόφωνος γένοιο πρὸς τὸ δηλῶσαι τὰ τῶν πολεμίων. δοκεῖ δὲ βουκολικὸν εἶναι τοῖς νεωτέροις τὸ πρὸς κριὸν διαλέγεσθαι. δαιμονίως δὲ ὑπὸ Ὁμήρου πρώτου κατώρθωται τὸ αὐτοῖς τοῖς ζῴοις ὡς φρονοῦσι διαλέγεσθαι, ὡς "Εκτωρ, Ξάνθε τε καὶ σὺ Πόδαργε" (Il. θ, 185.). **Q.**

φωνήεις, λαλῆσαι δυνάμενος· ποτιφωνήεις, ὁμόφωνος. **V.**

464. ταναύποδα] τὰ τεταμένοις τοῖς ποσὶ βαδίζοντα, [ἢ ἰσχνόποδα,] ἢ τανύποδα. ταναὸν γὰρ τὸ ἐπίμηκες. ἢ τοὐναντίον νεύοντα τοὺς πόδας κατὰ τὸν ἑλιγμὸν τῆς πορείας, οὐκ εἰλοῦντα ὡς οἱ βόες. **H. Q.V.** ἰσχνόποδα, τεταμένους τοὺς πόδας ἔχοντα. δημῷ δὲ τῷ λίπει· δημὸς γὰρ τὸ λίπος λέγεται. **B.Q.**

2. οὖθαρ δὲ τὸ γάλα om. Q.

6. ἀλλὰ καὶ] ἀλλὰ δὲ (δὴ Buttm.) καὶ Q.

14. λαχμὸν λέγει—Ἡρωδιανόν] Hoc scholion a m. secunda habet M. λάχνῳ probavit etiam Seleucus, de quo Etym. M. p. 558, 24. Λαχμῷ: τῷ δασεῖ τῶν ἐρίων· παρὰ τὸ λίαν ἔχεσθαι. Ἀντίμαχος δὲ τῶν ἵππων τὸν λακτισμόν· οἷον "λαχμὸν δ' οὐ δείδιεν ἵππων." Σέλευκος δὲ ἀξιοῖ διὰ τοῦ ν γράφεσθαι λάχνῳ, ὃ σημαίνει λάχνην (ἵνα σημαίνηται ἡ λάχνη cod. Paris.)

18. ὁμόφωνος Buttm. pro ὁμόφρονος. Spectat ad ποτιφωνήεις, cui in H. adscriptum ἀντὶ τοῦ ὁμόφωνος.

24. τεταμένοις] τεταγμένοις Q.

ἢ ἰσχνόποδα om. H.Q.

25. τανύποδα] τετανύποδα V. Fort. ταναύποδα. Conf. Apollon. s. v. τανύποδα.

ταναὸν Barnes. τανὰ H. τανὸν Q.V.

www.libool.com.cn

468. οὐκ εἴων] κλαίειν. ὑπέρβατον. P.

οὐκ εἴων] ἀντὶ τοῦ οὐ παρεχώρουν κλαίειν, ἀνανεύων αὐτοὺς διὰ τῶν ὀφρύων μὴ κλαίειν. P.Q.

469. ἀλλ' ἐκέλευσα] καὶ τοῦτο διὰ νεύματος. συνεκδοχὴ δὲ ὁ τρόπος. οὐ γὰρ μόνα τὰ πρόβατα, ἀλλὰ καὶ τὰς αἶγας ἐνθέσθαι κελεύει. ἀφ' ἑνὸς οὖν τὸ ὅλον. B.Q.

473. ὅσσον τε γέγωνε βοήσας] ὅσον ἐξακούεται φωνὴ ἀνδρός. πότερον τὸ "ἀπῆν" αὐτὸς μόνος, ἢ σὺν τοῖς ἑταίροις; P.

475. δοκεῖ μὲν φιλονεικότερον ποιεῖν καὶ ἐναλλάττεσθαι· ἀλλὰ τοῦτο πρὸς παραμυθίαν τοῖς ἠδικημένοις παρέπεται. H.

481. ἧκε δ' ἀπορρήξας] ἐμφαντικῶς ἄγαν. ἅμα μὲν οὐχ ὁρᾷ ἀνελέσθαι ἐπιτήδειον λίθον, ἅμα δὲ καὶ διὰ τὴν ὀργὴν ὅπερ ὁ καιρὸς παραδέδωκεν ἔρριψεν. Q.

483. οὗτος ὁ στίχος συντάσσεται ἀπὸ τοῦ στίχου τοῦ ἀρχομένου "πλημμυρίς" (485.). M.

οἰήϊον] πηδάλιον, παρὰ τὸ οἰακίζειν, ὅ ἐστι κατιθύνειν. B.V.

οἰήϊον, ἤτοι τὸ ἄκρον τοῦ πηδαλίου. οἰήϊον δὲ λέγεται ἐκ τοῦ οἴειν καὶ κομίζειν τὴν ναῦν. Q.

484. ἐκλύσθη] ἐκυματίσθη. B. ἐκλυδωνίσθη. V.

485. τὴν δ' αἶψ'] τὴν δ' ἄψ, οὕτως. H.

486. ἡ τῆς θαλάσσης ἐπανάστασις ἢ κλύδων, ὃς ἐγγίσαι ἐποίησε τῇ γῇ. πλημμυρὶς προπαροξύνεται, τινὲς δὲ ὀξυτόνως. H.

θέμωσε δὲ χέρσον ἱκέσθαι] αἱ Ἀριστάρχου, θέμωσεν. ὁ μὲν Ἀρίσταρχος ἀποδέδωκεν οὕτως, ἤγγισε δὲ τῇ χέρσῳ· Καλλίστρατος δὲ ἀντὶ τοῦ ἐποίησε, παρὰ τὸ θεῖναι, παραγώγως. Ἄλλως. ἠνάγκασεν, ἐβιάσατο. ἀπὸ τῆς Θέμιδος ἡ μεταφορὰ τῆς καταναγκαζούσης τῷδε τάδε ποιεῖν. H.Q. ἐγγίσαι ἐποίησε τῇ γῇ. V.

490. προπεσόντες] σφοδρῶς ἐπιπεσόντες καὶ ἐγκείμενοι. V.

491. πρήσσοντες] Ῥιανὸς, πλήσσοντες. H.Q.

ἄπιμεν] ἀφειστήκειμεν. V.

4. δὲ Buttm. pro γὰρ.

14. Conf. schol. ad 540.

20. ἄψ] Conf. ad θ, 92.

22. προπαροξύνεται] Eustath. p. 1640, 56. τὸ πλημυρίς τινὲς τῶν παλαιῶν προπαροξύνουσι καὶ δι' ἑνὸς δὲ μ γράφουσιν ὡς ἀπὸ τῆς πλήμης.

23. θέμωσε] In B. verba Eustathii p. 1640, 49. adscripta sunt, τὸ θέμωσεν οὐ μόνον—τουτέστι ποιῆσαι.

αἱ H. οἱ Q.

θέμωσεν] Hoc si scripsit Aristarchus, δὲ omittere debuit, quod non est credibile eum voluisse.

29. Ῥιανὸς] ἀριανὸς Q.

www.libtool.com.cn

πῶς δὲ ἤκουσεν ἔτι Πολύφημος διπλάσιον αὐτοῦ ἀποστάντος; καὶ φαμὲν ὅτι οὐκ ἦν ἴσως πολὺ τὸ διάστημα. ἔτι δὲ καὶ γέγωνε βοήσας. δυνατὸν οὖν ἐπιτείνοντα τὴν βοὴν ἀκουσθῆναι. ἢ τάχα οὐ τὴν διπλασίονα ὁδὸν σημαίνει, ἀλλ' ὅτε τὸ δεύτερον διεπεραιώθημεν. ἦν δὲ καὶ μεγαλόφωνος Ὀδυσσεύς, ὡς καὶ ἐν Ἰλιάδι (γ, 221.) "ἀλλ' ὅτε δὴ ὄπα τὴν μεγάλην." ἄμεινον δὲ εἰπεῖν ὡς τὸ μὲν πρῶτον ἀπὸ τοῦ σπηλαίου ἤκουσεν αὐτοῦ, τὸ δὲ δεύτερον ἀπὸ τῆς θαλάσσης καὶ τοῦ αἰγιαλοῦ. H.Q. πῶς οὖν ἀκούει; προείρηκε γὰρ "ἀλλ' ὅτε τόσσον ἀπῆν ὅσσον τις γέγωνε βοήσας." ἤτοι μεγαλόφωνος ὁ Ὀδυσσεύς, ἢ δὶς ἐπὶ τὸ αὐτὸ μέρος ἀπέσχομεν πάλιν. οὕτως γὰρ ἡ ναῦς ἠνέχθη. V.

492. καὶ τότ' ἐγὼ] καὶ τότε δή Ἀρίσταρχος. M.

495. βέλος] βλῆμα. νῦν γὰρ τὸν βληθέντα λίθον λέγει. V.

498. σύν κεν ἄραξ'] γρ. ἄραξ'. P.

508. ἔσκε τις ἐνθάδε μάντις] ἐκ τούτου νοητέον ὅτι δεισιδαίμονες οἱ Κύκλωπες, ὅτι ὑπήκουον βουλήμασι θεῶν, καὶ οὐκ ἀπέκτεινον τοὺς προλέγοντας αὐτοῖς τινα παρὰ θεῶν ἐσόμενα. Q.

509. Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο] Εὐρύμου παῖς ὁ Τήλεμος, ὃς τῇ μαντείᾳ ἐκεκόσμητο. H.

515. ἄκικυς] γρ. ἀεικής. M.

516. ἀλάωσεν—ἐδαμάσσατο] γρ. ἀλαώσας—ἐδαμάσσαο. H.M.

ἐτύφλωσας, ἐματαίωσας. H.

525. οὐκ ὀφθαλμόν γ' ἰήσεται] μὴ βουλόμενος, οὐ γὰρ μὴ δυνάμενος. οὐκ ἐβούλετο δὲ Ποσειδῶν τὸν ἴδιον υἱὸν θεραπεῦσα, δίκαιον ἡγούμενος τιμωρεῖσθαι αὐτὸν τῆς πονηρίας. ὁ δὲ νοῦς, οὐδὲ Ποσειδῶν ἰάσεταί σε κακὸν ἐόντα. B.Q.

διὰ τί ὁ Ὀδυσσεὺς οὕτως ἀνοήτως εἰς τὸν Ποσειδῶνα ὠλιγώρησεν εἰπὼν "ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' ἐνοσίχθων;" (525.) ἢ διὰ τὸ γινώσκειν ὡς οὐκ ἦν ἰατρὸς ὁ Ποσειδῶν, ἀλλ' ὁ Ἀπόλλων, ἢ ὅτι οὐ θεραπεύσει αὐτὰ διὰ τὴν πονηρίαν αὐτοῦ. M. διὰ τί Ὀδυσσεὺς πρὸς τὸν Κύκλωπα οὕτως ἀνοήτως εἰς τὸν Ποσειδῶνα ὠλιγώρησεν τῷ λόγῳ εἰπὼν "ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' ἐνοσίχθων" (525.).

6. δὴ H. δ' Q.
τὴν] τε H.
13. γρ. ἄραξ'] Nam in textu antea videtur fuisse ἄρ' ἄξ'. BUTTM.
19. γρ. ἀεικής] Eustath. p. 1643, 7. γράφεται δ' ἐν τισι καὶ ἀεικής.
20. ἀλάωσας cum gl. ἐτύφλωσας est etiam in V.
22. μὴ ante δυνάμενος addidit Struvius.
30. πρὸς τὸν Κύκλωπα addit T., om. H.Q.
τῷ λογῷ addit T., om. H.Q.

www.libool.com.cn

Ἀντισθένης μὲν φησὶ διὰ τὸ εἰδέναι ὅτι οὐκ ἦν ἰατρὸς ὁ Ποσειδῶν, ἀλλ' ὁ Ἀπόλλων, Ἀριστοτέλης δὲ οὐχ ὅτι οὐ δυνήσεται, ἀλλ' ὅτι οὐ βουληθήσεται διὰ τὴν πονηρίαν τοῦ Κύκλωπος. H.Q.T. διὰ τί οὖν ὁ Ποσειδῶν ὠργίσθη, καίτοι μὴ χαλεπαίνων διὰ τὸ ἀπόφθεγμα, ἀλλὰ διὰ τὴν τύφλωσιν, "Κύκλωπος γὰρ κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσε" (Od. α, 69.), καὶ παμπονήρου ὄντος καὶ τοὺς ἑταίρους κατεσθίοντος; λύων δὲ ὁ Ἀριστοτέλης φησὶ μὴ ταυτὸν εἶναι ἐλευθέρῳ πρὸς δοῦλον καὶ δούλῳ πρὸς ἐλεύθερον, οὐδὲ τοῖς ἐγγὺς τῶν θεῶν οὖσι πρὸς τοὺς ἄπωθεν. ὁ δὲ Κύκλωψ ἦν μὲν ζημίας ἄξιος, ἀλλ' οὐκ Ὀδυσσεῖ κολαστέος, ἀλλὰ τῷ Ποσειδῶνι, εἰ πανταχοῦ νόμιμον τῷ διαφθειρομένῳ βοηθεῖν, τῷ υἱῷ, καὶ ἦρχον ἀδικίας οἱ ἑταῖροι. H.M.T.

Ἄλλως. πῶς παρὰ Φαίαξιν ἐχθρὸν ἑαυτὸν Ποσειδῶνος λέγει; φαμὲν ὡς ἀπολαβὼν ἤδη τὰ τῆς εὐχῆς καὶ πεπονθὼς ἐλεεινὰ, ἔτι δὲ καὶ τὸ τελευταῖον ναυάγιον διὰ Ἴλιον γενόμενον καὶ τὰς ἐκείνου βόας ἔπειθεν αὐτὸν ὅτι πέπαυται μὲν Ποσειδῶν εἰς Ἴλιον. H.

διὰ τὴν τύφλωσιν, ἀλλ' οὐ διὰ τὰς φωνὰς ταύτας ὠργίσθη ὁ Ποσειδῶν. τούτων γὰρ ὁ νοῦς, οὐδὲ ὁ Ποσειδῶν ἰάσεται κακὸν ὄντα. V.

530. δὸς μὴ Ὀδυσσῆα—οἶκαδ' ἱκέσθαι] ἀντὶ τοῦ μὴ δῷς τὸν Ὀδυσσέα εἰς τὸν ἑαυτοῦ οἶκον ἐλθεῖν. H.

533. ἐς πατρίδα γαῖαν] πατρίδα, τὴν πατρικήν. οὐ γὰρ οἶδεν ὁ Ὅμηρος τὸ τῆς πατρίδος ὄνομα ἁπλοῦν, ἀλλὰ κτητικόν. B.

536. ἐκ τῶν ὕστερον ἀποβεβηκότων, ὕστερόν φησιν, ὡς καὶ ἑξῆς "ὁ δ' οὐκ ἐμπάζετο ἱερῶν." H.

538. περιδινήσας] περιστρέψας. V.

ἶν' ἀπέλεθρον] δύναμιν πολλήν. V.

539. μετόπισθε] γρ. προπάροιθε. M.

4. καίτοι om. M.
χαλεπαίνων post ἀπόφθεγμα M.
5. ὀφθαλμοῦ] ὀφθαλμὸν T.
6. καὶ παμπονήρου M. καίπερ πονηροῦ H.T.
7. λύων δὲ] καὶ M.
μὴ ταυτὸν—καὶ δούλῳ] μήτε αὐτὸν—μήτε δούλῳ T.
8. τῶν om. M.
9. οὖσι om. M.
ἄπωθεν T. ἄποθεν ᾖ H.M. Quæ perpetua ut in aliis scriptoribus, ita in his scholiis quoque scripturæ diversitas est. Sic ἄπωθεν p. 297, 10.: sed ἄποθεν p. 300, 13. 321, 16. 339, 24. forma deteriore, de qua dixi ad Harpocrat. vol. 1. p. xxvii.
ὁ δὲ] ὁ μὲν οὖν M., omisso μὲν post ἦν.
10. Ὀδυσσεῖ] ὀδυσσεὺς T.
εἰ πανταχοῦ—ἑταῖροι om. H.
πανταχοῦ om. M.
11. διαφθειρομένῳ] φθειρομένῳ T.

www.ibtbook.com.cn

540. τυτθὸν] ἐπὶ τοῦ προτέρου (483.) ἀθετεῖται. πῶς γὰρ ἂν ἔμπαλιν ἡ ναῦς ἠνέχθη; H.M.Q.V.

542. θέμωσε] ἀπὸ τοῦ θεσμός, ὁ νόμος καὶ ἡ ἀνάγκη. B.

546. ἐκέλσαμεν] ὡρμίσαμεν, ἐνεωλκήσαμεν, προσειλκύσαμεν. H.

550. ἀρνειὸν δ' ἐμοὶ] ἴσως τὸν σώσαντα ἑαυτὸν ἔλαβε καὶ πάλαι ἐξαίρετον αἶγα εἰς τὴν ἄγραν ἐν τῇ νήσῳ. Q.

554. ἀλλ' ὄγε] γρ. ἀλλ' ἄρα. H.

565. ἔνθεν δὲ προτέρω] περιπλανηθέντος αὐτοῦ καὶ μὴ εἰδότος ποῦ ἔπεισι. περιττὸν τὸ προτέρω. Q.

Κ.

ΥΠΟΘΕΣΙΣ.

Τὰ περὶ τὸν Αἴολον ἀπαγγέλλει τὸν τῶν ἀνέμων φύλακα, ὡς ἔδωκεν Ὀδυσσεῖ ἐν ἀσκῷ ἀνέμους. λύσαντες δὲ οἱ ἑταῖροι κοιμωμένου Ὀδυσσέως ὑπονοστοῦσι πρὸς Αἴολον. καὶ ὡς εἰς Λαιστρυγονίαν ἀφίκοντο, ἔνθα ἕνδεκα ναῦς ἀπώλεσε. καὶ ὅσα ἔπαθε παρὰ Κίρκῃ μεταμορφωσάσῃ αὐτοῦ τοὺς ἑταίρους εἰς σῦς καὶ πάλιν ἄνδρας ποιησάσῃ. καὶ ὅπως αὐτὸς ταύτην διέφυγε παρ' Ἑρμοῦ φάρμακον λαβὼν τὸ μῶλυ καὶ παρ' αὐτῇ τὸν ἐνιαυτὸν ἔμεινεν. Q.

ΑΛΛΩΣ.

Ὅτι Ὀδυσσεὺς διηγεῖται πῶς Αἴολος αὐτὸν ἐξέπεμψεν εἰς τὴν πατρίδα οὖριον ἄνεμον δοὺς τὸν ζέφυρον καὶ τοὺς ἄλλους ἀνέμους ἐγκαθείρξας ἀσκῷ. λυθέντος δὲ καὶ τοῦ ἀσκοῦ ὑπὸ τῶν ἑταίρων· εἶναι γὰρ χρυσὸν ἐνόμιζον· καὶ παλινδρομήσας εἰς τὴν Αἰολίαν οὐ προσιεμένου αὐτὸν τοῦ Αἰόλου ἐκεῖθεν ἀποπλέων εἰς Λαιστρυγόνας ἀφικνεῖται, καὶ τὰς ἕνδεκα τῶν νεῶν ἀπολέσας ἐνταῦθα μιᾷ εἰς Αἰαίαν τὴν νῆσον παραγίνεται. καὶ σὺν Εὐρυλόχῳ τοὺς ἡμίσεας τῶν ἑταίρων κλήρῳ λαχόντας ἐκπέμπει πευσομένους τίνες οἱ κατοικοῦντες. μεταμορφωθέντων δὲ ἐκείνων εἰς σύας ὑπὸ τῆς Κίρκης πλὴν Εὐρυλόχου αὐτὸς ἐπὶ τὴν ζήτησιν ἐλθὼν οὐδὲν ἐβλάβη ὑπὸ τῶν φαρμάκων διὰ τοῦ φαρμάκου οὗ εἰλήφει παρὰ Ἑρμοῦ. τὴν δὲ ἀρχαίαν φύσιν

9. περιττὸν Buttm. pro περίττωσεν.
29. ἐπὶ H. et Eustathius p. 1643, 52. εἰς Q.
τὴν om. Eustathius.
30. εἰλήφει H. εἰλήφθη Q.

τῶν ἑταίρων λαβόντων ἐναυτὸν παραμείνας παρὰ τῇ Κίρκῃ ἀποπεμφθῆναι δεηθεὶς εἰς Ἅιδην πέμπεται περὶ τοῦ νόστου πευσόμενος Τειρεσίου. Q.

ΑΛΛΩΣ.

Ἀφηγεῖται ἐνταῦθα Ὀδυσσεὺς πῶς παρεγένετο εἰς Αἰολίαν νῆσον, ἐν ᾗ κατῴκει Αἴολος, καὶ ἀσκῷ βοείῳ δήσας τοὺς ἀνέμους δέδωκε, μόνον ζέφυρον ἐάσας ἔξω, μετὰ τὸ φιλοξενίσαι αὐτόν. καὶ ὅπως νομίσαντες οἱ αὐτοῦ ἑταῖροι θησαυρὸν εἶναι λύουσι τὸν ἀσκὸν, καὶ πάλιν ἀντιπνευσάντων ἀνέμων αὐτοῦ κοιμωμένου μετὰ ἐννέα ἡμέρας καὶ νύκτας πλέοντες εἰς Αἰολίαν παραγίνονται. οὓς ἰδὼν Αἴολος μετ' αἰσχύνης ἀπεδίωξεν εἰπὼν οὐ δίκαιον εἶναι οὓς οἱ θεοὶ μυσάττονται, τούτοις βοηθεῖν. διηγεῖται δὲ καὶ περὶ τῆς Κίρκης καὶ ὅπως ἐθηριοποίησε τοὺς αὐτοῦ ἑταίρους. ὕστερον αὐτὸς Ὀδυσσεὺς παρ' Ἑρμοῦ τὸ μῶλυ λαβὼν καὶ ἀπελθὼν πρὸς Κίρκην οὐ μόνον ὅτι δοῦσα αὐτῷ μαγικὴν τροφὴν καὶ φαγόντα οὐκέτ' ἐθηριοποίησεν, ἀλλὰ καὶ αὐτὸς τὸ ξίφος ἐπὶ ταύτην ἄρας ἔπεισε ταύτην ἐπιστρέψαι τοὺς αὐτοῦ ἑταίρους ἀπὸ χοίρων εἰς ἀνθρώπους· ὅθεν κἀκείνη θαυμάσασα αὐτὸν καὶ γνοῦσ' Ὀδυσσέα εἶναι κατέχει αὐτὸν καὶ πάντας τοὺς αὐτοῦ ἑταίρους ἐν τῷ οἴκῳ αὐτῆς τρέφουσα ἐπὶ χρόνον, συγκοιμωμένου αὐτῇ Ὀδυσσέως. διηγεῖται δὲ καὶ πῶς βουλῇ τῆς Κίρκης ἀπέρχονται ὠκεανὸν μαντευσόμενοι περὶ τῆς ἐπανόδου αὐτῶν. P.

διὸ τοὺς τόπους ἁπλῶς λέγει "Κυκλώπων δ' ἐς γαῖαν" (106.), Αἰολίην ῥ' ἐς νῆσον" (κ, 1.), ποῦ δέ εἰσιν αὗται ἢ ποῦ κείμεναι οὐκέτι διασαφεῖ. πληθυντικοῖς δὲ ῥήμασι κέχρηται διὰ τὴν τῶν ἑταίρων συμπαρουσίαν. Q.

1. Αἰολίην δ' ἐς νῆσον] Αἰολίαι νῆσοι πρὸς τῇ Σικελίᾳ ζ', Αἰόλη ἡ κατὰ τὸν πορθμὸν Στρογγύλη, Διδύμη, Ἱερὰ, Ἱκεσία, Λιπάρα, Ἐρικώδης, Φοινικώδης. Q

οὐ τὰς Αἰόλου νήσους νῦν λεγομένας, ἀλλά τινα ἄλλην ἐκτετο-

5. Αἰολίαν] αἰολίην P.
17. ἑταίρους Struvius pro ἑρήρας.
22—25. Hoc scholion in Q. adscriptum ad ι, 564. huc rettulit Buttmannus. Videtur fragmentum esse scholii longioris: quamobrem intactum reliqui διό, quod Buttm. in διὰ τί mutat.
26. Cf. p. 444, 4. 449, 3. et schol. Apoll. Rh. 3, 42. BUTTM.
29. Cf. schol. ad v. 20.

www.libtool.com.cn

πισμένην νῆσον λέγει. οἱ δὲ λέγοντες περὶ Σικελίαν καὶ Ἰταλίαν πεπλανῆσθαι τὸν Ὀδυσσέα Λωτοφάγους μὲν λέγουσι τοὺς νῦν Ἀκραγαντίνους, οἱ δὲ τοὺς Καμαριναίους, Κύκλωπας δὲ τοὺς Λεοντίνους. B.Q.V. τὰς δὲ Αἰόλου νήσους τήν τε κατὰ τὸν πορθμὸν Στρογγύλην καὶ τὰς λοιπὰς ἓξ, Διδύμην, Ἱερὰν, Ἱκεσίαν, Λιπάραν, Ἐρικοῦσσαν, Φοινικοῦσσαν. τινὲς δὲ ταύτας τὰς νήσους ἐν τῷ Τυρρηνικῷ πελάγει κεῖσθαι λέγουσιν. V.

2. Αἴολος Ἱπποτάδης] Δευκαλίων, ἐφ' οὗ ὁ κατακλυσμὸς γέγονε, Προμηθέως μὲν ἦν υἱὸς, μητρὸς δὲ, ὡς οἱ πλεῖστοι λέγουσι, Κλυμένης, ὡς δὲ Ἡσίοδος Προνοής, ὡς δὲ Ἀκουσίλαος Ἡσιόνης τῆς Ὠκεανοῦ καὶ Προμηθέως. ἔγημε δὲ Πύρραν τὴν Ἐπιμηθέως καὶ Πανδώρας τῆς ἀντὶ τοῦ πυρὸς δοθείσης τῷ Ἐπιμηθεῖ εἰς γυναῖκα. γίνονται δὲ τῷ Δευκαλίωνι θυγατέρες μὲν δύο Πρωτογένεια καὶ Μελάνθεια, υἱοὶ δὲ Ἀμφικτύων καὶ Ἕλλην. οἱ δὲ λέγουσιν ὅτι Ἕλλην γόνῳ μὲν ἦν Διὸς, λόγῳ δὲ Δευκαλίωνος. ἐξ οὗ Ἕλληνος Αἴολος πατὴρ Κρηθέως, Ἀθάμαντος, Σισύφου. ἄλλος δέ ἐστιν ὁ Ἱππότου παῖς· ὁ δὲ Ἱππότης υἱὸς Μίμαντος. τρεῖς γὰρ Αἰόλους φασὶ γεγενῆσθαι, πρῶτον τὸν τοῦ Ἕλληνος, δεύτερον τὸν ἐξ Ἱππότου καὶ Μελανίππης, τρίτον τὸν ἐκ Ποσειδῶνος καὶ Ἄρνης. πρὸς τοῦτον δέ φησιν ὁ Ἀσκληπιάδης τὸν Ὀδυσσέα ἐλθεῖν τὸν ἐκ Ποσειδῶνος. φυλάσσει δὲ Ὅμηρος τὸ εἰπεῖν ἐξ Ἱππότου. Q. Αἴολοι δύο, οὗτος μὲν Ἱππότου τοῦ Μίμαντος, ἕτερος δὲ Ἕλληνος, ὃς ἦν Διὸς, οὗ καὶ Ἡσίοδος μέμνηται. V.

[Αἴολος ὁ Ἱππότου ἐν Ῥηγίῳ τῆς Ἰταλίας ὢν μὲν ἀστρονομικώτα-

1. οἱ δὲ] τινὲς δὲ P., omisso λέγοντες.

6. Φοινικοῦσσαν] Non bene hic inserta legebantur hæc: τινὲς δὲ ἀλληγοροῦντες — προστασσόμενοι, quæ vid. infra ad v. 6. BUTTM.

9. οἱ addidi.

10. Προνόης correxi pro πρυνόης quod est in H., vel πρυνείης, quod habet Q. et in Πρυλείης mutandum videbatur Welckero in libro de Trilogia Æschylea p. 12.

11. καὶ Π. Welckerus pro τοῦ Π. Πανδώρας τῆς—δοθείσης Buttm. pro Πανδώραν τὴν—δοθεῖσαν.

12. ἀντὶ H. ἀπὸ Q. Correxit etiam Heinrichius apud Buttmann. collato Hesiodo Op. 57. τοῖς δ' ἐγὼ (Juppiter) ἀντὶ πυρὸς δώσω κακόν.

15. Αἴολος—Ἱππότου παῖς] αἴολος. ἄλλος δέ ἐστιν ὁ ἕλληνος παῖς, πατὴρ δὲ κρηθέως (κριθέως Q.), ἀθάμαντος, σισύφου H.Q. Correxit Buttm. collata Eustathii annotatione.

20. τὸν Ὀδυσσέα ἐλθεῖν addidit Buttm.

τὸ] τῷ Q.

22. Ἕλληνος Ernestius pro Ἕλλην.

23. Αἴολος—] Sumtum hoc scholium usque ad vocem Αἰολίδαο e Tzetzæ Comm. ad Lycophr. 738. BUTTM. Duo similia additamento notabimus infra ad 305. Sunt autem hæc omnia in P. scripta a manu recentiore.

μὲν] βασιλεὺς Tzetzes.

τος καὶ πολύπειρος ἐφρόντισε μᾶλλον εἰδέναι περὶ τῶν ἀνέμων χάριν τῶν ναυτιλλομένων καὶ προλέγειν, ὡς εἰ τυχὸν ἐν ταύρῳ ἄστρῳ πλεύσειαν μέχρι τοῦδε ζέφυρος αὐτοῖς ἕσεται πνέων ἄνεμος, εἰ ἐν δύσει κυνὸς τοιόσδε, καὶ ἐν τῇ ἀνατολῇ αὐτοῦ ἕτερος. καὶ τούτου ἕνεκα ἐμυθεύσαντο αὐτὸν εἶναι δεσπότην ἀνέμων. ὁμοίως δὲ καὶ τὸν Ἀμα- 5
κλείδην καὶ Πρωτοκλῆ καὶ Πρωτοκρέοντα, ὥς φησιν Ὀρφεύς. οὕτως οὖν ἔφασαν αὐτοὺς δεσπότας εἶναι ἀνέμων, ὡς καὶ δέειν ἀσκῷ ὃν ἂν βούλοιντο αὐτῶν, τοὺς δ' ἄλλους ἐᾶν πνεῖν. οὕτω γοῦν φασι καὶ τὸν Αἴολον τοῦτον τοὺς ἄλλους ἀνέμους ἐν τῷ ἀσκῷ καταδήσαντα δοῦναι τῷ Ὀδυσσεῖ, ζέφυρον δὲ μόνον ἐᾶσαι ὡς αὐτῷ χρειωδέστατον καὶ φο- 10
ρόν. ἐγὼ δὲ καὶ τὸν ἀσκὸν δέχομαι. φασὶ γὰρ οἱ μηχανικοὶ καὶ τὰ ἀρρητουργικὰ γράφοντες ὡς ἐάν τις δελφῖνα ποιήσῃ ἀσκὸν, ἐκδείρας αὐτὸν καὶ ἔχων παρ' ἑαυτῷ, ποιήσει ὃν ἂν βούλοιτο πνεῖν ἄνεμον. καὶ ἴσως καὶ οὗτος ὁ Αἴολος ἦν ἂν καὶ μαγικώτατος. τούτου δὲ τοῦ Αἰόλου υἱὸς Ἰόκαστος, ὃς τὸ Ῥήγιον ἔκτισεν, ὥς φησι Καλλίμαχος 15
"Ῥήγιον ἄστυ λιπὼν Ἰοκάστου Αἰολίδαο." ὁ γὰρ Ὀδυσσεὺς τοὺς ἐναντίους ἀνέμους ἐγκεκλεισμένους ἔχων ἐν τῷ ἀσκῷ, μόνῳ δὲ ναυτιλλόμενος τῷ ζεφύρῳ ἐννέα νυχθήμερα πλεύσας τῷ δεκάτῳ τὴν αὐτοῦ πατρίδα καὶ πυρπολοῦντάς τινας θεασάμενος κοπιάσας, ὡς ἀεὶ τὸν πόδα τῆς νηὸς ἔχων, ἐκαθεύδησεν. οἱ φίλοι δὲ τούτου λύουσι τὸν 20
ἀσκὸν χρυσίον νομίσαντες ἔχειν. ἐκχυθέντων δὲ τῶν ἀνέμων καὶ ἀντιπνόως ταραξάντων τὸ πέλαγος πάλιν εἰς τὴν Αἰολίαν ἀνεπόρευσεν ἄκων τοῖς ἀνέμοις φορούμενος. P.]

3. πλωτῇ ἐνὶ νήσῳ] ἔνιοι μὲν τὴν ἐμπλεομένην, οἷον τὴν ἐν πλεομένοις τόποις κειμένην νῆσον, ἢ ἐπιθετικῶς λέγει τὴν Αἰολίαν. ὁ δὲ 25
Ἀρίσταρχος πλωτῇ ἀντὶ τοῦ φορητῇ, οἷον περιφερομένῃ, ὡς ποτὲ

1. περὶ Tzetzes. παρὰ P.
2. ὡς τυχὸν ἐν] εἰ ἐν Tzetzes, unde εἰ addidi.
3. ἕσεται πνέων Tzetzes. ἔσεσθαι πλέων P.
6. Πρωτοκρέοντα Tzetzes. Πρωκρέοντα' P.
Ὀρφεὺς] Vid. fr. Orph. 53. e Suid. v. τριτοπάτορες et Etym. M. p. 768, 1. BUTTM.
15. Καλλίμαχος] Vid. fr. 202. ex hoc Tzetzæ loco et ad Lycophr. 45. BUTTM.
16. ὁ γὰρ —] Quæ hinc sequuntur aliunde excerpta et ab hoc scholio aliena spectant ad argumentum hujus libri. BUTTM.
24. ἔνιοι] ἐνίοτε V.
οἷον] οἱ δὲ H.Q.
25. νῆσον] νήσους Q. ad sequentia relatum.
ἢ ἐπιθετικῶς—Αἰολίην om. V.
ἢ ἐπιθετικῶς H. δὲ ἐπιθετικῶς Q.T. Αἰολίαν H.T. αἰολίην Q.V.
26. πλωτῇ om. H.
ἀντὶ τοῦ addidi ex T.

www.libtool.com.cn

μὲν ἐν τοῖς δεξιοῖς μέρεσι, ποτὲ δὲ ἐν τοῖς ἀριστεροῖς ὁρᾶσθαι, οἷον δή τι καὶ περὶ τὴν Δῆλον ἱστορεῖ Πίνδαρος λέγων οὕτως "ἦν γὰρ τὸ πάροιθε φορητὰ κυμάτεσσι Δᾶλος παντοδαπῶν τ' ἀνέμων ῥιπαῖς." ἐν δὲ ἄλλῳ, προσπλεομένη ὑπ' ἀνθρώπων, ἢ περιφερομένη ὑπὸ τῆς θαλάσσης. ἄμεινον δὲ τὸ πρότερον· εἰ γὰρ ἐπέπλει τῇ θαλάσσῃ, οὐκ ἂν οὐδὲ ἐκ δευτέρου αὐτὴν εὗρεν ὁ Ὀδυσσεύς. ἢ περιρρεομένη. H.M. Q.T.V. Ἄλλως. ἐν πλεομένοις τόποις κειμένη ὅτι εἰσὶ νῆσοι πλησίον ἠπείρου κείμεναι τὸ πρὸς τῇ ἠπείρῳ μέρος ἔχουσαι ὑφάλων πετρῶν πλῆρες, αἳ οὐ δύνανται περιπλέεσθαι. ὁ δὲ Ἀρίσταρχος περιφορητῇ· οἰκειότερον γάρ φησι μὴ ἐρριζῶσθαι τῶν ἀνέμων νῆσον. Q.

πλωτῇ] οἱ μὲν μυθικῶς ἀπέδοσαν τὸ ἐπιπλέουσαν τῇ θαλάσσῃ· καὶ ἴσως τερατεύεται, ἵνα μὴ ζητῶμεν πῶς κεῖται. οἱ δὲ πλεομένην καὶ ἐν πλωτοῖς οὖσαν τόποις, ἐπειδὴ τὰ ἄλλα πρόσθε χωρία κακόξενα. οἱ δὲ τὴν προσορμιστὴν, ἀλλ' οὐκ ἀμιχθαλόεσσαν. T.

4. χάλκεον] ἰσχυρόν. ἀπρόσβατον γάρ ἐστι διὰ τὴν περὶ αὐτὸ λειότητα. V.

χάλκεον ἄρρηκτον] λείπει τὸ ἐστίν. πῶς ἄρρηκτον; ὅτι πέτρα περιτρέχει τὴν πόλιν περιβολῆς τάξιν ἐπέχουσα. B.Q.

λισσὴ δὲ πέτρη] περιτρέχει τὴν πόλιν περιβόλου δίκην ἐπέχουσα. T.

5. τοῦ καὶ δώδεκα παῖδες] καὶ τοῦτο εἰς εὐδαιμονίαν, ὅταν πάντων ἀπολαύωσι τῶν τέκνων. εὐδαίμων γὰρ τῷ μὴ ὑπὸ πολλῶν ἐξουσίαν δοῦναι τὰς θυγατέρας, ὃ καὶ περὶ τὴν Πριάμου οἴκησιν ἐωρῶμεν. ὑπὸ φιλοτεκνίας γὰρ παρ' ἑαυτῷ ἀνέλαβε τοὺς ἄνδρας τῶν θυγατέρων. Q. εὐδαιμονίας σημεῖον, ἔκ τε τῶν ἐναντίων ὅτι Τηλέμαχος ὀδύρεται τὴν μονογένειαν τοῦ οἴκου· "μοῦνον Λαέρτην Ἀρκείσιος υἱὸν ἔτικτεν" (π, 118.). T.

6. ἓξ μὲν θυγατέρες] Αἴολος Τηλεπάτραν τὴν Λαιστρυγόνου γή-

P. 445, 26. περιφερομένη] παραφερομένη T. Et παραφερομένην dixit Eustathius p. 1644, 52. qui addit ἢ συνεχείᾳ σεισμῶν ἢ ἄλλως ὑπεωσῶν.

ὡς H. et Eustathius. ὥστε Q.T.

P. 446, 2. Πίνδαρος] Fragm. 58.

3. φορητὰ] φορητὴ T.

Δᾶλος H.M. et Eustathius. ἀλὸς T. (qui κυματέσσιν). δῆλος Q. Δᾶλος, quod hoc loco positum metro adversatur, non habet Strabo hæc verba afferens 10. p. 485., ut scholiasta ex præcedentibus verbis Pindari supplevisse videatur.

τ' addidi ex editionibus Strabonis, cujus codices id omittunt.

4. ὑπ' ἀ.] ὑπὸ τῶν ἀ. H.Q., non Eustathius. Proximum τῆς om. T.

6. ὁ addidi ex H. et Eustathio.

7. Ἄλλως] Hoc quoque scholion verbis leviter mutatis excerpsit Eustathius.

27. Gyraldus de Diis Synt. 5. de Æolo: "Legimus in Græcis com-

www.libtool.com.cn

μας ἐγέννησε θυγατέρας ἕξ καὶ ταύταις ἴσους υἱούς. εἰσὶ δὲ τοῖς μὲν ἄρρεσιν ὀνόματα Ἰόκαστος, Ξοῦθος, Φάλακρος, Χρύσιππος, Φερήμων, Ἀνδροκλῆς, ταῖς δὲ παρθένοις Ἶφη, Αἰόλη, Περίβοια, Δία, Ἀστυκράτεια, Ἡφαιστία. ὁ δὲ Εὐριπίδης ἑτέρως ἱστορεῖ. H.Q.

Ἄλλως. τινὲς ἀλληγοροῦντες Αἴολον μὲν λέγουσι τὸν ἐνιαυτὸν, δώδεκα δὲ παῖδας τοὺς μῆνας. τινὲς δὲ ὅτι παρετήρησεν, ἀστρολογίας ἔμπειρος ὤν, ἡλίου ὄντος ἐν ταύρῳ ζέφυρον πνεῦσαι. οἱ δὲ ἄνεμοι πνέουσιν ἐνίοτε καὶ καθ' ἑαυτοὺς, ὡς καὶ πολλοί· καὶ γὰρ ἡμεῖς δίχα βασιλικοῦ προστασσόμενοι προστάγματος. H.Q.V.

7. ἔνθ' ὅγε θυγατέρας πόρεν υἱάσιν] ἀρχαῖον ἔθος τὸ συνοικίζειν ἀδελφούς. καὶ ὁ Ζεὺς ἀδελφῇ οὔσῃ συνοικεῖ τῇ Ἥρᾳ. (Il. δ, 60.) μεγίστη γὰρ εὐδαιμονία καθ' Ὅμηρον ἡ ὁμοφροσύνη. ὅταν οὖν τῷ τῆς συνοικήσεως ἐπιτερπεῖ προσυπάρχῃ τι φυσικὸν φιλοστοργίας πάθος ἐκ γένους καὶ συναναστροφῆς παιδικῆς, διπλασιάζεται εὔνοια. B.Q. ἀρχαῖον ἔθος, ὡς Ἀρχῖνος ἐν Θεσσαλικοῖς. πρῶτα δὲ Αἴολον ὁμομητρίας κόρας ἀδελφοῖς συνοικίσαι. T.

10. κνισῆεν] ἤτοι εὔοσμον, ἢ κνίσης μέτοχον διὰ τὸ πλῆθος τῶν θυομένων. H.Q.V.

mentariis, Æolum uxorem habuisse *Teleporam* Læstrygionem, quam quidam *Leopatram* vocant; ex qua liberos duodecim" etc. Sequuntur nomina filiorum: unde hic quædam correxi. Gyraldus scholia Homerica manu scripta ante oculos habuerit, an alibi hæc etiam legantur, nescio. BUTTM.

2. Ἰόκαστος] ἰοκάστης Q., si recte legit Maius. Correxi ex scholio v. 2.

Φάλακρος] φαλακρός Q.

3. ἴφη H. ἔφη Q. *Iphthe* apud Gyraldum.

ἀστυκράτεια H. ἀρτικράτειρα Q.

4. ἡφαιστία H. ἡφαίστεια Q.

ἑτέρως] ἑτέρους H.

5. τινὲς] Heraclitus Alleg. c. 71. p. 140.

6. τοὺς μῆνας] ἄρρενας μὲν τοὺς χειμερινοὺς, θηλείας δὲ τοὺς καλοκαιρίους addit Q. Quod recentioris scholiastæ additamentum esse arguit adjectivum καλοκαιρίους. Apud Heraclitum est, τὸ μὲν εὔκαρπον καὶ γόνιμον τῶν τὸ θέρος ἐμπιπλάντων μηνῶν θηλείᾳ γενῇ προσείκασε, τὸ δὲ στερρὸν καὶ πεπηγὸς τῶν χειμερίων ἀρρένωσεν. Similiter, etsi verbis diversis, Eustath. p. 1644, 63.

9. πρ. προστάγματος H. et T. infra p. 448. προστάγματος π. Q.

10. Facile in hoc scholio agnoscas hominem Alexandrinum regibus suis adulantem. BUTTM.

13. προσυπάρχῃ τι] προσυπάρχον τι Q. Correxi ex H. qui προσυπάρχει τι. προσυπάρχῃ τὸ Struvius.

14. συναναστροφῆς Struvius pro συναναστροφῆς.

15. Ἀρχῖνος correxi pro Ἀρχίνου.

Θεσσαλικοῖς] Duobus hujus operis fragmentis ab Muellero memoratis in Fragm. Histor. vol. 4. p. 317. nunc tertium hoc accedit.

16. συνοικίσαι correxi pro συνοικῆσαι. Recte συνοικίζειν supra l. 10.

18. θυομένων H. φυομένων Q.V.

www.libtool.com.cn

περιστεναχίζεται] περιηχεῖται ἐκ τοῦ λαοῦ. Q.

στεναχίζεται] χορείαις ἢ ᾠδαῖς. τὸ δὲ κνισσῆεν οὐ τὴν εὐδαιμονίαν μόνην σημαίνει τοῦ Αἰόλου, ἀλλὰ καὶ τὸ εὐσεβὲς τὸ εἰς τοὺς θεοὺς καὶ τὸ εἰς ἀλλήλους ὁμοφρονεῖν. T.

12. τρητοῖσι λέχεσσι] ῥητορικῶς δευτέρῳ προοιμίῳ ἐχρήσατο. τρητοῖσι δὲ τοῖς καλῶς κατεσκευασμένοις ἢ τετορνευμένοις. H.

13. καὶ δώματα καλά] γρ. καὶ τείχεα μακρά. H.

15. Ἴλιον] περὶ τῆς Ἰλίου, περὶ τῶν νεῶν τῶν Ἀργείων, περὶ τοῦ νόστου τῶν Ἀχαιῶν. συντόμως ἑκατέρων τῶν ποιήσεων τὴν ὑπόθεσιν ἐδήλωσε. B.H.

19. δῶκε δέ μοι ἀσκὸν] διὰ τὸ στερρὸν καὶ ἀρραγὲς τοιοῦτον ἀσκὸν δέδωκεν. B.

ἐννεώροιο] ἐνναετοῦς. H.V.

20. ἔνθα δὲ βυκτάων ἀνέμων] τῶν ἀθρόως πνεόντων ἢ ἰσχυρῶς, καὶ πληρούντων τὰ ἱστία. λέγονται δὲ οὕτως ἐκ τοῦ ἄγειν βοήν. Q.

βυκτάων] μεγάλως φυσώντων. ὠνοματοπεποίηται δὲ ἀπὸ τοῦ ἤχου τοῦ γενομένου, ἢ ἀπὸ τοῦ ταράττειν ἐκ βυθοῦ τὴν θάλασσαν. T.

διὰ τί οὐκ αὐτὸς κατέχει τοὺς ἀνέμους, μόνον κελεύσας Ζέφυρον πνεῖν; ἐπεὶ καὶ δίχα τοῦ κλεῖσαι τὸν ἀσκὸν ἐδύνατο κελεῦσαι τῷ Ζεφύρῳ ἅτε δὴ τὴν ἐξουσίαν λαβὼν παρὰ τοῦ Διός. πῶς δ' αὐτὸς καὶ ἐν Ἰλιάδι ὑποστησάμενος τοὺς ἀνέμους ἐν Θρᾴκῃ οἰκεῖν παρ' Αἰόλῳ φησίν; εἴληπται μὲν τὸ πλάσμα πρὸς τὸν καιρὸν, διὸ οὐ δεῖ ζητεῖν τὰ τοιαῦτα· ἀνεύθυνα τὰ τῶν μύθων. οἱ δὲ εἰπόντες δαίμονας οἰκεῖν ἐν Θρᾴκῃ αὐτεξουσίους ὄντας, τῶν δὲ πνοῶν τὸν Αἴολον κρατεῖν. οἱ δὲ ἐμπειρίαν ἔχειν τὸν Αἴολον πνευμάτων μεταβολῆς, καὶ διὰ τοῦτο κατέχειν τὸν Ὀδυσσέα μηνὸς ἡμέραν ἕως οὗ εὕρῃ τὸν ἐπίφορον πρὸς Ἰθάκην. τινὲς δὲ ὅτι παρέστησεν ἀστρολογίας ἔμπειρος ὢν ὁ Ὀδυσσεὺς ἡλίου ὄντος ἐν ταύρῳ Ζέφυρον πνεῦσαι. οἱ δὲ ἄνεμοι πνέουσιν ἐνίοτε καὶ καθ' ἑαυτοὺς, ὡς καὶ πολλοί· καὶ γὰρ ἡμεῖς δίχα βασιλικοῦ προστασσόμενοι προστάγματος. τινὲς δὲ τὰς νήσους ταύτας ἐν τῷ Τυρρηνικῷ πελάγει κεῖσθαι λέγουσιν, ἕτεροι δὲ ἐκτετο-

8. περὶ τῶν—Ἀχαιῶν om. B.

9. συντόμως H. ἐπιτόμως B.

14. ἀθρόως πνεόντων est etiam in B., addita annotatione ex Eustathio transcripta p. 1646, 24. βύκται δὲ ἄνεμοι—εἰς βυθὸν κατάγω.

22. διὸ Prellerus. διότι T.

23. ἀνεύθυνα—εἰπόντες] Fortasse ἀνεύθυνα γὰρ—εἶπον.

26. κατέχειν] κατέχει T.

πισμένην νῆσον λέγουσιν. οἱ δὲ λέγοντες περὶ Σικελίαν πεπλανῆσθαι τὸν Ὀδυσσέα Λωτοφάγους μὲν λέγουσι τοὺς νῦν Ἀκραγαντίνους. οἱ δὲ τοὺς Καμαριναίους, Κύκλωπας δὲ τοὺς Λεοντίνους, τὰς δ' Αἰόλου νήσους τήν τε κατὰ τὸν πορθμὸν Στρογγύλην καὶ τὰς λοιπὰς ἓξ, Δίδυμην, Ἱερὰν, Ἱκεσίαν, Λιπάραν, Ἐρικώδη, Φοινικώδη. T.

κέλευθα] Ἰωνικῶς τὰς κελεύθους κέλευθα εἶπε. H.

21. κεῖνον γὰρ] προσφιλὴς γὰρ λίαν τοῖς θεοῖς Αἴολος. Q.

23. μέρμιθι] σχοινίῳ ἤτοι σύρματι ἀργυρῷ. B.

μέρμιθι φαεινῇ] προῳκονόμησεν, ἵνα τῷ δεσμῷ ἀπατηθῶσιν οἱ ἑταῖροι. καὶ γὰρ οὐδὲ ἐκ τῆς κουφότητος ἦν γνωρίσαι. προσεδέδετο γάρ. V.

24. ἀργυρέῃ] ἵνα μὴ ἐκεῖνοι δυνηθῶσι βαστάξαντες αἰσθέσθαι τῆς κουφότητος, ἀπατηθῶσί τε τῇ ἀργυρέᾳ μέρμιθι. B. οἰκονομικῶς, ἵν' ἐκ τούτου ὑπονοήσωσι χρυσὸν ἢ τι τοιοῦτον ἐν τῷ ἀσκῷ ἐκ τῆς πολυτελείας τοῦ δεσμοῦ. T.

26. οὐδ' ἄρ' ἔμελλεν ἐκτελέειν] οὐκ ἔμελλεν δὲ ἐς πέρας ἄγειν ταύτην τὴν βουλήν. B.Q.

ἐκτελέσειν] πληρώσειν. V.

29. πατρὶς ἄρουρα] οὐ τὴν οἰκείαν πατρίδα φησὶν, ἀλλὰ ἁπλῶς τὴν γῆν, ὡς κοινὴν οὖσαν πατρίδα. H.

30. πυρπολέοντας] ἀντὶ τοῦ πυρσεύοντας ὅ ἐστι πῦρ καίοντας, ἢ περὶ πῦρ ἀναστρεφομένους. B.Q.V.

ἐγγὺς ἐόντες] ἐόντες ἡμεῖς. H.

31. ὕπνος ἐπέλλαβε] γρ. ἐπήλυθε. P.

γλυκὺς ὕπνος] οὐ κατηγορεῖται ὡς φίλυπνος, ὅτι γὰρ ἠγρύπνησε νυκτός. κοιμᾶται οὖν ἵνα μὴ ὅτε δεῖ τοὺς εἰκείους ἀσπάσασθαι τοῦτο ποιῇ. οὐδὲ γὰρ ἐδεδίει οὖριον ἔχων πνεῦμα καὶ τὴν πατρίδα ὁρῶν. T.

32. πόδα νηὸς] τὸν μεταγωγὸν τοῦ κέρατος κάλων· ἢ τὸ πηδάλιον. Q.V.

οὐδέ τῳ ἄλλῳ] οὐδὲ ἄλλῳ τινὶ τῶν ἐμῶν φίλων τὸ πηδάλιον ἐνεχείρισα. H.

34. οἱ δ' ἕταροι] διὰ τί οὐ προεῖπεν αὐτοῖς; ἐπειδὴ οὐκ ἤλπιζεν.

1. οἱ δὲ λέγοντες—Φοινικώδη] Conf. schol. v. 1. p. 444, 1.

23. ἐγγὺς ἐόντας] ἐγγὺς ἐόντας H.

24. ἐπέλλαβε] Sic etiam H. et a correctore M. in textu. ἐπέβαλλε pr. M.

γρ. ἐπήλυθε] Delevi quod in P. præcedit γρ. ἔλαβε.

ὑπονοήσαντας ὡς κακουργῆσαι. καὶ γὰρ τῶν ἐν Ἰσμάρῳ λαφύρων τὴν ἴσην μοῖραν ἔδωκε καὶ τῶν ἀγρίων αἰγῶν καὶ τὰ περὶ Κύκλωπας. Τ. ἐβάσκαινον γὰρ τὸ πολυτελὲς τοῦ δεσμοῦ εἰς ὑποψίαν λαμβάνοντες. ἴσως οὖν τὸ πολυτελὲς τοῦ δεσμοῦ ἠπάτησεν αὐτούς. Η.

35. καί μ' ἔφασαν] πόθεν τεκμηράμενοι; ὁ γὰρ ἀσκὸς κοῦφος ἅτε πλήρης ἀνέμων. λύεται δ' ἐκ τῆς λέξεως· πρόκειται γὰρ ὡς ἐλέγετο περὶ τοῦ Αἰόλου αὐτοῦ "νηὶ δ' ἐνὶ γλαφυρῇ κατέδει μέρμιθι φαεινῇ, ἀργυρέῃ" (23). διὰ τοῦτο οὖν ἐβάσκηναν ὅ τε δεσμὸς πολυτελὴς αὐτοῖς ὑποψίαν ἐδίδω. Τ. πῶς ἄγοντες αὐτὸν εἰς τὴν ναῦν οὐκ ᾔσθοντο κοῦφον ὄντα; ἀλλ' ἐν νηὶ κατέδει μέρμιθι ἀργυρέῃ. Η.

38. καὶ τίμιός ἐστιν] γράφεται, καὶ τιμῆς, ἤτοι τιμήεις. Β.

39. ὅτεων] διχῶς, ὅτεων καὶ ὁτεῶν. ἐκράτησε δὲ ὅτεων προπαροξυτόνως. Q.

καὶ γαῖαν ἵκηται] γρ. καὶ δώμαθ' ἵκηται. Η.

41. ληΐδος] ὅτι διῃρημένως ἀναγνωστέον. βούλεται γὰρ λέγειν στρατιωτικῆς λείας, ὡς ὅτε "οἴνεκά μ' στερέσαι τῆς ληΐδος ἤθελε πάσης Τρωϊάδος" (Od. ν, 262.). Q.

ἐκτελέσαντες] Ζηνόδοτος, ἐκτελέοντες. Η.

42. οἴκαδε νισσόμεθα] γράφεται, οἴκαδ' ἐνεισόμεθα. Q. νεισόμεθα] ἀπελευσόμεθα. V.

43. τάδ' ἔδωκεν] οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ, τὰ δέδωκε, καὶ, τά γ' ἔδωκε. καὶ, τάγε δῶκεν, Ἡρωδιανός. Η.

44. ὅττι τάδ' ἐστίν] τί εἰσι καὶ κατὰ τὴν ποσότητα. ὅθεν καὶ ἐπεξηγήσατο, ὅσσος τις χρυσὸς καὶ ἄργυρος ἀσκῷ ἔνεστιν. Q.

45. ὅσσος τις χρυσός] οὐ γὰρ βαστάσαντες ἔλυσαν, ἀλλὰ κείμενον· ἐν γὰρ κοίλῃ νηὶ κατέθηκεν ὁ Αἴολος. Τ.

51. ἀποφθίμην] ἀποφθαρείην, ἀναιρεθείην. V.

52. ἦ ἀέκων] ὁ δεύτερος η περισπασθήσεται. Η.

55. αἵτις ἐπ' Αἰολίην] ἐφ' ἣν καὶ οἱ ἄνεμοι κατὰ πρόσταγμα ὑπέστρεφον πρὸς Αἰολίην. Q.

18. στρατιωτικῆς Buttm. pro ἐρωτικῆς.

25. In textu M. habet τάγ' ἔδωκε, sed in margine quadruplex scriptura annotata est τάδ' ἔδωκε, τάδε δῶκε, τάγε δῶκε, τάγ' ἔδωκε.

32. Αἰολίην] Fort. Αἴολον. BUTTMANNUS.

www.libtool.com.cn

56. ἐπ' ἠπείρου βῆμεν] ὅτι τὴν νῆσον ἤπειρον εἶπε κατὰ τὴν διαίρεσιν τοῦ ὑγροῦ, ὡς εἰ ἔλεγεν ἐπὶ τὴν γῆν ἔβημεν. B.Q.T.

60. βῆν εἰς Αἰόλου κλυτὰ δώματα, τὸν δ' ἐκίχανον] ὁ στίχος σφηκώδης. σφηκῶδες δέ ἐστι τὸ ἐλλεῖπον ἐν μέσῳ τοῦ στίχου χρόνου, ὡς ἐνταῦθα. χρῄζει γὰρ ὁ δεύτερος ποὺς χρόνου. τὸ γὰρ αιο τροχαῖός ἐστιν. ἀλλὰ τὸ ο μονόχρονον ὡς δίχρονον λαμβάνομεν. H.Q. ὁ στίχος λαγαρός ἐστιν. B. Vind.

62. ἑλθόντες δ' ἀνὰ δώματ' ἐπὶ σταθμοῖσιν] γρ. πρὸς δῶμα παρὰ σταθμοῖσιν. H.

64. ἔχραε] ἐβάρησε, μετὰ βλάβης ἐπέθετο. H. μετὰ βλάβης ἐπῆλθε καὶ κακῶς. T. μανικῶς ἐπέθετο. V.

65. ὄφρ' ἂν ἵκηαι] γρ. καὶ ὄφρ' ἀφίκοιο. N.

69. ἀλλ' ἀκέσασθε, ὦ Αἴολε καὶ οἱ σὺν αὐτῷ παῖδες. H.

ὀρθοτονητέον τὴνύμῑν. τὸ δὲ ἐν οὐ σημαίνει τὸ ἔνεστι. H.

70. μαλακοῖσι καθαπτόμενος ἐπέεσσι] Ζηνόδοτος, μαλακοῖσιν ἀμειβόμενος, γράφει. καὶ ἔστι χαριεστάτη ἡ γραφή· οὐ καθάπτεται γὰρ αὐτὸν, ἀλλ' ἱκετεύει. H. καθικνούμενος, ὀνειδίζων, ἐπιπλήττων. Gl. H. οὐχ ὅτι ἐπιπλήττει, ἀλλὰ καταπραΰνων καὶ ὑποπείθων. T.

72. ἔρρ' ἐκ νήσου] καὶ πῶς ἤμελλεν ἀπὸ Φαιάκων τυχεῖν κομιδῆς ταῦτα καθ' ἑαυτοῦ λέγων; ἀλλ' ἀπέδειξε τοὺς ἑταίρους αἰτίους ὄντας· ἐλεεινότερον οὖν ἑαυτὸν ἀποδείκνυσιν. H.T.

ἔρρ'] μετὰ φθορᾶς ἀναχώρει. Q.

73. κομιζέμεν] ἐπιμελεῖν. κακῶς δέ φησι ταῦτα πρὸς τὸν Ἀλκίνοον ἐκφέρειν, ὡς θέμις καὶ αὐτὸν διαβάλλειν. ἀλλ' Ὀδυσσεὺς ἡγεῖται ὡς οὐκ ἰδίου ὄντος τοῦ ἁμαρτήματος, ἀλλὰ τῶν ἑταίρων. T.

75. ἔρρ', ἐπεὶ ἀθανάτοισιν] γρ. ἔρρε ἐπεὶ ἄρα θεῷ ἀπεχθόμενος τόδ' ἱκάνεις. P.

77. ἀκαχήμενοι] διὰ τί ἀκαχήμενοι; ἐπὶ τῇ ἡμῶν αὐτῶν ματαιότητι, ὅτι οὐκέτι ἐφαίνετο πομπή. ματίῃ δὲ (79.) ματαιότητι,

1. ὅτι om. B.Q.
τὴν διαίρεσιν] τὴν om. Q.
6. ο μονόχρονον H. ὁμόχρονον Q.
12. ὄφρ' ἂν ἵκηαι] Sic etiam in textu a m. prima.
ἀφίκοιο] ἵκοιο N.
19. ἀπὸ] ὑπὸ T.
20. ἀπέδειξε T. ἐπέδειξε H.
ὄντας om. T.
23. ἐπιμελεῖν] ἐπιμελεῖσθαι Prellerus.
27. 28. Hæc verba sedulo detersa (ut commode tamen legi possint) relictis tantum τόδ' ἱκάνεις propter mendum in textu τόνδ'. BUTTM.

www.libtool.com.cn

φρενοβλαβείᾳ, ματαιολογίᾳ, ματαιοπραγίᾳ. γίνεται δὲ ἀπὸ τοῦ ματῶ ματία, ὡς ἁμαρτῶ ἁμαρτία. ἔστι δὲ Ὁμηρικόν. B.Q.

78. ὑπηρεσία ἡ δουλεία, ὑπειρεσία δὲ ἡ κωπηλασία. P.

79. ἡμετέρῃ ματίῃ] ἐπὶ τῇ ἡμῶν ματαιότητι οὐκέτι ἐφαίνετο ἡ πομπή. τὸ δὲ "ματίῃ" ματαιότητι καὶ ἁμαρτίᾳ. συμπαθῶς δὲ ἑαυτὸν παρέλαβε διὰ τὸ κοιμηθῆναι. T. εὐγνωμόνως καὶ ἑαυτὸν παραλαμβάνει εἰς τὴν ἁμαρτίαν, ὅτι ἀφύπνωσεν. ἢ ὅτι προσαγωγόν ἐστι τὸ μὴ ἀλαζονεύεσθαι, ὅτι αὐτὸς μὲν διεπράξατο τὴν σωτηρίαν παρ' Αἰόλου, ἐκεῖνοι δὲ ἐξήμαρτον λύσαντες τὸν ἀσκόν. H.Q.T.

81. Λάμου αἰπὺ πτολίεθρον] ἀπὸ τοῦ βασιλεύσαντος Λαιστρυγόνων Λάμου τοῦ Ποσειδῶνος παιδός. ἢ ὄνομα Λαιστρυγόνος. Q.V. Ἄλλως. περιφραστικῶς τὴν Λάμον, ὡς καὶ "Ἰλίου ἐξαλάπαξε πόλιν" (Il. ε, 642.), τὴν Ἴλιον. καὶ αὐτὴ μὲν καλεῖται Λάμος, οἱ δὲ ἐνοικοῦντες Λαιστρυγόνες. B.Q. περιφραστικῶς τὴν Λάμον, ὡς καὶ "Ἰλίου ἐξαλάπαξε πόλιν," ἵνα αὐτὴ μὲν καλῆται Λάμος, οἱ δὲ ἐνοικοῦντες Λαιστρυγόνες. ἀλλ' ἐπιφέρει "τηλέπυλον Λαιστρυγονίην," τὸ μὲν ὄνομα τῆς πόλεως, ὅ ἐστι Λαιστρυγονία, Λάμου δὲ πτολίεθρον ἀπό τινος βασιλέως Λάμου, ὡς καὶ Πύλον Νηλῆος τὴν Πύλον φησίν. T.

82. τηλέπυλον] μεγάλην. τῶν γὰρ τοιούτων πολὺ διεστᾶσιν αἱ πύλαι. τινὲς δὲ κύριον τὸ Τηλέπυλον ἐξεδέξαντο. οἱ δὲ τηλέπυλόν φασι μακρόπυλον, οὐ τῷ διαστήματι, ἀλλὰ τῷ πλάτει τῆς πύλης ἢ τῷ μήκει. V. πόρρω ἀλλήλων καὶ διασταδὸν τὰς πύλας ἔχουσαν· ἢ μακρόπυλον. B.Q.T.

Λαιστρυγονίην] τὴν τῶν Λαιστρυγόνων. Λαιστρυγόνες δὲ οἱ τὴν Λάμον οἰκοῦντες. V. τὴν Λαιστρυγονίην οἱ νεώτεροι Σικελίαν φασί. H.

ποιμένα ποιμὴν] τὸν βουκόλον ὁ τῶν μήλων νομεὺς, διὰ τὸ πολλὰ εἶναι τὰ πρόβατα. B. καταχρηστικῶς εἴρηκε ποιμένα καὶ τὸν βουκολον. V.

ὅθι ποιμένα] ὁμωνύμως τῷ γένει τὸ εἶδος εἶπεν, ἀντὶ τοῦ νομεὺς

6. ἀγνωμόνως — ἀφύπνωσεν] Hæc verba habet Q., omissa reliqua scholii parte.
εὐγνωμόνως H.T. ἀγνωμόνως Q.
καὶ ἑαυτὸν H. καὶ om. Q.T.
7. ἢ ὅτι προσαγωγόν—τὸν ἀσκὸν om. Q.
10. Λαιστρυγόνων Buttm. pro Λαιστρυγόνος.
12. ὡς καὶ—ἐξαλάπαξε] καὶ—ἐξαλαπάξαι B.Q. Correxi ex scholio proximo.
15. καλῆται] καλεῖται T.

www.libtool.com.cn

νομέα, ἤτοι ἔνθα οἱ νομεῖς ἀλλήλους προσφθέγγονται διὰ τὸ πλησίον εἶναι τὰς νομάς. ἢ μᾶλλον τοῦ διαστήματος τὸ ἀπεναντίον τῶν πυλῶν μέτρον ἀπέχειν, καὶ οὕτως τὴν φωνὴν ἀκούεσθαι τοῦ τε εἰσελαύνοντος καὶ τοῦ ἐξελαύνοντος, ὥσπερ ποτ' ἔχει καὶ αὐτῷ "ὅσον τε γέγωνε βοήσας" (ι, 473.). B.Q.

83. ἠπύει] προσαγορεύει, φωνεῖ. Q.

84. ἄοκνος] γρ. ἄϋπνος. N.

85. τὸν μὲν βουκολέων] κατὰ μὲν τὸν καιρὸν τῆς νυκτὸς βουκολέων, διὰ τὸν οἶστρον, ὅς ἐστι πολέμιος τοῖς βουσὶ, κατὰ δὲ τῆς ἡμέρας βόσκων πρόβατα. δύναται οὖν τις, φησὶ, . . . ἐκεῖ λαμβάνειν δύο μισθοὺς, ἐπειδὴ τῆς ἡμέρας καὶ τῆς νυκτὸς αἱ νομαὶ ἐγγύς εἰσι καὶ οὐ πόρρω. B.

86. ἐγγὺς γὰρ νυκτός] τοῦτο λέγει ὅτι νυκτὸς μὲν βουκολοῦσι διὰ τοὺς μύωπας, οἵτινες ἐν ἡμέρᾳ τοὺς ταύρους ἐνοχλοῦσιν. H. τῆς ἡμέρας ἡ ὁδὸς ἐγγὺς εἶναι πέφυκε τῆς νυκτός. τοῦτο δὲ ἔφη ὡς μὴ τῆς ἡμέρας ἀφισταμένης τῆς νυκτὸς, ἀλλὰ τῇ παρελεύσει αὐτῆς εἰσέρχεσθαι νύκτα ἐν ἀκαρεῖ. Ἄλλως. πλησίον γὰρ τῆς πόλεώς εἰσιν αἱ νυκτεριναί τε καὶ ἑωθιναὶ νομαὶ, καὶ τοσοῦτον πλησιάζουσιν ὡς τὸν ἐξελαύνοντα τῆς πόλεως ἀκούειν τῶν ἐν ἀγροῖς. Ἄλλως. Κράτης βραχείας αὐτοῦ ὑποτίθεται τὰς νύκτας. καὶ γάρ φησιν αὐτοὺς εἶναι περὶ τὴν κεφαλὴν τοῦ δράκοντος, περὶ ἧς Ἄρατός φησι "κείνη που κεφαλὴ τῇ νείσεται ἧχί περ ἄκραι μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν." ὅθεν σύνεγγυς οὐσῶν τῶν ἀνατολῶν ταῖς δύσεσι λέγειν τὸν ποιητὴν "ἐγγὺς γὰρ νυκτός τε" καὶ τὰ ἑξῆς, παρὰ τὸ πλησιάζειν τὰς τῆς νυκτὸς κελεύθους ταῖς τοῦ ἤματος κελεύθοις, ἢ τὴν νύκτα ἐγγὺς τετάχθαι τῆς ἡμέρας βραχυτάτην οὖσαν. τὸν οὖν καθεύδειν παραιτούμενον διπλοῦς μισθοὺς λαμβάνειν, ἢ τὸν ἐν ὕπνῳ τὸ τῆς ἡμέρας πολὺ καταχρώμενον. H.Q.

αἱ νυκτεριναὶ καὶ ἡμεριναὶ νομαὶ ἐγγύς εἰσι τῆς πόλεως. φασὶ δὲ τοὺς Λαιστρυγόνας κατεσχηκέναι τὴν τῶν Λεοντίνων περὶ Σικελίαν

1. νομέα Buttm. pro νομός.
πλησίον] σύνεγγυς V.
3. ἀκούεσθαι] ἐξακούεσθαι V. partem hujus scholii exhibens ὅπου οἱ νομεῖς ἀλλήλους—ἐξελαύνοντες.
8. νυκτὸς—πολέμιος—βόσκων] Tria hæc vocabula obliterata in B. supplevi ex annotatione simili Eustathii p. 1648, 42.
16. παρελεύσει H. παρακελεύσει Q.
19. τῶν Buttm. pro τοῖς.
21. Ἄρατος] 61. ubi Cratetis sententiam memorat scholiasta.
25. ταῖς—κελεύθοις om. Q.

www.libtool.com.cn

χώραν, ἐν ᾗ γεννᾶσθαι πολλὴν μύωπα καὶ τὸν οἶστρον, ὥστε τὰ μὲν λάσια τῇ ἡμέρᾳ νέμεσθαι, τὰ δὲ ψιλὰ τῇ νυκτί. καὶ οὕτως τὸν δυνάμενον ἀγρυπνεῖν δύο μισθοὺς ἀποφέρεσθαι. Κράτης δέ φησι κατὰ τὴν τοῦ δράκοντος αὐτοὺς κατηστερίσθαι κεφαλήν, περὶ ἧς Ἄρατος λέγει "κείνη που κεφαλὴ τῇ νείσεται ᾗχί περ ἄκραι μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν." ὥστε πλείω μὲν εἶναι τὴν ἡμέραν, ὀλίγην δὲ τὴν νύκτα, ὡς ἀνάπαλιν παρὰ τοῖς Κιμμερίοις. εἴ τις οὖν δύναται διαγρυπνεῖν, διττοὺς κομίζεται μισθούς. H.V. ὅτι τὰ ἔννομα περὶ τὴν πόλιν διὰ τὸ ἀγεώργητα εἶναι τὰ προάστεια, εἶναι δὲ ταῖς ἄλλαις πόλεσιν ἐν ὄρεσι καὶ πόρρω. διὰ τοῦτο οὐ δύναταί τις δύο μισθοὺς ἆραι. T.

τοῦ γὰρ ἡλίου ὄντος ἐν θερινῷ τροπικῷ τοὺς ἀρκτῴους ἀνθρώπους μεγίστην τὴν ἡμέραν ἔχειν, καὶ μὴ ἔχειν νύκτα· τὴν γὰρ νύκτα μόνον μιᾶς ὥρας διάστημα εἶναι, τουτέστι τὴν ἡμέραν εἶναι κγ' ὡρῶν. δῆλον δὲ ὅτι τοῖς βορειοτέροις μεγίστη τῶν νοτιωτέρων ἡμέρα. περὶ τούτων καὶ Ὅμηρος τῶν τόπων μνημονεύει νῦν. φησὶ γὰρ ὅτι "τηλέπυλον Λαιστρυγονίην—νομεύων." . . ἡ γὰρ δύναταί τις δουλεῦσαι . . ἀ δύο ἡμέρας. P.

87. ἔνθ' ἐπεὶ] τότε ἐπειδὴ εἰς λιμένα τὸν ἄξιον θαύματος ἤλθομεν, ἐκεῖ ἔσω τὰς ναῦς ὡρμίσαμεν. B.Q.T.

ἐς λιμένα κλυτὸν] εἰρωνικῶς, ἔνθα τοὺς ἑταίρους ἀπώλεσεν. T.

89. ἀκταὶ δὲ προβλῆτες] αἱ προβεβλημέναι ἐν τῇ θαλάσσῃ πέτραι καὶ προέχουσαι ἀπὸ τῶν αἰγιαλῶν στενὸν ποιοῦσαι τὸν εἴσπλουν. Q.V.

90. ἐν στόματι] ἐν τῇ εἰσβολῇ τοῦ λιμένος. δασυντέον τὸ ἁραιή. H.

91. ἀντὶ τοῦ εἰσεῖχον, ὡς μὴ συγχεῖσθαι τὸ ἔνδον. τὸ δὲ ἔχον ἀντὶ τοῦ ἤλαυνον. τὸ δὲ ἑξῆς, τότε ἐπειδὴ εἰς τὸν λιμένα ἤλθομεν τὸν ἄξιον θαύματος, ἐκεῖ ἔσω τὰς νῆας ὡρμίσαμεν. H.

95. αὐτὰρ ἐγὼν] προοικονομεῖ τὸν τρόπον τῆς φυγῆς τοῦ Ὀδυσσέως. Q.

97. παιπαλόεσσαν] τραχεῖαν. ἔνθεν κἀν τῇ συνηθείᾳ παιπάλιμον λέγομεν ἄνδρα τὸν τραχὺν καὶ μὴ ἁπλοῦν. V.

1. χώραν, ἐν ᾗ γεννᾶσθαι om. H.
13. τὴν γὰρ νύκτα addidit Buttm.
17. τηλέπυλον] τηλέκλυτον P. qui in verbis ceteris usque ad νομεύων cum textu vulgato consentit.
25. δασυντέον τὸ ἁραιή] Hoc placuisse Aristarcho colligi potest ex schol. Il. ε, 425.
27. τότε—ὡρμίσαμεν] Hæc pars scholii legitur etiam in T. ex quo correxi quod est in H. εἰς τὸν ἄξιον λιμένα θαύματος ἤλθομεν — ὡρμήσαμεν. Conf. l. 19.

98. οὔτε βοῶν] βοῶν ἔργα ἡ ἠροτριασμένη γῆ, ἀνδρῶν δὲ ἀμπελὼν καὶ τὰ τοιαῦτα. B.

100. προΐειν] προέπεμπον. V.

101. σῖτον ἔδοντες] καὶ πῶς ἄγριοι ὄντες ἐχρῶντο τῇ διαίτῃ ἀπὸ τῆς μάζης; T.

102. ἵνα μὴ εὐεπιχείρητοι ὦσι διὰ τὸν κήρυκα. H.T.

103. οἱ δ' ἴσαν] ἐναντίον ἐστὶ τὸ παριστᾶν τοὺς Λαιστρυγόνας ὠμοφάγους τῷ παραφέρειν ἑαυτοῖς ὕλην. λύοιτο δ' ἂν ἐκ τοῦ ἔθους· εἰθίσμεθα γὰρ τῇ ὕλῃ καὶ εἰς ἄλλο χρῆσθαι, πρός τε ἀλέαν καὶ εἰς φῶς καὶ κατασκευήν. T.

ᾗπερ ἅμαξαι] τινὲς πιθανῶς γρ. ᾗ κεν ἅμαξαι. H.

104. καταγίνεον] κατεβίβαζον. ἔστι δὲ ἀγινεῖν κυρίως μὲν τὸ ἄγειν ἐκ τῆς τοῦ ἄγω παραγωγῆς, νῦν δὲ τὸ καταφέρειν. B.

105. σύμβλητο] ἤρχετο. V.

106. θυγατρὶ ἰφθίμῃ] γενναίᾳ κατὰ τὸ σῶμα. B.

108. Ἀρτακίην] ὄνομα κρήνης. εἶπον δὲ τὸ ὄνομα παρὰ Κίρκης μαθόντες. λέγει γὰρ "οἶδα καὶ αὐτὴ ἠμὲν ὅσ' ἐν πόντῳ πάθετ' ἄλγεα ἰχθυόεντι, ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες" (κ, 457.). ἢ κατὰ τὸ σιωπώμενον παρὰ τῶν φυγόντων μαθόντες παρὰ τῆς Κίρκης ἐπύθοντο. H.Q.V.

110. τῶν δ' εἴη βασιλεὺς] τῶν ἐν τῇ πόλει κατοικούντων. τὸ δὲ οἷσιν Ἀρίσταρχος διὰ τοῦ τ, καὶ τοῖσιν ἀνάσσοι, ἀντὶ τοῦ τίνων. H.

112. τὸ τήν δὲ περισσὸν, σημαίνει δὲ καὶ τὸ ἄρθρον τὸ τήν. H.

113. ἔστυγον] ἐφοβήθησαν, ἐξεπλάγησαν. ἡ γὰρ Στὺξ ἐκπληκτική ἐστιν. B.Q.

ἔστυγον αὐτὴν—τοῖσιν ἐμήσατο] τοῖς ἐκ τῶν ἕνδεκα νεῶν· τῶν γὰρ τριῶν πεμφθέντων ἕνα μόνον ἔλαβον, οἱ δὲ ἐσώθησαν εἰς τὴν ναῦν. T.

114. Ἀντιφατῆα] ἀπὸ τῆς Ἀντιφάτους γενικῆς· τὸ δὲ Ἀντιφάταο ἀπὸ τῆς Ἀντιφάτης εὐθείας. B.H.

4. καὶ πῶς—μάζης] Hæc verba T. scholio proximo post τὸν κήρυκα adjuncta habet. In H. est πῶς γὰρ ἄγριοι ὄντες ἐχρῶντο τῇ διαίτῃ in fine scholii v. 103. post ᾗ κεν ἅμαξαι.

6. εὐεπιχείρηται H. et Eustath. p. 1650, 23. ἐπιχείρητοι T. Conf. schol. ι, 89.

9. εἰθίσμεθα] εἰθισμένα T.

16. Brevius in T. οἶδε τὸ ὄνομα τῆς κρήνης παρὰ Κίρκης μαθών. "οἶδα καὶ αὐτὴ ὅσα πάθετ' ἄλγεα."

παρὰ Κίρκης μαθόντες] παρ' αὐτῆς μεμαθηκότες V.

18. ἠδ' ὅσ'] ἠδ' ὅσοι H.

19. μαθόντες παρὰ τῆς Κίρκης] μαθόντων παρὰ τῆς κόρης V.

29. Sic H., nisi quod ἀντιφά-

www.libtool.com.cn

116. δείπνον] γρ. δόρπον. H.

119. ἴφθιμοι] γενναῖοι. ἐπιφέρει γοῦν ὅτι "οὐκ ἄνδρεσσιν ἐοικότες, ἀλλὰ Γίγασιν." Γίγαντας δὲ τοὺς μεγάλους καὶ εὐτραπέλους τὸ σῶμα. T.

121. ἀνδραχθέσι χερμαδίοισι] ἤτοι τοῖς δυναμένοις ἄνδρα καταβαρύνειν. ἢ ἅπερ αὐτοῖς μὲν ἦν χερμάδια, ἄλλων δὲ ἀχθοφορήματα· ἢ μέγα βάρος παρέχουσι τοῖς βαστάζουσι. B. μέγα βάρος παρέχουσι τοῖς βαστάζουσιν ἀνδράσι· ἢ εὐγενέσι, τοῖς δυναμένοις ἄνδρα καταβαρύνειν· ἢ μεγάλοις. Q.

124. ἰχθῦς δ' ὡς πείροντες] ἀντὶ τοῦ νηχόμενοι καὶ περῶντες ὥσπερ ἰχθύες. ἢ διαπείροντες ὡς ἰχθύας. γράφεται καὶ, σπαίροντες. πείροντες δὲ καὶ ἀντὶ τοῦ διείροντες. V. ἤτοι περῶντες καὶ νηχόμενοι ὡς ἰχθῦς. ἢ πείροντες αὐτοῖς τοῖς ὀδοῦσιν. τὸ οὖν πείροντες ἀντὶ τοῦ περῶντες τὸν λιμένα καὶ διανηχόμενοι ὡς ἰχθύες. εἰ δὲ γράφεται "ἰχθῦς ὡς εἴροντες ἀτερπέα δαῖτα φέροντες," ὁ νοῦς αὐτοῦ οὕτως, ὡς ἰχθῦς αὐτοὺς συνείροντες καὶ ὁρμαθοὺς ποιοῦντες ἔφερον εἰς τοὺς οἴκους. ἢ ἴσως ξύλοις ἀπεξυσμένοις διέπειρον αὐτοὺς καὶ ὡς ἰχθύας ἐκ τῆς θαλάσσης ἀνείλκοντο. B.Q. ἔφερον εἰς οἶκον ἵνα φάγωσιν. δῆλον δὲ ἐκ τούτου ὅτι ἤδεσαν ἰχθύων τροφήν. οἰκεῖον δὲ ἡ εἰκών, ἐπεὶ ἐκ θαλάσσης ἐλάμβανον ἰχθύων τρόπον καὶ κατήσθιον. T.

ἀτερπέα δαῖτα πένοντο] Ἀρίσταρχος φέροντο. ἄλλοι δὲ δαῖτα πένοντο. Ἀριστοφάνης "ἰχθῦς δ' ὡς εἴροντες." κατέστη ἴδιον τὸ ἰχθῦς καὶ τὸ φέροντο Ζηνοδότῳ, ἐν δὲ ἄλλοις πείροντες. H. γρ. φέροντο. M.

φέροντο] προσεφέροντο. V.

130. οἵδ' ἅμα] τοῦτο μὲν ἐμφαντικόν. ἔνιοι δὲ γράφουσιν, οἵδ' ἄρα πάντες. Καλλίστρατος δὲ καὶ Ῥιανὸς διὰ τοῦ λ, οἵδ' ἅλα πάντες. H.

τους εὐθείας pro Ἀντιφάτης εὐθείας. In B. totum scholion versui 106. adscriptum hoc modo ἀντιφατῆς (sic) ἀπὸ τῆς ἀντιφάτεος, τὸ δὲ ἀντιφάταο ἀπὸ τῆς ἀντιφάτης. In Q. ad v. 115. ἀντιφάταν (sic) ἀπὸ τῆς ἀντιφάτης εὐθείας.

11. σπαίροντες] Recte ἰχθῦς δ' ἀσπαίροντες apud Eustath. p. 1652, 14. Verba γρ. καὶ σπαίροντες sunt etiam in M.

12. et 14. περῶντες pro πειρῶντες correctum ex Eustath.

23. κατέστη ἴδιον τὸ ἰχθῦς καὶ τὸ φέροντο] Hæc non integra.

24. Ζηνοδότῳ] ζηνοδώρῳ H. Idem vitium codicis E. in schol. ϑ, 477.

ἐν Cramerus. οὐ H.

28. οἵδ' ἅλα] οἵδ' ἄρα H. "οἵδ'

www.libtool.com.cn

ἀνέρριψαν] ἀνεκινήθησαν εἰς τὸ κωπηλατεῖν. Q.

131. ἐπηρεφέας φύγε πέτρας] τὰς τοῦ στόματος πέτρας, οὐ τὰς βαλλομένας· ἤτοι ἄνωθεν ἐπηρεφεῖς, ἢ ἐπικεκλιμένας καὶ βαλλομένας κατὰ τῆς νηός. B.H.Q.

135. Αἰαίην δ' ἐς νῆσον] ὄνομα νήσου. ταύτην ἔνιοί φασι τὸ νῦν Κίρκαιον πρὸς τῇ Ἰταλίᾳ. Q.V.

136. αὐδήεσσα] ἤτοι περιβόητος· ἢ εἰς διάλεξιν καὶ προσαγόρευσιν ἀνθρώποις ἐρχομένην· ἢ καθὸ ἐπίγειός ἐστιν. B.Q.V. Ἀριστοτέλης οὐδήεσσα. H. τὸ "Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα" (136) σημαίνει ἀνθρωπιστὶ φθεγγομένη, οὐχ ὡς θεός· διὰ σημείων γὰρ καὶ οἰωνῶν καὶ ἱερείων καὶ θυσιῶν καὶ δι' ὀνείρων καὶ οὐκ αὐδῆς φθέγγονται οἱ θεοί. καὶ αἱ ἐφετμαί· "οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων" (Od. δ, 352.) τῶν θεοπροπιῶν λέγει. ἡ δὲ Κίρκη "καλὸν ἀοιδιάει" (226), ὡς ἄνθρωπος. T.

137. ὀλοόφρονος] τοῦ συνετοῦ καὶ ὁλόκληρα φρονοῦντος. Q.V. ἢ ὀλέθρια φρονοῦντος. καὶ γὰρ μάγος ἦν. Q. ἐπεὶ τοὺς μετὰ Ἰάσονος ἀριστεῖς ἀποκτεῖναι ἠθέλησε· τῆς γὰρ περὶ τοὺς Ἀργοναύτας φήμης ἐπὶ τοῖς ἀνθρώποις οὔσης ἀδήλου ἐπὶ βραχὺ ἠσθημένος (sic) αὐτοῖς ὁμοίως ἔοικε τὴν Αἰαίαν ἀπὸ τοῦ Αἰήτου ὠνομάσθαι. T.

Αἰήταο] Αἰήτης Κόλχων βασιλεὺς, πατὴρ Μηδείας, Κίρκης ἀδελφός. Q.

138. ἄμφω] ἤτοι ὁ Αἰήτης καὶ ἡ Κίρκη ἐγεννήθησαν ἐκ τοῦ Ἡλίου. Q.

φαεσιμβρότου ἠελίοιο] τοῦ τὸ φῶς τοῖς ἀνθρώποις φαίνοντος. T.

139. ἐκ Πέρσης] Πέρση Ὠκεανοῦ μὲν ἦν θυγάτηρ, Ἡλίου δὲ γυνή. Ἡλίου δὲ καὶ Πέρσης Αἰήτης καὶ Κίρκη. Ἡσίοδος δὲ καὶ τὴν Ἑκάτην Περσηΐδα λέγει. Q.V.

140. κατηγαγόμεσθα] κατάγεσθαί φασι τὸ ἀπὸ θαλάττης εἰς

ἄλα conjecit etiam Toupius Cur. Nov. in Suid. v. ἀνέρριψαν, laudans η, 328. ν, 78." PORSON.

4. καὶ—νηός om. H.

8. Ἀριστοτέλης] ἀρίσταρχος H. Correxi ex schol. ad ε, 334.

12. καὶ αἱ] Fort. καὶ αὗται αἱ—. Conf. schol. ad ε, 334.

15. συνετοῦ] συνετὰ V. συνετοῦ legit Eustath. p. 1651. 50. nominativo utens συνετὸς καὶ φρονῶν ὁλόκληρα.

20. βασιλεὺς Buttm. ἀδελφὸς Q.

26. Ἡλίου δὲ γυνή om. Q.

27. Ἡσίοδος] Theog. 411.

www.libhol.com.ua

λιμένα ἐλθεῖν, καὶ ἀνάγεσθαι τὸ ἀνάπαλιν. δοκοῦσι γὰρ κατὰ τῆς ἀκτῆς ἔρχεσθαι. B.Q.T.

141. ναύλοχον] ἤρεμον, παρὰ τὸ λάζεσθαι· ἢ κεκρυμμένον, παρὰ τὸν λόχον. Q. Ἄλλως. τὸν εἰς φυλακὴν τῶν νεῶν ἐπιτήδειον· ἢ ἐν ᾧ ὡσπερεὶ κοιμῶνται αἱ νῆες· ἢ τὸν τὰς ναῦς κρύπτοντα ἢ ὑποδεχόμενον. B.Q. ἐγὼ δὲ ναύλοχον λέγω ἐκ τοῦ λοχᾶσθαι καὶ κρύπτεσθαι ἐν αὐτῷ τὰς νῆας. B.Q.

143. εἰς τὸ κείμεθα στικτέον. H.

144. ἀλλ' ὅτε ἡ ἡμέρα ἐποίησεν ἑαυτῆς τέλος. H.

146. ἀνήϊον] ἀνήρχοντο τόπον ὑψηλὸν, ἀφ' οὗ ἔστι περισκέψασθαι καὶ ἀποσκοπεῦσαι. Q.V.

150. διὰ δρυμὰ] διὰ δρυμῶν πυκνῶν καὶ τῆς ὕλης. ἀντιπτώσει γὰρ ἐνταῦθα κέχρηται. δρυμὸς ὁ κατάπυκνος τοῖς δένδροις τόπος, δρύομός τις ὤν. Q.

152. αἴθοπα] Ἀρίσταρχος τὸν ἐκ τοῦ αἴθεσθαι, ὅ ἐστι καίεσθαι, ἀναδιδόμενον. H.Q.

153. δοάσσατο] κυρίως δοάσασθαι τὸ δυοῖν ἑλέσθαι θάτερον. ἔστι δὲ ἡ λέξις κατὰ τοὺς παλαιοὺς οὐ μόνον ἀντὶ τοῦ ἔδοξεν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἠρέθη, προεκρίθη. πρῶτον μὲν ἐλθεῖν εἰς τὸν αἰγιαλὸν καὶ δοῦναι τοῖς φίλοις αὐτοῦ δεῖπνον, εἶτα στεῖλαι αὐτοὺς εἰς τὸ μαθεῖν τὰ ἐν τῇ χώρᾳ ἐκείνῃ. B.Q.

155. δεῖπνον ἑταίροισιν δόμεναι] ἴσως διὰ τὸ ὀλίγα εἶναι τὰ σιτία αὐτὸς ἐφύλασσεν. Q.T.

156. ἦα] καὶ ὑπῆρχον. κανονίζεται δὲ οὕτως. ἔω τὸ ὑπάρχω, ὁ μέλλων ἔσω, ὁ παρακείμενος ἧκα, ὁ μέσος εἶα, καὶ διαλύσει καὶ τροπῇ τοῦ ε εἰς η ἦα. B.

157. διὰ τὴν σπάνιν τῶν ἐπιτηδείων καὶ παρακινδυνεύειν ἀναγκάζονται. H.

159. κατήϊεν] εἶω τὸ πορεύομαι, καὶ ὁ παρατατικὸς ἤϊον, ἤϊες, ἤϊε, καὶ κατήϊεν. B.

160. δὴ γάρ μιν ἔχειν] τὸν ἔλαφόν φησιν ὑπὸ τοῦ ἡλίου ἐκκε-

3. λάζεσθαι] λέξασθαι H.
7. τὰς νῆας] τὴν νῆα H.
15. ὅ ἐστι καίεσθαι om. Q. et Eustathius p. 1652, 19., qui αἴθεσθαί τινα ὕλην.
18. ἔστι δὲ ἡ λέξις — προεκρίθη] Hæc ex Eustathii annotatione p. 1652, 20. sumta videntur.
22. ἴσως T. ὅπως Q.
31. τὸν] τὴν Q. τὴν vel τὸν ἔλαφον est in scholiis ad v. 169. 170.

www.libtool.com.cn

καῦσθαι καὶ ὡς ἐν πυρὶ γεγονέναι, διὸ καὶ ἐπὶ τὸν ποταμὸν κατιέναι τοῦ πιεῖν ἕνεκα. Q.V.

Ζηνόδοτος, δὴν γάρ μιν. H.

161. κατ' ἄκνηστιν] καταχρηστικῶς φησιν ὁ Ἀρίσταρχος ἐπὶ τῶν θηρίων εἶναι τὴν ἄκνηστιν. οὐ γὰρ αὐτὴν μόνην ἀδυνατοῦσι κνήσασθαι, ἀλλὰ καὶ τὴν ὀσφῦν καὶ τὸν τράχηλον. Ἄλλως. δεῖ γινώσκειν ὅτι αὐτὸς ἐπεξηγεῖται τί ἐστιν ἄκνηστις διὰ τοῦ εἰπεῖν μέσα νῶτα, ἤτοι ἡ ῥάχις, ἢ τὰ μέσα τῶν τετραπόδων, παρὰ τὸ μὴ δύνασθαι κνήσασθαι. H.Q. κατὰ τὴν ῥάχιν. καὶ γίνεται ἐκ τοῦ κνήθω κνήσσω κνῆστις καὶ ἄκνηστις, τὸ μὴ δυνάμενον κνηθῆναι. T.

163. μακὼν] μηκέω μηκῶ, ὁ μέλλων μηκέσω, ὁ ἀόριστος ἐμήκησα, ὁ δεύτερος ἔμακον, ἡ μετοχὴ ὁ μακών. B.Q. ὠνοματοπεποίηκε τὴν λέξιν, οἷον, ποιὰν φωνὴν καὶ ἄσημον ἀποτελέσας. B.Q.V.

164. ἐμβαίνων] γρ. διὰ τοῦ μ ἐν πάσαις, ἐπιβὰς, πλησιάσας, ὡς τὸ "λὰξ ἐν στήθεσι βάς" (Il. ζ, 65.). H.

166. ῥῶπάς τε λύγους τε] ἱμαντώδη φυτὰ ἐπιμήκεις καὶ εὐκάμπτους ῥάβδους ἔχοντα. B.Q.V.

169. καταλοφάδια] ὑφ' ἓν ἀναγνωστέον ὡς τὸ κατωμάδια καὶ τόνῳ καὶ σημαινομένῳ. B.Q. Ἄλλως. καταλοφάδια ἀντὶ τοῦ καταλοφαδίως. οὕτως δὲ δεῖ νοεῖν ὅτι ἐβάσταζε τὴν ἔλαφον ὁ Ὀδυσσεὺς μεταξὺ τῆς κεφαλῆς καὶ τῶν ὤμων μέσον γὰρ τῶν ποδῶν τῶν ἄνω ἔσχε τὴν ἰδίαν κεφαλὴν ὁ Ὀδυσσεύς. κατεῖχε δὲ τοὺς δύο πόδας συνδεδεμένους ταῖς δύο χερσὶ σκηριπτομέναις τῷ δόρατι. B. H.Q.

καταλοφάδεια] κατὰ λόφου καὶ αὐχένος, κατὰ τραχήλου. V.

1. ἐκκεκαῦσθαι—κατιέναι] ἐκκεκαῦσθαι (ἐκκεκαῦθαι Buttm.) ἐν πυρὶ γεγονέναι, διὸ ἐπὶ τὸν ποταμὸν κατήρχετο Q.

7. τί ἐστιν H. ἢ ἐστιν Q.

14. μ ἐν πάσαις Buttm. pro μ ἐμπάσας. Annotatum hoc est propter eos, quibus Græcus sermo requirere videretur ἐσβαίνων. Hujus scholii fragmentum est in V. ἐπιβαίνων ὡς λάξ.

18. καταλοφάδια] καταλλοφάδεια et ῑ super ει e schol. marg. codicis H. affert Pors. Eustath. p. 1653, 13. τὸ δὲ καταλοφάδια κοινότερον μὲν διὰ τοῦ ῐῶτα ὀφείλει ἔχειν τὴν παραλήγουσαν, τὰ δὲ πλείω τῶν παλαιῶν ἀντιγράφων διὰ διφθόγγου ἔχει αὐτήν.

κατωμάδια] Hæc forma non occurrit, sed κατωμαδόν, et Il. ψ, 431. ὅσσα δὲ δίσκου οὖρα κατωμαδίου φέρονται. BUTTM.

19. καταλοφαδίως] καταλοφαδείως H.

20. οὕτως] οὐδὲ B.

21. καὶ τῶν ὤμων] καὶ τῶν δύο ποδῶν B.

τῶν ἄνω Buttm. pro τὴν ἄνω.

23. σκηριπτομέναις] σκριπτομέναις H. σκηριπτομένους B.Q.

www.digitalclassics.com

οὕτως ἦεν] Ἀριστοφάνης δὲ, οὕπως εἶχον. H.

οὕπω εἶχεν] οὐκ ἐνεδέχετο ἔχειν. V.

171. χειρὶ φέρειν ἑτέρῃ] οὐκ ἠδυνάμην γὰρ τῇ ἀριστερᾷ χειρὶ κατὰ τοῦ ἑνὸς ὤμου φέρειν τὸν ἔλαφον. Q.T.

174. οὐ γάρ πως] τινές φασιν ὅτι ἀπὸ τοῦ γάρ ἤρξατο. ἐγὼ δὲ οἶομαι ὅτι ἡ σύνταξις οὕτως ἔχει. ὁ ἀλλά ἀντὶ τοῦ δή· ὦ φίλοι ἄγετε δὴ, ὄφρ' ἐν νηὶ βρῶσίς τε πόσις, μνησόμεθα βρώμης. οὐ γάρ πω καταδυσόμεθα, ἤτοι κατελευσόμεθα καὶ κατέλθωμεν, ἀχνύμενοί περ εἰς Ἀΐδαο δόμους πρὶν μόρσιμον ἦμαρ ἐπελθεῖν. H.Q.

175. εἰς Ἀΐδαο δόμους] οὐκ ἔστιν ἀποθανεῖν παρὰ τὴν εἱμαρμένην. δεῖ οὖν ἐσθίειν. Q.T.

178. ὦκα] δοκεῖ ἐναντίον εἶναι τοῖς ἠθυμηκόσι τὸ ὦκα· διὸ ἔν τισι τὸ οὕτω φέρεται. H.T.

179. ἐκ δὲ καλυψάμενοι] ἀπογυμνώσαντες τὰς ὄψεις ἤτοι ἀποσκεπασθέντες τὰ ἴδια σώματα ἐκ τοῦ ὕπνου ἐγερθέντες. Q.

180. θηήσαντ' ἔλαφον] ἔθος γὰρ τοῖς πολλοῖς θαυμάζειν τὰ ἀπὸ ἄγρας εἰλημμένα. Q.

182. ἐρικυδέα] τιμίαν· πᾶσα γὰρ δαὶς τιμία. ἢ ὅτι ἀναγκαία ἐστί. H. τὴν ποιοῦσαν γαυριᾶν. ἢ μεγάλως ἔνδοξον. V.

185. ἦμος δ' ἠέλιος κατέδυ] οὐδὲ μετὰ τὴν τροφὴν λέγει πρὸς αὐτοὺς περὶ τῆς κατασκοπῆς, ἀλλ' ἐᾷ τὴν πρώτην. H.Q.

186. τὸ ῥηγμῖνι διὰ τοῦ ν, ὡς Σαλαμὶν Σαλαμῖνος. H.

188. Ῥιανὸς, δὴ τότ' ἐγὼ ἀγορὴν θέμενος μετὰ μῦθον ἔειπον. H.

189. κέκλυτε—ἑταῖροι] Καλλίστρατός φησιν ὡς ὑπό τινος ὁ στίχος προτέτακται ἀγνοοῦντος τὸ Ὁμηρικὸν ἔθος, ὡς θέλει ἄρχεσθαι ἀπὸ τοῦ γάρ. H.

ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος] ταῦτα δὲ λέγει οὐκ ἀπορῶν,

1. εἶχον Nauckius Aristoph. p. 45. pro εἶχεν. Scripturam vitiosam sequitur proximi scholii auctor.

4. τὸν T. τὴν Q.

6. ὁ—ἀντὶ τοῦ δή H. ἡ—ἀντὶ τοῦ ἡ Q. Conf. Eustath. p. 1653 extr.

13. οὕτω Buttm. pro οὕτως. Corrupte in T. διὸ ἔν τισιν οὐδὲ φαίνεται.

19. ἔνδοξον Barnes. pro ἔνδοξα.

21. ἐᾷ τὴν H. ἑαυτὴν Q. ἐωθινὴν Buttm.

23. μῦθον] V. in ed. Schrevelii, μετὰ πᾶσιν] ἔνιοι μῦθον.

25. ἄρχεσθαι ἀπὸ τοῦ γάρ] De hoc usu poetarum dixit schol. Eurip. Phœn. 886. ab Cobeto editus, allato versu Homeri hoc 190. et inferiore 226. Ex quo manifestum est hunc quoque scholiastam, quem ipsum Aristophanem Byzantium esse suspicatur Cobetus, non legisse versum 189.

27. οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος] Vid. ad β, 1. BUTTM.

www.libtool.com.cn

ἀλλὰ δεινοπαθῶν τοῖς παροῦσιν. B.Q. ἀγνοοῦμεν, φησὶν, ἐν ποίῳ κλίματι ἐσμεν, καὶ οὐ δυνάμεθα συγκρῖναι ὡς πρὸς ἑτέραν χώραν εἰ ἀνατολικοί ἐσμεν ἢ δυτικοί. ἐλθόντες οὖν μάθωμεν παρὰ τῶν οἰκητόρων, καὶ οὕτως τὸν ἐπὶ τὴν πατρίδα πλοῦν ποιησώμεθα. ἐκ τούτων δὲ ἐκτετοπισμένη φαίνεται ἡ πλάνη τοῦ Ὀδυσσέως. B.Q.T. Ἄλλως. ἄλογόν ἐστι τὸ τοὺς ἑταίρους ἀθυμίᾳ περιβάλλειν. λύεται δὲ ἐκ τοῦ καιροῦ. πρὸς γὰρ τὸ δεῖν σκέψασθαι τοὺς οἰκήτορας τῶν τόπων ἤρμοττε τὴν ἀπορίαν τῶν χωρίων εἰπεῖν. Q.T. Ἄλλως. ταῦτα λέγει οὐκ ἀπορῶν, ἀλλὰ δεινοπαθῶν τοῖς παροῦσιν· οὐ γὰρ ἴσμεν ὅπου ἡ δύσις ἢ ὅπου ἡ ἀνατολή. H.Q.

192. ἀννεῖται] ἀνατέλλει, ἀνέρχεται, ἀναφέρεται. H.

193. ἐγὼ δ' οὐκ οἶομαι] τοῦτο εἶναι διὰ μέσου φησὶν Ἀρίσταρχος ὡς ἂν ἀπαλγήσαντος τοῦ Ὀδυσσέως ἰδίᾳ ἀναπεφωνῆσθαι. H.Q.

195. νῆσον τὴν πέρι πόντος] ἀντὶ τοῦ ὡς ὄρος ἐπίκειται ἡ θάλασσα τῇ νήσῳ, οἷον δοκεῖ ἐπάνω αὐτῆς εἶναι. χθαμαλὴ γὰρ ἡ νῆσος προείρηται. ἀπὸ τῆς στεφάνης οὖν τοῦ ὄρους ἐστεφάνωται, εἶπεν. H.Q.

200. ἀνδροφάγοιο] γρ. ἀνδροφόνοιο. M.N.

208. ἓξ γὰρ ἀφ' ἑκάστης νεὸς ἀπολομένων περιελείποντο μδ', ὧν οἱ ἡμίσεις εἰσὶ κβ'. ἄλλως τε καὶ συγκέχρηται τῷδε τῷ ἀριθμῷ. H.

210. ἐν βήσσῃσι] ἐν τοῖς βασίμοις τόποις. Q. ἢ ἐν ταῖς προβάσεσι καὶ ὀρειναῖς κοιλάσιν. Q.V.

212. ἀμφὶ δέ μιν] ἀπὸ τοῦ πληθυντικοῦ τοῦ δώματα πρὸς ἑνικὸν τὸ δῶμα ὑπήντησεν, ὡς τὸ "ἐξ ἑτέρων ἕτερ' ἐστίν" (Od. ρ, 266.)· εἶτα ἐπιφέρει "οὐκ ἄν τίς μιν ἀνήρ." ἢ περὶ αὐτὴν τὴν Κίρκην. Q.

8. Ἄλλως om. H.

12. Ἀρίσταρχος Buttm. pro Ἀρχίλοχος. Frequens horum nominum permutatio, de qua dixit Ruhnken. Præfat. ad Hesych. vol. 2. p. vii.

15. δοκεῖ] δοκεῖν Q.

ἡ om. Q.

19. ἀπολομένων] ἀπολλομένων H. Conf. schol. ι, 60. Computatio autem scholiastæ quo fundamento nitatur ex Eustathii verbis perspicitur p. 1655, 24. σημείωσαι ὅτι ἐν τῷ "δύω καὶ εἴκοσ' ἑταῖροι" πεντήκοντα εἶναί φασιν οἱ παλαιοὶ τοὺς ἐξ ἀρχῆς τῷ Ὀδυσσεῖ συμπλέοντας ἐν τῇ κατ' αὐτὸν νηΐ, στοχαζόμενοι οὕτως. ἓξ ἀφ' ἑκάστης νηὸς ἀπώλοντο παρὰ τοῖς Κίκουσιν (ι, 60). ἔπαθε δὴ τοῦτο καὶ ἡ Ὀδυσσέως ναῦς. λοιποὶ τοίνυν ἐν ἑκάστῃ νηΐ ἀνὰ μδ', ὧν ἄρτι μεμερισθέντων εἰς δύο οἱ μὲν ἡμίσεις κβ' ἀκολουθοῦσιν Εὐρυλόχῳ, οἱ δὲ ἁπλοῖ μένουσι παρὰ τῷ Ὀδυσσεῖ.

20. συγκέχρηται] Conf. ad δ, 339.

23. ἀμφὶ δέ μιν] Hoc scholion referebatur ad v. 210. præfixo lemmate δώματα Κίρκης.

24. ἕτερ' ἐστίν." εἶτα—ἀνήρ." ἢ] ἕτερος. εἶτα"—ἀνῆρη Q. Correxit Buttm., cujus hæc est annotatio "Mendosissime scriptum scholium

www.libtool.com.cn

213. τοὺς αὐτὴ κατέθελξεν] ἐξ ἀνθρώπων εἰς φύσιν λεόντων καὶ λύκων μετέβαλεν. Q. οὐκ ἐξ ἀγρίων τιθασεύουσα, ἀλλ' ἐξ ἀνθρώπων θῆρας ποιήσασα. λέγει οὖν ὁ Εὐρύλοχος ἑξῆς (443.) "ἢ σῦς ἠὲ λύκους ποιήσεται ἠὲ λέοντας." H.T.

τὸ ἔθελξεν οὐ τὸ μεταμορφῶσαι σημαίνει, ἀλλὰ τὸ νωθέστερον ποιῆσαι πρὸς τὰς ἐνεργείας, ὡς ἐν Ἰλιάδι "αὐτὰρ Ἀχαιῶν θέλγε νόον" (μ, 255.), οἷον νωθέστερον ἐποίει. H.Q.T.

215. οὐρῇσιν μακρῇσι] τῇ κινήσει τῆς οὐρᾶς ἀσπαζόμενοι. T.

217. μειλίγματα θυμοῦ] τὰ μειλίσσοντα καὶ καταπραΰνοντα αὐτῶν τὸν θυμόν. B.Q.T. φησὶ δὲ τὰς ἀπομαγδαλιὰς, ἃς προσδεχόμενοι οἱ κύνες ἐγρηγόρασιν. ἢ κρέα τινὰ καὶ πρὸς ἡδονὴν δωρήματα. Q.V. φησὶ δὲ τὰς ἀπομαγδαλιὰς τῶν δακτύλων αὐτοῦ, ἤτοι τὰ ἐκ τοῦ πίους ῥυπάσματα. B.

220. ἔσταν δ' εἰνὶ θύρῃσι] Ἀρίσταρχος γράφει, ἔσταν δ' ἐν προθύροισι. H.

221. ἀειδούσης ὀπὶ καλῇ] οὐδὲν ἄτοπον τὴν εἰς τόπον οὖσαν τοιοῦτον ὑποκλέπτειν τῇ ᾠδῇ τὸν πόνον. αἱ εὐγενίδες δὲ εἰσάγονται παρ' Ὁμήρῳ ἱστουργοῦσαι. Q.

222. ἱστὸν ἐποιχομένης] πορευομένης εἰς τὸ ἱστουργεῖν. Q.

225. ὅς μοι κήδιστος] συγγενικώτατος, φροντίδος ἄξιος, φίλτατος ἐξ ἐπιγαμίας. Q.

sic dispice et corrige. Spectat illud potius ad 212. ubi μὶν singulariter acceptum refertur a grammatico ad δῶμα, quod sit in præced. δώματα. Cujus rei aliud exemplum profert ex Od. ρ: ubi postquam v. 266. dictum sit ἐξ ἑτέρων ἕτερ' ἐστίν relatum ad δώματα κάλ' Ὀδυσσέως, inferatur mox (268.) οὐκ ἂν τίς μιν ἀνὴρ ὑπερπλίσσαιτο. Tum aliam etiam tangit rationem, qua μὶν illud in nostro loco referatur ad Circen. Nam vox non vox, ἀνήρ, dirimenda est ita:—μιν ἀνήρ. ἢ περὶ αὐτὴν τὴν Κίρκην."

2. τιθασεύουσα] τηθασσεύουσα T. τιθάσσουσα H.

3. ποιήσασα T. ποιοῦσα H.

5. ἄλλως præfixum in T.

οὐ τὸ H.T. οὐ πρὸς τὸ Q.

9. αὐτῶν τ. θ.] τ. θ. αὐτῶν T.

10. ἀπομαγδαλιὰς] Simplici μαγδαλιὰ utitur Eustath. p. 1655, 44.

13. πίους Buttm. pro πίου.

20. συγγενικώτατος] συγγενικωτάτης Q. Correxi ex H. in quo scholion sic scriptum esse dicitur συγγενικώτατος σοφώτατος χωρὶς τοῦ τε. τιμιώτατος, κηδεμονικώτατος. in quibus duorum adjectivorum, κήδιστος et κεδνότατος explicationes mixtæ sunt, quas discrevit Eustath. p. 1655. extr. ἔστι δὲ κήδιστος μὲν ὁ φίλτατος, οὗ μάλιστα κήδεταί τις· κεδνότατος δὲ κατὰ τοὺς παλαιοὺς ὁ φροντιστικώτατος, ὅ ἐστι σοφώτατος, ἢ συνετώτατος.

www.libtool.com.cn

232. ὀϊσάμενος δόλον εἶναι] ὑπέλαβε δόλον εἶναι ἀπὸ τοῦ φιλοφρόνως αὐτοὺς καλεῖν μόνην οὖσαν, καὶ ἀπὸ τῆς τῶν θηρίων ἡμερότητος. B.H.Q.V.

Εὐρύλοχος] ἀπὸ τῆς ἡμερότητος τῶν θηρίων ὁ Εὐρύλοχος ὑπέμεινεν "ὀϊσάμενος δόλον εἶναι." T.

235. Πραμνείῳ] τῷ ἀπὸ τῆς Πράμνου νήσου. H. ἢ πραΰνοντι τὸ μένος· ἢ παραμεμενηκότι ἤτοι παλαιῷ· ἢ πραμνείῳ, τῷ ἀπὸ τῆς Πράμνου. B. ἔνιοι μὲν τῷ ἐκ πραμνείας ἀμπέλου γινομένῳ οἴνῳ. λέγεται δὲ πραμνεία ἄμπελος ὡς καὶ Θασία καὶ μελίκηρις. ἔνιοι δὲ πραμνείῳ τῷ πραΰνοντι τὸ μένος, οἷον τὴν ψυχὴν εἰς πραότητα ἄγοντι. ἔνιοι δὲ παραμόνιμον εἰς παλαίωσιν καὶ μὴ μεταβαλλόμενον. H.Q.V.

238. ῥάβδῳ πεπληγυῖα] πρὸς τὴν γοητείαν καὶ ἡ πληγὴ τῆς ῥάβδου ἐνήργει. καὶ ὅλως αἱ ῥάβδοι τῶν θεῶν ἐνεργοὶ παρ' Ὁμήρῳ. πλήξας γοῦν τῷ σκηπανίῳ τοὺς Αἴαντας ὁ Ποσειδῶν ἐνῆκε μένος (Il. ν, 59.). καὶ Ἀθηνᾶ τὸν Ὀδυσσέα ῥάβδῳ πεπληγυῖα πάλιν ποίησε γέροντα (Od. ν, 429.). καὶ ὁ Ἑρμῆς ὥσπερ τιμίῳ ὅπλῳ χρῆται αὐτῇ, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει (Il. ω, 343.). H.Q.T. Ἄλλως. ῥάβδῳ δηλονότι ὁμοῦ πάντας ἔπληξεν. ἐκεῖ ἰδόντες τοὺς πρὸ αὐτῶν ἀποτεθηριωμένους ἀπέσχοντο ἂν τοῦ πότου. T.

συφεοῖσιν] ταῖς τῶν χοίρων μάνδραις συνέκλειεν. H.

239. οἱ δὲ συῶν μὲν ἔχον—αὐτὰρ νοῦς ἦν ἔμπεδος] καὶ πῶς; εἰ γὰρ σώζουσι τὴν ἀνθρωπίνην γνώμην καὶ πιόντες, πῶς Ὀδυσσεὺς θαυμάζει; οὐδὲν γὰρ πεπόνθασιν ἀλλότριον. ῥητέον οὖν ὅτι ὁ μὲν Ὀδυσσεὺς οὐκ ἐθέλχθη οὐδ' ἤλλαξε τὸ τῆς γνώμης δῖον, οἱ δὲ ἑταῖροι ἐν τοιαύτῃ τινὶ ἕξει ἐγένοντο ὥστε ἔχειν μὲν τὴν ἀνθρωπίνην ψυχήν . . . . μέντοι καὶ τὸν νοῦν ἐγρηγορότα. ἴσως τὸν μὲν νοῦν ἀπὸ μέρους

1. ὑπέλαβε δόλον εἶναι om. B.Q.V.

9. Θασία V. et Eustath. p. 1656 extr. θασεία H. θεσεία Q.

καὶ μελίκηρις om. V.

ἔνιοι δὲ παραμόνιμον—] οἱ δὲ ὅτι τῶν οἴνων ἔνιοι μὲν καυστικοὶ, ἔνιοι δὲ ἡδεῖς, τινὲς δὲ πραμνείσιοι καὶ παραμόνιμοι V. Verba τῶν γὰρ οἴνων φησὶν (corr. φασὶν) οἱ μὲν καυστικοὶ, οἱ δὲ ἡδεῖς extant apud Eustath. p. 1656 extr.

11. μεταβαλλόμενον] μεταβάλλοντες V.

15. σκηπανίῳ] σκιπανίῳ T. σκήπωνι H.Q.

20. ἔπληξεν Prellerus. ἐποίησεν T.

27. ψυχὴν * μέντοι —] Laborant hæc tot corruptionibus, ut omnia emendare desperaverim. Sed quo pertineat hæc adnotatio in universum quidem divinare licet ex

www.libtool.com.cn

ὅλον λέγει, ... οἴεται καὶ τὸν νοῦν τρέπεσθαι. ὁ δὲ Ὀδυσσεὺς "αὐτὰρ νοῦς ἔμπεδος ὡς τὸ πάρος περ" ἀκούσας παρὰ τῶν ἑταίρων φησὶ, μαθὼν ὅτι ἡ ῥάβδος ἡ μεταμορφοῦσα. ἐπὶ γοῦν τοῦ Ὀδυσσέως οὐ λέγει ῥάβδῳ πεπληγυῖα, ἀλλ' ἕτερόν ἐστι τὸ λεγόμενον. οὐ γὰρ ὅτι οὐκ ἔθελξεν αὐτὸν τοῦ φαρμάκου διὰ τὸ φάσκειν τῇ ῥάβδῳ πλήσσειν ὡς μεταμορφοῦν ἱκανῇ καὶ ἀλλοιοῦν, καὶ ἐπὶ τῶν ἑταίρων εἰληφέναι μὲν τὸν κυκεῶνα καὶ πεπωκέναι, τὴν δὲ οἰομένην τεθέλχθαι αὐτὸν ἐπιφέρει τὴν ῥάβδον ὅτι οὐ τὸ σῶμα ἦν τὸ μεταβάλλον, ἀλλ' ἡ ψυχή. ἐπεὶ διὰ τοῦτο οὐ θαυμάζει, ὅτι τῇ ῥάβδῳ πληγεὶς οὐ μετεμορφώθη, ἀλλά φησιν ὡς οὐ πιών. T.

τρίχας τε καὶ πόδας] γράφεται, τρίχας τε καὶ δέμας. Q. γρ. δέμας. M.

τρίχας τε καὶ δέμας] Ζηνόδοτος, καὶ πόδας, γράφει. καὶ ἐν ἄλλῳ, φωνήν τε τρίχας τε καὶ δέμας. H.

240. αὐτὰρ νοῦς ἦν ἔμπεδος] πρὸς τὴν ἐξῆς ἀθέτησιν ὅτι τὸ σῶμα μόνον ἠλλοιοῦτο ἡ δὲ ψυχὴ ἔμενεν ἀμετάβλητος. πῶς οὖν ἂν λέγοι "σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν" (329.), ὡς καὶ τοῦ νοῦ ἠλλοιωμένου; ἡ δὲ λύσις ἐκ τῆς λέξεως. H.Q.T. οὐχ ὁ σύμπας, ἀλλ' ὁ κατὰ τὸ φιλάνθρωπον μόνον. διὸ καὶ σαίνουσιν ὥσπερ δελφῖνες. "φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν," κατὰ τὸν Πίνδαρον. H.Q.V. ἔμπεδος δὲ ἑδραῖος, βέβαιος, μὴ συνακολουθησας τοῖς λοιποῖς. B.Q.

242. πάρ ῥ' ἄκυλον] Ἀρίσταρχος οὐκ οἶδε τὸν στίχον. ὁ δὲ Καλλίστρατος ἀντ' αὐτοῦ γράφει "παντοίης ὕλης ἐτίθει μελιηδέα καρπόν." ἄκυλον δέ φησι τὸν τῆς πρίνου καρπὸν, βάλανον δὲ τὸν τῆς δρυός. καρπόν τε κρανείης, τὸν τῆς κρανέας καρπὸν, ὃς πίτταξις

subsequentibus, quæ velim conferas cum editis ad v. 238. 318. 328. PRELLER.

15. ἀθέτησιν] Cf. schol. ad 329.

16. λέγοι correxi pro λέγῃ.

17. σοὶ—ἐστὶν] σοὶ δή τις νόος ἀκήλητός ἐστιν T. σοὶ δὲ τίς ἐνὶ στήθεσσι νόος ἐστίν H.Q.

ὡς om. Q.

18. ἡ δὲ—λέξεως om. T.

19. κατὰ om. Q. καὶ κατὰ est in V. Apud Eustath. p. 1657, 12. ἀλλ' ὁ κατὰ μόνον τὸ φιλάνθρωπον: unde ἀλλ' ὁ scripsi pro ἀλλά.

20. Πίνδαρον] Fragm. 260.

23. παντοίης] παντός μα H. παντὸς μὴν Q. Correxit Rud. Schmidt. ap. Nauck. Aristoph. p. 321. Idem vere observat errorem inesse annotationi scholiastæ. Nam si versum 242. non novit Aristarchus, ne præcedentem quidem servare potuit, qui cum eo cohæret, nisi quis, quod Nitzschius fecit vol. 3. p. 124., Aristarchum illic δῶκε δὲ Κίρκη scripsisse conjiciat pro τοῖσδε δὲ Κίρκη. Videri igitur versum qui non cognitus fuerit Aristarcho alium fuisse, nunc peditum, qui versui 242. præpositus fuerit.

25. πίτταξις Eustathius p. 1657, 19. πίταξις Q. πίταξις H. πίττα-

www.libtool.com.cn

καλεῖται, οἱ δὲ βάρβιλος, οἱ δὲ μάραος. H.Q.V. τὸν τῆς πρίνου καρπόν. τί οὖν, φασὶ, τίνος αὐτῆς χρεία ἀποθηριοῦν; εἰ μὲν γὰρ οἰκέτην ἔχρηζεν, ἔδει φυλάττειν αὐτούς, εἰ δὲ ἀνελεῖν, ἦν ἀποκτεῖναι. ἴσως τὰ μυθικὰ ἀσυκοφάντητα, καὶ ὅτι ἐτέρπετο, ὡς καὶ ἄλλοι θεῶν παῖδες. T.

243. χαμαιευνάδες] ἐπὶ βόθρου ὀρύσσουσαι καὶ κοιμώμεναι. V.

245. ἐρέων] λέξων· οὐ γὰρ δὴ λέγων. H.

ἀδευκέα] πικρὸν, ἀνιστόρητον, ἀπροσδόκητον. Q.

246. ἐκφάσθαι] διὰ τῆς ἀφωνίας τοῦ ἀγγέλου καὶ τῶν δακρύων μεῖζον φαίνεται τὸ πάθος. T.

248. ὤϊετο θυμός] προεφήτευε καὶ προενοεῖτο. Q. ὑπενόει, προεδόκει ὄλεθρον καὶ ἀφανισμόν. T.

249. ἀγαζόμεθ'] γρ. ἀγασσάμεθ'. N. ἐν ἄλλῳ, ἀγαζόμεθα. H.

ἀγασσάμεθα] ἐμεμψάμεθα. V. ἀγαζόμεθα] ὀργιζόμεθα. V. ἄγαν προσεκείμεθα καὶ ἐλιπαροῦμεν καὶ ἐξεπληττόμεθα. T.

257. οἴεται τοὺς ἑταίρους δι' ἡδυπαθείας μένειν ἐκπληττομένους κάλλει γυναικός. H.

259. οἱ δ' ἅμ' ἀϊστώθησαν] ἠφανίσθησαν, ἀφανεῖς ἐγένοντο. Q. ἠφανίσθησαν ὁμοῦ. P.

268. σῶν] Ἀρίσταρχος ἀντὶ τοῦ σῶον. H.

ξυς V. Ex Eustathio compilata sunt, verbis leviter mutatis, quæ in B. ad hunc versum leguntur, ἄκυλον τὸν τῆς πρίνου καρπὸν τὸν καὶ ἄγριον βάλανον, τὸν τῆς δρυός. συκαμίνους ὁ συκάμινος, μιμαίκυλα τὸ κόμαρον. βάλανοι δὲ οὐ δρυῶν μόνον, ἀλλὰ καὶ φοινίκων καθ' ὁμοιότητα. οὕτω δὲ καὶ τὸ τοῦ αἰδοίου παρά τισιν ἄκρον. καὶ βάλανοι δὲ Διὸς τὰ κάστανα. κράνεια δὲ προπαροξυτόνως τὸ φυτόν· ὁ δὲ καρπὸς σεσήγηται παρὰ τῷ ποιητῇ, καλεῖται δὲ πίτταξις· οἱ δὲ βάρβυλόν φασιν, οἱ δὲ μάραον. Indidem (p. 1657, 32.) sumta quæ mox eodem in codice adscripta sunt ad ᾖομεν v. 251. τοῦ δὲ ᾐόμεν ἐνεστὼς εἶω, οὗ παρατατικὸς ἤϊον, τὸ πληθυντικὸν ᾐόμεν καὶ κατὰ συναίρεσιν ᾖομεν. ἄλλως γάρ φασιν οὐδέποτε ἐν παρῳχημένῳ κατάρχον μὲν τὸ ἦτα μόνον, ἐπάγεται δὲ τὸ ο. διὸ καὶ ἐν τῷ ἑορτάζω τὴν ἔνδον αὔξησιν. ἑορτὴ γὰρ δι' ἧς ἐὰ, ὅ ἐστιν ἀγαθὰ, ὄρνυται, ὅθεν ἐν τῷ ἑώρταζον ἡ αὔξησις. τοῦ δὲ ἤϊον ἡ χρῆσις καὶ μετ' ὀλίγα ἐν τῷ "παρὰ νηὸς ἀνήϊον ἠδὲ θαλάσσης" (274.), καὶ πρὸ τούτων "παρὰ νηὸς ἀνήϊον ἐς περιωπήν" (146.).

1. βάρβιλος] In Geopon. 10, 13. p. 671. est, βάρβιλος δὲ κυρίως καλεῖται τὸ ἀπὸ ὀστέου Περσικοῦ φυόμενον δένδρον, ubi libri nonnulli βράβηλον. Dixi de his formis et βραβύλοις, quæ sunt pruna Damascena, in Thesauro vol. 2. p. 386.

μάραος] Mirum nomen neque alibunde cognitum, in quo consentit Eustathius.

11. προεδόκει] Corrige προσεδόκα.

13. ἀγαζόμεθα] Voluit ἀγασσάμεθ'. Nam ἀγαζόμεθ' in textu habet H.

www.libtool.com.cn

269. ἀλύξαιμεν] ἐκφύγοιμεν· ἔτι γὰρ καιρός ἐστι τοῦ ἐκφυγεῖν ἡμᾶς. H.

271. τῷδ' ἐνὶ χώρῳ] ὡς τὸ, κλυτὸς Ἱπποδάμεια, μετεσχηματισμένον. B.

275. ἱερὰς ἀνὰ βήσσας] τὰς ἀστιβήτους, τοὺς συνδένδρους τόπους. H.

277. Ἑρμείας χρυσόρραπις] οὐχ ὡς Αὐτολύκου πατὴρ, Ὅμηρος γὰρ τοῦτο οὐ δηλοῖ, ἀλλ' ὅτι ὁ λόγος θεὸς, καὶ τὸν σπουδαῖον εἰς λόγον τιμᾷ. λέγει γοῦν καὶ ἡ Ἀθηνᾶ "τῷ σε καὶ οὐ δύναμαι προλιπεῖν, οὕνεκ' ἐπητής ἐσσι καὶ ἀγχίνοος" (Od. ν, 331.). καὶ ὅτι τῇ Κίρκῃ προεῖπεν ἥξειν αὐτόν. H.Q.

279. ὑπηνήτῃ] ὑπήνη λέγεται ὁ μύσταξ. πρῶτον ὑπηνήτῃ, ἄρτι γενειῶντι, πρώτης ἥβης καὶ ἡλικίας ὄντι, ἀρτιγενείῳ γενειήτῃ. ὑπήνη δέ ἐστι τὸ ἐπάνω χεῖλος, ἐφ' οὗ πρῶτον γεννᾶται ὁ χνοῦς, ὅ ἐστιν ἡ πρώτη τοῦ γενείου ἔκφυσις. H.Q.V. ὑπηνήτης ὁ τὸ χεῖλος πρῶτον χνοάζων γενείῳ. Q.

281. αὖτως] ἔνιοι, αὖτ' ὦ. V.

[δι' ἄκριας: ἄκρας ἔχοντας τόπους, τουτέστι τραχεῖς καὶ ὑλώδεις. V.]

282. τὸ οἵδε ἀναφορικόν. H.

283. πυκινοὺς κευθμῶνας ἔχοντας] κευθμῶνας νῦν φησι τοὺς τόπους καὶ τὰς καταδύσεις ὅπου κεύθονται καὶ συγκεκλεισμένοι εἰσίν. H.Q.V.

286. ἀλλὰ φέρε δή σε τῶν κακῶν ἀπολυτρώσομαι. H.

290. κυκεῶ] κυκεῶνα κατὰ ἀποκοπήν. κυκεὼν δὲ λέγεται τὸ ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων καὶ ὕδατος καὶ τυροῦ ἀναμεμιγμένον πόμα. V.

291. θέλξαι] κακῶσαι, τὸν νοῦν ἀλλοιῶσαι. V.

293. περιμήκεϊ ῥάβδῳ] φαίνεται ἡ ῥάβδος ἀλλοιοῦσα τὰ σώματα, ὁ κυκεὼν δὲ τὴν ψυχήν. Q.

3. μετεσχηματισμένων] μετασχηματισμών B. Num χώρῳ pro χώρᾳ dictum esse vult grammaticus? BUTTM.

5. τὰς ἀστιβ.] Hoc est etiam in V.

7. Αὐτολύκου Buttm. ἀστυλόχου H. ἀστυλόγου Q. Vid. schol. τ, 432.

9. τῷ σε] τῷδε H.

13. ἀρτιγενείῳ H. ἀρτιγενείως Q.

ὑπήνη—ἔκφυσις om. V.

17. Hæc notatio accessit in ed. Schrevelii.

20. τοὺς τόπους καὶ om. Q. φησι et καὶ τὰς καταδύσεις om. V.

21. κεύθονται Q. κεύθοντες H. κρύπτονται V.

εἰσίν om. Q.

296. ἡ δέ σ' ὑποδδείσασα] φοβηθεῖσα ὡς τρωθησομένη, οὐχ ὡς ἀποθανουμένη. B.Q.

κεκλήσεται] ἀντὶ τοῦ καλέσεται. εὐνηθῆναι] οὐ δι' ἀκολασίαν, ἀλλ' ἐξ ὧν προεῖπεν ὁ Ἑρμῆς (331.) λογισαμένη ὡς θεοφιλής. Q.

298. λύσῃ θ' ἑτάρους] ἀπολύσῃ καὶ ἐλευθερώσῃ ἀπὸ τῆς φαρμακείας, ἢ τοὺς σοὺς φίλους χοίρους ἐποίησεν. Q.

299. μακάρων μέγαν ὅρκον ὀμόσσαι] ἢ τῶν θεῶν τὸν ὅρκον, ἢ εἰς τοὺς θεούς. λείπει δὲ ἡ κατά, ἵν' ᾖ κατὰ μακάρων. Q.

301. μή σ' ἀπογυμνωθέντα] τοῦ ξίφους δηλονότι, καὶ "γυμνὸς ἄτερ κόρυθός τε καὶ ἀσπίδος" (Il. φ, 50.). οὐ γὰρ ἐσθῆτός φησι. B.Q.

ἀνήνορα θείῃ] μηδεμίαν ἀνδρείαν ἔχοντα, ἢ μηκέτι ἄνδρα, ἀλλὰ θηρία. T.

305. μῶλυ δέ μιν καλέουσι θεοί] οὐκ εἶπε πῶς καλεῖται παρ' ἀνθρώποις. ἐπήγαγε γοῦν ὅτι ἄγνωστόν ἐστιν ἀνθρώποις. Q. μῶλυ] βοτάνης εἶδος παρὰ τὸ μωλύειν, ὅ ἐστιν ἀφανίζειν τὰ φάρμακα. φασὶ δὲ αὐτὸ ἑλκόμενον τῷ τέλει τῆς ῥίζης θάνατον ἐπιφέρειν τῷ ἀναστῶντι. B.H.Q.V. τὸ κωλυτικόν. εἰκότως δὲ καὶ Ὀδυσσεὺς σοφὸς ὑπάρχων ἔλαβε τὸ μῶλυ, τοῦτό φησι τὸν τέλειον λόγον, ὑφ' οὗ βοηθούμενος οὐδὲν παθεῖν ἠδύνατο. μετεβάλλετο καὶ παρηγορεῖτο ἴσως διὰ τὸ μῶλυ. T.

καλέουσι] οὐκέτι προσέθηκε παρὰ ἀνθρώποις ὀνομάζεσθαι, ὑπὲρ τοῦ μὴ ζητεῖν ἡμᾶς τὴν ῥίζαν. T.

χαλεπὸν δέ τ' ὀρύσσειν] χαλεπὸν ὀρύττειν ἐν τῇ γῇ καὶ εὑρίσκειν τὰ εἴδη τοῦ φαρμάκου. Q.

[ὥστε μὴ βλαβῆναι αὐτὸν ὑπὸ τῶν ἐκείνης φαρμάκων. μῶλυ δέ ἐστι κατὰ τοὺς ἰατροὺς τὸ ἄγριον πήγανον. ἀλληγορικῶς δὲ εἶπον, οὐδ' εἰ λέγει μῶλυ, δάφνη, κόνιζα, ῥάμνος, ἰτέα, ἀστήρ τε θαλάσσιος, ἴασπις λίθος, ἄλλα τε πολλὰ φυτὰ καὶ ζῷα λίθοι ἀντιπαθοῦσι μαγικοῖς παρὰ τρόποις. P.]

1. Vid. ad 323.
3. εὐνηθῆναι] Vid. ad 334.
15. ἄγνωστον] ἀνάγνωστον Q. Correxi ex Eustath. p. 1658, 53.
17. Verba φασὶν αὐτὸ ἑλκόμενον—ἀναστῶντι sunt etiam in T.
τῆς ῥίζης om. H.
26. Hoc proximumque codicis P. scholion ideo tantum posui ne quicquam omissum mihi objici posset. Sunt autem scripta a manu longe diversa ab illa quæ vera illa scholia scripsit, sed eadem quæ pannum illum Tzetzæ, quem dedi ad κ, 2. BUTTM.

www.libtool.com.cn

[καὶ ὁ ἐν τοῖς τοῦ Ἱπποκράτους καὶ Γαληνοῦ βιβλίοις λέγει οὕτως, ὅτι τὸ μῶλυ ἤγουν τὸ ἄγριον πήγανον μετὰ οἴνου πινόμενον τὰς ἐκ θηρίων λύει βλάβας καὶ θώρακος παύει πόνους. ὤτων ὀδύνας μετ' οἴνου ἢ ῥοδίνου. ὀξυδορκίαν ποιεῖ ἐσθιόμενον καὶ πινόμενον. καὶ ὁ χυλὸς αὐτοῦ σὺν γάλακτι ὑπαλειφόμενος ἀλγήματα καὶ ὀφθαλμῶν ἀχλῦς καὶ ὑποχύσεις ἀρχομένας ἀνθρώπων τε καὶ κτηνῶν ἀπαλλάσσει. εἰ δὲ μέλιτος Ἀττικοῦ μέρη δύο βαλεῖς καὶ χυλοῦ τοῦ πηγάνου μέρος ἓν ὑπαλείφων κεφαλῆς παύει τὰ αὐπαλά. καὶ τὰ ἐγκάρδια αὐτοῦ φύλλα τοῖς ὠσὶν ἐμβυόμενα. P.]

306. ἴσασιν] γρ. δύνανται. H.

307. Ἑρμείας μὲν] οὕτω συντακτέον τὸ ῥητὸν, Ἑρμείας μὲν ἔπειτα ἀπῆλθεν εἰς τὸν μακρὸν καὶ ὑψηλὸν Ὄλυμπον, ἐγὼ δὲ εἰς τὰ δώματα τῆς Κίρκης καὶ εἰς τὴν ὕλην τῆς νήσου ἐπορεύθην. Q.

311. ἐβόησα] γρ. καὶ ἤϋσα. N.

θεὰ δέ μευ ἔκλυεν αὐδῆς] οἰκεῖον τὸ βοᾶν τῷ τεθαρρηκότι. T.

315. καλοῦ, δαιδαλέου] ἐν τούτοις ἐπετέτακτο τὸ "καλοῦ δαιδαλέου, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν," οὐ μέντοι παρ' Ἀριστάρχῳ. Q.

316. δέπαϊ] ἐν ἄλλῳ, γήραϊ ὑπὸ λιπαρῷ. H.

318. ἔκπιον] ἔπιεν, ἵνα μᾶλλον ὑπὸ τῆς Κίρκης θαυμασθῇ μὴ μεταβληθείς. H.T.

οὐδέ μ' ἔθελξεν] οὐκ ἠλλοίωσε τὴν διάνοιαν. T.

320. συφεόνδε] εἰς τὸν συφεῶνα, εἰς τὰ τῶν χοίρων μάνδρα. H.

λέξο] οὕτως Ἀρίσταρχος δισυλλάβως τὸ λέξο. ἄδηλον δὲ πότερον κοιμῶ, ἢ συναριθμοῦ. H. λέξω] κοιμηθῶ ἢ ἐναριθμηθῶ. V.

1. Ἱπποκράτους καὶ Γαληνοῦ] Conf. Foes. Œcon. Hipp. s. v. μώλυζα.

7. βαλεῖς] βάλεις P., quod etiam βάλοις esse potest. Dixit de hoc usu verbi βάλλειν Lobeck. Aglaoph. p. 633.

16. τούτοις] Exspectes τισὶν vel ἐνίοις. Legitur hic versus (quem T. in margine habet a m. rec.) infra 367. et α, 131.

τὸ] τοῦ Q.

18. ἐν ἄλλῳ δέπα', ὡς "γήρα' ὑπὸ λιπαρῷ." PORS. Od. λ, 136. Nescio tamen cur non utrobique scribamus potius δέπᾳ, γήρᾳ. Quid enim? scribimusne etiam ἐν σάκε' Ἀντιλόχοιο (Il. ν, 565.)? aut τείχε' ὑπὸ Τρώων (Il. ρ, 404.)? BUTTM.

19. ἔπιεν] ἔπιον H.

μὴ μεταβληθείς om. H.

23. τὸ λέξο] Videntur quidam legisse λέξε' elisum pro λέξεο, quod plenum extat Il. ι, 639. Postea e λέξε nota elisionis neglecta factum est λέξαι. PORS. λέξο M. cum γρ. λέξαι.

24. συναριθμοῦ Porsonus pro συναριθμῶ.

Manifesta corruptela, pro qua Schrevel. ed., in cujus textu est λέξον, substituit hæc: λέξω] ἔνιοι, λέξον (cf. not. ad δ, 139.). κοιμηθῶ, ἢ ἀριθμηθῶ; Barnesius: λέξο vel λέξον] κοιμήθητι ἢ ἀριθμήθητι. Ceterum ni-

www.libtool.com.cn

323. μέγα ἰάχουσα] διὰ τὸ φοβεῖσθαι τρωθῆναι, οὐκ ἀποθανεῖν. V. δεδοικυῖα τὴν πληγὴν ἢ τὸν θάνατον. T.

καὶ λάβε γούνων] θνητὴ ἄρα οὐ πάντως, ἀλλὰ τὴν τρῶσιν φοβεῖται. T.

διὰ τί δὲ ἐφοβήθη ἡ Κίρκη τὸ ξίφος τοῦ Ὀδυσσέως θεὰ οὖσα; φαμὲν ὅτι τοὺς πολὺν χρόνον ζῶντας δαίμονας, θανάτῳ δὲ ὅμως καθυποβαλλομένους, θεοὺς εἴωθεν ὀνομάζειν ὁ ποιητής. ἢ φυσικῶς φοβεῖται τὸ ξίφος ἡ Κίρκη, ὡς καὶ ἄλλας τινὰς ὕλας τινὲς τῶν δαιμόνων· ὡς καὶ Διονύσιος ἐν Λιθικοῖς "φύσει δὲ κρύσταλλον ἰδ' ἱερὴν ἴασπιν, ἐχθρὴν Ἐμπούσῃσι καὶ ἄλλοις εἰδώλοισιν." H.Q.T.

324. καί μ' ὀλοφυρομένη] Ἀριστοφάνης, καί με λισσομένη. καὶ ἔστιν οὐκ ἄχαρις ἡ γραφή. οὐδὲν γὰρ ὀλοφυρτικὸν λέγει καὶ ἐπάγει. H.

328. ἀμείψεται ἕρκος ὀδόντων] διαβῇ, παρέλθῃ. τὰ φάρμακα δηλονότι, ὡς τὸ "δοῦρα σέσηπεν" (Il. β, 138.). ἀντικαταλλάξεται τὰ ἔξω καὶ ἔλθῃ εἰς τὰ ἔσω. Q. διέλθῃ· τοῦτο δὲ τῆς ὑπερβολῆς τῶν φαρμάκων. T.

329. σοὶ δέ τις] ὁ Σιδώνιός φησιν ἀθετεῖσθαι τὸν στίχον. H.

καὶ μὴν καὶ τῶν ἄλλων "αὐτὰρ νοῦς ἦν ἔμπεδος ὡς τὸ πάρος περ" (240.). εἰ γὰρ ἔμενεν ὁ νοῦς, πῶς ἀπορεῖ ἐπὶ τοῦ Ὀδυσσέως ὅτι οὐ μεταβέβληκε; ἢ τάχα περὶ τοῦ ἠγριῶσθαι τὸν νοῦν ἐκείνων φησί. ἢ ἐκ τῆς λέξεως λύοιτ' ἄν· ἢ γὰρ παραφραστικῶς λέγει "σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν" ἀντὶ τοῦ ἀκήλητος εἶ, ἢ τὸ "ἀτὰρ

mis diu invenustum hoc asyndeton in Homeri textu relictum est ἔρχεο συφεόνδε, λέξο: pro quo jungendum est συφεόνδε ἰλέξο, ut λέξομαι εἰς εὐνήν (ρ, 102.). ἔρχεο enim sic absolute alii imperativo jungi solet, ut ἔρχεο, δεῦρο κάλεσσον (ρ, 529.). Sic etiam dubitatio scholiastarum de significatione verbi λέξο solvitur. BUTT.

1. Conf. schol. ad 296.

7. ἢ φυσικῶς—εἰδώλοισιν om. Q.

8. ὡς καὶ ἄλλας] καὶ ἄλλως T.

τινὲς om. H.

9. Λιθικοῖς] λιαθικοῖς T. quod Λιθιακοῖς esse potest. Ipsa Dionysii verba om. T.

ἱερὴν ἴασπιν] Scribendum videtur ἠερίεσσαν ἴασπιν, quomodo appellat Dionys. Perieg. 724.

10. Ἐμπούσῃσι Cramerus. ἐν πάσῃσι H.

11. καί με λισσομένη] Hanc Aristophanis scripturam memorat etiam Eustath. p. 1660, 4. καὶ δέ με λισσομένη, si quid mutandum sit, conjecit Nauckius Aristoph. p. 45. καὶ μειλισσομένη proposuerat Nitzschius vol. 3. p. 136. Frustra.

15. ἀντικαταλλάξεται Buttm. pro ἀντὶ καταλέξεται.

19. μὴν et αὐτὰρ Buttm. pro μὲν et ἅπερ.

22. λύοιτ' ἄν scripsi pro λύοιτο.

23. ἢ τὸ—ἡμερότητος om. Q.

www.libtool.com.cn

νοῦς ἔμπεδος ὡς τὸ πάρος περ" οὐκ ἐπὶ παντὸς λέγεται τοῦ νοῦ, ἀλλὰ τῆς ἡμερότητος. H.Q.

ἀκήλητος] ἄθελκτος, ἀκάκωτος, ἀκατάκλαστος, ἀνεξαπάτητος. B.Q. ἄθελκτος, ἀμετάβολος. τὸ δὲ θελχθῆναι ὁ ποιητὴς οὐκ ἐπὶ τοῦ σώματος τίθησιν ἀλλοιώσεως, ἀλλ' ἐπὶ τῆς ἀφροσύνης, "ἦ τ' ἀνδρῶν ὄμματα θέλγει" (Il. ω, 343.). θελχθείσης γὰρ τῆς ψυχῆς διὰ τὸν ἐπιφερόμενον ὕπνον καὶ ἡ ὅρασις τῶν ὀφθαλμῶν. τούτου δὲ οὕτως ἔχοντος μαχόμενον εἶναι δοκεῖ τὸ "σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστιν." T.

330. ἦ] ἀποφαντικῶς ἀντὶ τοῦ ὄντως. Q.

331. φάσκεν] ὁπότε ἐπέστησε, τότε ἔγνω. τοιοῦτοι γὰρ παρ' Ὁμήρῳ οἱ θεοί. B.H.T.

334. εὐνῆς ἡμετέρης] οὐχ ἡδονῆς, ἀλλὰ πίστεως ἕνεκα τοῦτο προβάλλεται. Q.

341. γυμνωθέντα] τὸ ξίφος ἀποθέμενον. V.

348. τέως μὲν] γρ. κεδναί. H.

349. δρήστειραι] ὑπηρέτιδες, διάκονοι, ὑπουργοί. γίνεται δὲ ἀπὸ τοῦ δρῶ τὸ πράττω, ἰσχυραί. Q.

350. γίγνονται δ' ἄρα ταί γε] κατήγοντο δὲ τῇ γενέσει. B.Q. ὑφίστανται νύμφας τινὰς ἐξ ὕδατος. τινὲς δὲ ὑπερβατόν· ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει ἔκ τε κρηνέων. οἱ δὲ ἀλληγοροῦσι Κίρκην μὲν λέγοντες τὸν ἐνιαυτὸν, τέσσαρας δὲ θεραπαινίδας τὰς ὥρας. B.Q.V.

ἔκ τε κρηνέων] ἔνθα αἱ Ναΐδες νύμφαι καὶ αἱ Δρυάδες. H.Q.V.

351. οἵτ' εἰς ἄλαδε] οὔτε γράφει Ζηνόδοτος. Ἀρίσταρχος δὲ, οἳ εἰς ἅλα. δεύτερον δέ ἐστιν ἡ εἰς. H.Q. καὶ γὰρ ὧδε νῦν τ' εἰς δῆ, ὡς τὸ "αὐτόν μιν" (δ, 244.) καὶ "ἀμφὶ περὶ κρήνην." (Il. β, 305.). H.

3. ἄθελκτος] ἄθρικτος V. in ed. veteribus, quod ex codice correxit Barnesius. Recte apud Eustathium p. 1660, 18.

4. Cum hoc scholio conf. scholia ad 238. 239. 240.

10. ὄντως Buttm. pro οὕτως.

13. Conf. schol. ad 296.

20. ὑφίστανται] ὑφίστασθαι B.Q. in quibus hoc scholion cum præcedente coaluit.

23. Ναΐδες] νεάνιδες H.Q.

24. οὔτε] Corruptum, ut videtur, ex οὕτω. Sic etiam Duentzerus p. 83., qui Zenodotum οἵτε ἅλαδε, Aristarchum οἵτ' εἰς ἅλαδε legisse conjicit.

25. δεύτερον] Suspicor primas duas vocis δεύτερον litteras jungendas esse præcedenti ἅλα, ceteras autem natas ex oblitterata in antiquiori aliquo codice scriptura vocis περισσή. BUTTM. Hanc conjecturam commendant verba corrupta in fine scholii καὶ γὰρ—κρήνην, quæ absunt a Q., ex H. autem post Buttmanni

www.libtool.com.cn

352. *ῥήγεα καλὰ*] *βαπτὰ περιβόλαια καὶ ἱμάτια.* Q.

353. *λιθ'*] *ἐνθάδε ὀξυτονητέον τὸ λίτα· πληθυντικὸν γάρ ἐστιν, οὐχ ἑνικόν.* Q. *λέγει λίτα τὰ ἐφαπλώματα, καὶ πορφύρεα κέκληκε τὰ ἁλιπόρφυρα καὶ ἁπαλὰ περιβόλαια.* H.Q. *ἁπλᾶ περιβόλαια.* V.

354. *ὅτι τὸ ἑτέρη ὑγιῶς ἐπὶ τῆς δευτέρας.* H.

ἐτίταινε τραπέζας] *παρεῖχεν, ἔτεινε κατὰ τῆς τραπέζης προπαρατιθεῖσα τοῖς μέλλουσιν ἑστιᾶσθαι.* Q. *ἐτίταινε*] *ἔτεινεν, εἶλκεν.* V.

355. *κάνεια*] *γρ. κύπελλα.* H.

360. *ἤνοπι χαλκῷ*] *λαμπρῷ, ἐν ᾧ ἔστιν ἐνοπτρίσασθαι.* B. *διαυγεῖ, ἐν ᾧ ἔστιν ἰδεῖν ἑαυτόν.* B.V.

361. *λό' ἐκ τρίποδος*] *τὸ τέλειον ἀπὸ τοῦ λόω λόε, ἤτοι λουτρὰ ἐπέχεεν, ἀντὶ τοῦ κατὰ κρατός τε καὶ ὤμων, ἡδὺ κεράσασα ἐκ τοῦ τρίποδος εἰς ἄλλο ἄγγος δηλονότι.* H.Q.

ἀσάμινθον] *πύελον, κιβωτόν. καὶ ἡ κοίλη δὲ καὶ ἡ μεγάλη κύλιξ καὶ ἡ λάρναξ οὕτω καλεῖται. οἱ δὲ πύελον λουτῆρα, ὅπου ἡ ἄσα μινύθει.* H.

362. *θυμῆρες*] *καταθύμιον, ἡδὺ, τῆς ψυχῆς ἐράσμιον.* Q.

τὸ μὲν θυμῆρες προπερισπωμένως, τὸ δὲ θυμαρές ὀξυτόνως. γράφεται γὰρ ἀμφότερον. P.

374. *ᾤετο*] *γρ. καὶ ὄσσετο.* N.

376. *κρατερὸν*] *γρ. καὶ στυγερόν, ὅ ἐστι κρεῖττον.* H.N.

demum editionem ab Cramero edita sunt. Quorum sensum hunc esse patet, in *αὐτόν μιν* et *ἀμφὶ περὶ* alterutrum ex abundanti eodem modo additum esse quo hic *εἰς ἄλαδε* pro simplici *ἄλαδε* dictum sit.

P. 470, 26. *ὡς τὸ* scripsi pro *ὡς τόν*.

P. 471, 3. *πορφύρεα*] *πορφύρια* Q.

11. *λόω—δηλονότι* H. In Q. est *λόγου, ἤτοι λοετρὰ ἐπέχεεν.* Tum (interposito alio scholio de voc. *θυμῆρες*) *κατὰ κρατός τε καὶ ὤμων*: *ἡ δὲ κεράσασα* usque ad *δηλονότι*. Quod alterum scholion *κατὰ κρατός—δηλονότι* est etiam in B: ad quod Buttmann. "Quicquid sonent hæc verba certe lemmati præfixo non respondent. Contra hic tandem ad finem perducitur explicatio illorum *λό' ἐκ τρίποδος*, quæ imperfecta supra legitur. Ex his vestigiis facile cognoscitur unum hæc duo olim fuisse scholium, quod doceret verbum *λόε* non spectare ad proximum *ἐκ τρίποδος*, sed ita explicandum et jungendum esse, *λοετρὸν ἐπέχεεν κατὰ κρατός τε καὶ ὤμων*, hæc autem *ἐκ τρίποδος* pendere a verbo *κεράσασα*. Mox verba *κατὰ κρ. τ. κ. ω.* facili errore credita sunt novum lemma constituere, et ita scholium discerptum est: cui plene tamen instaurando obstat aliqua nunc in particulis maxime difficultas, quam aliis expediendam relinquo." Hæc difficultas nunc remota est restituto ex H. *ἡδὺ* (pro *ἡ δὲ*), quod respondet adjectivo *θυμῆρες*.

12. *ἀντὶ τοῦ* supervacaneum, nisi in sequentibus verbum *ἐπέχεεν* vel *κατέχεεν* vel simile aliquod excidit.

21. *καὶ* et *ὅ ἐστι κρεῖττον* om. H.

www.libtool.com.cy

377. ἀγχοῦ δ' ἱσταμένη] ἔνιοι δ', ἄγχι παρισταμένη. H.

379. βρώμης ὡς ῥώμης. ὅμοιον δὲ αὐτῷ ἐστι καὶ τὸ τρώμη· καὶ Ἀρίσταρχος ὀξύνει. H.

380. περισπαστέον τὸ ῆ· διαπορητικὸν γάρ ἐστι. H.

385. Ἀρίσταρχος, λύσασθ' ἑτάρους. H.

388. ὣς ἄρ' ἔφην] γρ. ὣς ἐφάμην. H.

389. ἀνώϊξε] γρ. ἀνέῳγε. H.

393. τῶν δ' ἐκ μὲν] Ἀριστοφάνης, τοῖς δ' ἐκ μέν. H.

394. πότνια Κίρκη] γρ. δῖα θεάων. H.

395. αἶψ' ἐγένοντο] Ἀρίσταρχος, ἆψ ἐγένοντο. H.

νεώτεροι] μᾶλλον νέοι. συγκριτικῶς δὲ κεῖται τὸ νεώτεροι. Q.

396. μείζονες] ἐπείπερ οἱ μετὰ πείρας κακίας εἰς ἀρετὴν στραφέντες βελτίους ἑαυτῶν γίνονται, μαθόντες τὸ κακὸν οἷς κακῶς ἔπαθον. B.

397. ἔφυν] προσφυῶς ἐπελαμβάνοντο. H.

400. πότνια Κίρκη] γρ. δῖα θεάων. H. δῖα θεάων] γρ. πότνια Κίρκη. M.

404. κτήματ' ἐν σπήεσσι] ἔν τισι γρ. κτήματα δὲ σπείεσσι, καὶ, κτήματα ἐν σπείεσσιν. H.

πελάσσατε] νῦν ἀντὶ τοῦ ἀπόθεσθε. V.

405. ἰέναι] νῦν ἀντὶ τοῦ ὑποστρέφειν. V.

409. οἴκτρ' ὀλοφυρομένους] οἰκτρῶς καὶ ἐλεεινῶς ὀδυρομένους. H.

410. ἄγραυλοι] οἱ ἐν τοῖς ἀγροῖς αὐλιζόμενοι. H.

πόριες] νέαι βόες, μόσχοι. ἀγελαίας δὲ νομαίας, ἀζεύκτους. Q.V.

411. κόπρον] τὴν βουστασίαν. B. τὴν στάσιν τῶν βοῶν. V.

412. οὐδέ τι σηκοὶ] καίπερ μικραὶ οὖσαι αἱ ἐπαύλεις οὐ κωλύουσιν αὐτὰς τοῦ σκιρτᾶν. B.

413. μυκώμεναι] βοῶσαι· μυκηθμὸς γὰρ ἡ τῶν βοῶν φωνή. Q.

416. πόλιν αὐτῶν] Ἀρίσταρχος, πόλιν αὐτήν. H.

πόλιν Ἰθάκης, τὴν Ἰθάκην. B.

417. ἵνα τέτραφεν] γρ. ἵν' ἔτραφον. H.

2. τρώμη] Dorice τρώμα apud Pind. Pyth. 4, 483.

5. λύσασθ' Buttm. pro λύσμαθ'. In textu H. (ut M.P.) habet λύσασθαι, vitiose, ut conjicit Buttm., pro λῦσαι (respondente illi λῦσον v. 387.) ad quod Aristarchi scriptura λύσασθ' annotata esse videtur.

7. ἀνώϊξε] Sic H. (ut N.) in textu, fortasse pro ἄϊξε, quod conjicit Cobetus. In M. est ἀνέωξε in textu.

32. ἵν' ἔτραφεν] Fort. ἵνα τ' ἔτραφεν.

www.libtool.com.cn

429. Εὐρύλοχος—ἑταίρους] λείπει τὸ λέγων. H.

431. ἆ δειλοί] τὸ ἆ θαυμαστικὸν, ἀντὶ τοῦ ὦ δειλὲ καὶ ἄθλιε. H.

432. καταβήμεναι] καταβῆναι, ὑπειορθεῖν. V.

433. σῦς] ἀπορήσειε δ' ἄν τις πῶς ὁ Εὐρύλοχος ταῦτα λέγει μὴ εἰσελθὼν εἰς τὴν Κίρκην. ἀλλὰ ῥητέον ὅτι ἐστυχάσατο ἀπὸ τῶν πρὸ τῆς θύρας προσσαινόντων αὐτῷ ἀνθρωπίνως. H.Q.

434. δῶμα φυλάσσοιμεν] τηροῖμεν. οὐχὶ φυλάσσειν τὸ δῶμα, ἀλλὰ τὸ ἀεὶ ἐκεῖσε εἶναι. Q.

436. ὁ θρασὺς] ὁ προπετής. λοιπὸν ἐπάγει τὴν αἰτίαν διὰ τί θρασὺν αὐτὸν εἶπε. Q.

441. καὶ πῃῶ] ἀντὶ τοῦ, καὶ πηοῦ περ ἐόντος. Q. συγγενεῖ. V. Κτιμένην γὰρ γεγαμήκει τὴν Ὀδυσσέως ἀδελφήν. Q.V. γαμβρῷ μοι ὄντι ἐπὶ τῇ ἀδελφῇ Κτιμένῃ. B.

[διαίρεσις τοῦ νόμου, ἣν οὐκ οἶδεν Ὅμηρος. ὁ υἱὸς διαιρεῖται εἰς τὸν γνήσιον καὶ νόμιμον, ὅς ἐστι καὶ κυρίως υἱός· εἰς τὸν γνήσιον μόνον, ὅς ἐστιν ὁ ἐκ πορνείας· εἰς τὸν νόμιμον, ὅς ἐστιν ἐπίθετος· εἰς τὸν φυσικὸν, ὅς ἐστιν ἀπὸ μητρὸς ἐγνωσμένης καὶ πατρός· εἰς τὸν ἔκθετον, τὸν καὶ σπουρίαν, οὗ τὸν πατέρα οὐκ οἴδασιν οὐδὲ τὴν μητέρα. B.]

448. ἔκπαγλον ἐνιπήν] ἔξοχον, μεγάλην ἐπίπληξιν. H.

450. λοῦσέν τε] λούσασθαι ἐκέλευσε. μετωνυμία δὲ ὁ τρόπος. B.

452. δαινυμένους δ' ἄρα τούς γε] γρ. δαινυμένους δ' εὖ πάντας. H. δαινυμένους δ' εὖ πάντας] γρ. δ' ἄρα τούς γε. M.

453. φράσσαντό τε πάντα] ἐπέγνωσαν τὰ κατ' αὐτοὺς γεγονότα. ἐν ἄλλῳ δὲ γρ. φράσσαντό τ' ἐσάντα. H. φράσσαντο δὲ θυμῷ] γρ. πάντα. M.

3. ὑπειορθεῖν] Ex corrupta hac voce Barnesius fecit ὑπερωϊόθεν transposuitque ad v. 558. non reputans vocem mere epicam in explicatione grammatica nunquam adhiberi. Si cui placet hariolatio, legat ὡς εἰς ὄλεθρον. Eustath. ὡς εἴπερ ἔφη ἐς Ἄιδου καταβῆναι διὰ τὸν ἐλπιζόμενον ὄλεθρον. BUTTM.

6. προσσαινόντων] προσαινόντων H.Q.

13. Κτιμένῃ] Conf. ad. o, 363. BUTTM. Ex Eust. p. 1664, 31.

14—19. Recentissimi scholiastæ annotatio ab hoc loco aliena.

21. Ad 451. οὖλας: ἔνιοι καλάς V. in edit. Schrevel.

25. φράσσαντό τ' ἐσάντα] Varianten hanc, immo unice veram lectionem exhibet etiam non solum cod. Vind. 133. in quo suprascriptum est τότ' ἐσόντα, sed glossa vulgata, ἔναντα, quam eo quo in edd. ant. est loco insertam supra apposui, cum recentiores editores, nescii quo spectaret, tacite eam omiserint. BUTTM.

26. γρ. πάντα] Paullo inferius γρ. ἔναντα adscriptum in M.

www.kitoolcorp.cn

φράσσαντο] ἐπέγνωσαν. ἔναντα] ἀπεναντίας. V.

454. περὶ δ' ἐστοναχίζετο] περιήχει. V.

457. θαλερὸν] Ἀριστοφάνης, στυγερὸν γόον. καὶ οὐκ ἄχαρις ἡ γραφή. H.

459. ἀνάρσιοι ἄνδρες] τοὺς Λαιστρυγόνας αἰνίττεται καὶ τὸν Κύκλωπα. B.

461. θυμὸν] θυμὸς ἐνταῦθα ἡ δύναμις καὶ ἡ προθυμία. H.

463. ἀσκελέες καὶ ἄθυμοι] ἄγαν κατεσκληκότες καὶ κεκμηκότες, σκληροὶ, ἐσκελετευμένοι καὶ νενεκρωμένοι καὶ ψυχικῆς ἰσχύος ἐστερημένοι. B.Q. ἄθυμοι] κεκακωμένοι τὴν ψυχὴν, οἷον ἄψυχοι. V.

465. πέπασθε] κέκτησθε. V.

469. περὶ δ' ἔτραπον ὧραι] παρῆλθον αἱ ὧραι, ἐαρινὴ, θερινὴ καὶ ἐξῆς. ὁ δὲ καί (471.) περισσός. ἤτοι περιῆλθον δὲ πάλιν οἱ καιροὶ ἐπὶ τὴν ὥραν. B.Q.

474. ἐϋκτίμενον] γρ. ὑψόροφον. H.

481. ἐκ νυκτέρων δὲ μεγίστη γίγνεται βροτοῖς χάρις, φησὶν Εὐριπίδης. M.

γούνων ἐλλιτάνευσα] διὰ τῶν γουνάτων τῆς Κίρκης λιτὴν ἐποίησα καὶ παράκλησιν. ἀντὶ τοῦ, τῶν γονάτων ἁψάμενος. Q.

483. ὦ Κίρκη] δῆλον ὅτι Ὀδυσσεὺς πολλάκις τοῦτο ἱκέτευσεν. H.

490. ἀλλ' ἄλλην χρὴ] πῶς πέμπει αὐτὸν ἵνα ἀκούσῃ; προῄδει γὰρ καὶ τὸν τῆς δαίμονος ἔρωτα. "θάνατος δέ τ' ἐξ ἁλὸς αὐτῷ ἀβληχρός" (λ, 134.). καὶ μὴ πεισθῆναι Καλυψοῖ τὴν ἀθανασίαν ὑπισχνουμένῃ. δι' ἑαυτῆς δὲ οὐ μαντεύεται, ἵνα μὴ δοκῇ ἐρῶσα φοβερώτερον καθιστᾶν τὸν πλοῦν καὶ ἀπιστηθῇ. Q.

4. Ἀριστοφάνης] Aristophanis lectionem memorat Eustath. p. 1664, 41. Breviter in M. γρ. στυγερὸν Ἀριστοφάνης.

9. ἐσκελατευμένοι Buttm. pro σκελετευόμενοι.

12. πέπασθε : κέκτησθε] Sic editiones veteres. Nam recentiores ejus loco suffecerunt πέποσθε] κέκμησθε, πεπόνθατε : ex mera ut apparet correctione. Illam alteram esse Aristarchi lectionem Eustathius p. 1663, 15. docet. BUTT.

17. 18. Annotatio recentis grammatici parum apta huic loco. Versus sunt in Hecuba 831. 832., sed quos spurios esse ostendi in annotatione ad eum locum.

20. τοῦ addidit Buttm.

26. In B. adv. 491. adscripta sunt verba Eustathii p. 1665, 24. ὁ δὲ Ὁμηρικὸς νοῦς—τοιαύτης πλάσεως. et ad ἐπαινῆς Περσεφονείης ejusdem verba p. 1665, 7. ἡ αἰνὴ (corrige αἰανὴ ex Eust.)—καὶ (ἡ ap. Eust.) μᾶλλον—προθέσεως. γράφεται δὲ καὶ Φερσεφόνη Ἰωνικῶς.

www.libtool.com.cn

491. εἰς Ἄϊδαο δόμους] ὑπονοοῦσα μὴ πιστεύεσθαι πέμπει αὐτὸν πρὸς Τειρεσίαν. ἅμα δὲ καὶ ὁ ποιητὴς ἐπεισοδίῳ χρήσασθαι ἐβουλήθη διὰ τὸ φρικῶδες καὶ ἐκπληκτικὸν τῆς ψυχαγωγίας. T.

ἐπαινῆς] δεινῆς, κατ' εὐφημισμόν, ὡς "ἀγνὴ Περσεφόνεια" (Od. λ, 386.). T.

492. ψυχῇ χρησομένους] μαντευσομένους ἐν τῇ ψυχῇ τοῦ Τειρεσίου. H. μαντευσομένους, ὀφείλοντας χρησμῳδηθῆναι. Q.

διὰ τί οὖν οὐκ αὐτὴ μαντεύεται; ὅτι οὐκ ἂν ἐπίστευσεν Ὀδυσσεὺς ἐρώσης αὐτῆς. εἶτα κατὰ μὲν Σειρῆνας καὶ τὸν πορθμὸν ὡς γειτνιῶσα μηνύει, περὶ ὧν οὐδ' ὁ Τειρεσίας εἶπεν εἰδὼς ἐροῦσαν τὴν Κίρκην, περὶ δὲ τῶν λοιπῶν ἐπιτρέπει τῷ μάντει. Q.V.

494. τῷ καὶ τεθνηῶτι] φασὶν ὡς δράκοντας δύο ἐν Κιθαιρῶνι μιγνυμένους ἰδὼν ἀνεῖλε τὴν θήλειαν, καὶ οὕτως μεταβέβληται εἰς γυναῖκα, καὶ πάλιν τὸν ἄρρενα, καὶ ἀπέλαβε τὴν ἰδίαν φύσιν. τοῦτον Ζεὺς καὶ Ἥρα κριτὴν εἵλοντο, τίς μᾶλλον ἥδεται τῇ συνουσίᾳ, τὸ ἄρρεν ἢ τὸ θῆλυ· ὁ δὲ εἶπεν "οἴην μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνὴρ, τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα." διόπερ ἡ μὲν Ἥρα ὀργισθεῖσα ἐπήρωσεν, ὁ δὲ Ζεὺς τὴν μαντείαν δωρεῖται. H.Q.

495. οἴῳ πεπνύσθαι] συνετῷ, ἔμφρονι εἶναι. Q.V. Ἀρίσβας φησὶν Ἥραν μεταβουλεύουσαν ἐπὶ τῷ πηρῶσαι αὐτὸν αἰτεῖσθαι παρὰ Περσεφόνης ὥστε εἶναι αὐτῷ καὶ ἀποθανόντι τὴν μαντικήν. περὶ τῆς τέχνης οὖν μόνον λέγει "οἴῳ πεπνύσθαι." οἱ δὲ ἄλλοι φρένας μὲν εἶχον, τέχνην δὲ οὔ. T.

τοὶ δὲ σκιαὶ ἀΐσσουσιν] οἱ δὲ ἄλλοι νεκροὶ πλὴν τοῦ Τειρεσίου σκιαί εἰσι καὶ ὡς σκιαὶ ὁρμῶσι, καθάπερ αὗται παρέπονται τοῖς κινουμένοις. Q. ἀντὶ τοῦ αἱ ψυχαί. ὁ μέντοι ποιητὴς πρὸς τοὺς ἄλλους νεκροὺς ποιεῖται τὴν σύγκρισιν ἐν τῷ, οἱ δὲ ἄλλοι νεκροὶ ὡς σκιαὶ ἀΐσσουσιν. B.Q.T.

501. ἀπὸ τοῦ γάρ ἤρξατο. H.

508. ἀλλ' ὁπότ' ἂν δὴ νηὶ δι' ὠκεανοῖο περήσῃς] ὅλα ὁμοῦ ἀναγνω-

7. χρησμῳδηθῆναι Buttm. pro χρησμοτεθῆναι.

9. εἶτα] ἢ V.

10. ἐρῶσαν Buttm. pro ἐρῶσαν.

12—19. Cum scholio de Tiresia comparetur Eustathii copiosior expositio p. 1665. et Tzetzes ad Lycophr. 683. Corruptum codicis T. scholion ex Pherecyde excerptum dabimus in Appendice.

13. μεταβέβληται] μεταβέβληκε Q.

16. οἴην—νόημα] Hesiodi ex Melampodia versus, ut annotavit Tzetzes l. c.

www.libtool.com.cn

στέον, ἀλλ' ὁπόταν περήσῃς, ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα καὶ αἴγειροι, νῆα μὲν αὐτοῦ κέλσαι. B.Q.

509. ἀκτή τε λάχεια] βαθεῖα, εὔγεως, εὔσκαφος. οὐ δεῖ δὲ γράφειν ἐλάχεια. οὐ γὰρ εἰκὸς ἐλάχιστον ἀκούειν τῆς Περσεφόνης τὸ τέμενος. οὐκ ἄτοπον δὲ περὶ τὴν ἀκτὴν εἶναι ἄλσος. πολλὰ γὰρ εὕροι τις ἂν ἄλση ἐπιθαλάσσια. B.H.Q.T. Ἄλλως. βαθεῖα καὶ εὔσκαφος, ἐκ τοῦ λαχαίνω τὸ σκάπτω. H.T. ἐλαχίστη. V.

ἀκτή] ἡ προηγμένη καὶ ἐξέχουσα εἰς θάλασσαν ἄκρα. B.V.

ἄλσεα] ἱερὰ καὶ σύνδενδρα χωρία. B.V.

510. ἰτέαι ὠλεσίκαρποι] ἀποβάλλουσι γὰρ τὸ ἄνθος πρὶν πεπανθῆ. ἢ ἐπεὶ οἱ πίνοντες τὸ ἄνθος ἄγονοι γίνονται. B.Q.V. Ἄλλως. σημείωσαι ὅτι ἄκαρπα φυτὰ εἶπεν εἶναι ἐν τῷ ἄλσει τῆς Περσεφόνης, διὰ τὸ νεκροῖς προσήκειν. B.Q. ἀποβάλλει γὰρ τὸ ἄνθος. οἰκείως δὲ ἀγόνοις φυτοῖς ἐχρήσατο. οἰκεῖα γὰρ νεκροῖς τὰ ἄκαρπα. φησὶ δὲ Θεόφραστος ἐν Φυτικοῖς τὸν χυλὸν τῆς ἰτέας πινόμενον ἀφανίζειν τὴν γονὴν τῶν ἀνθρώπων. H.T.V.

513. ἔνθα μὲν εἰς Ἀχέροντα] τὸ ἑξῆς, ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε καὶ Κωκυτὸς ῥέουσι. τὸ δὲ σχῆμα καλεῖται προδιεζευγμένον, ὅταν τὸ μεταξὺ δύο ὀνομάτων ἐνικῶν πληθυντικὸν τεθῇ ῥῆμα. τοῦτο καλεῖται Ἀλκμανικὸν οὐχ ὅτι Ἀλκμὰν πρῶτος αὐτῷ ἐχρήσατο, ἀλλ' ὅτι πολύ ἐστι παρ' αὐτῷ, οἷον "Κάστωρ ὠκέων πώλων ἐλατῆρες καὶ Πολυδεύκης." ὅμοιον δέ ἐστι τὸ σχῆμα "εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων" (Il. υ, 138.)· καὶ "ἔνθα ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος." (Il. ε, 774.) H.Q.

ἔνθα μὲν εἰς Ἀχέροντα] τοῦτο τὸ σχῆμα καλεῖται προδιεζευγμένον καὶ καθ' ὑπέρβατον, ὑπ' ἐνίων δὲ Ἀλκμανικόν. τὸ δὲ ἑξῆς, ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε καὶ Κωκυτὸς ῥέουσιν. H.V. τὸ σχῆμα Ἀλκμανικὸν, τὸ τιθέναι ῥῆμα μέσον ὀνομάτων δύο. H.

514. Κωκυτός] λέγεται ὁ πρῶτος ποταμὸς ὁ τὸν βροτὸν δεχόμε-

3. εὔγεως, εὔσκαφος correxi ex schol. ι, 116. p. 417. Legebatur ὡς ὑπόσκαφος, quod in T. scriptum ὡς ὑποκάτω βάθους. Tum delevi quod addebatur οὐ γὰρ εἰκὸς ὅτι (ἐστὶν pro ὅτι T.) ἐσκαμμένη. ἐλάχεια autem Zenodoti scriptura fuit.

5. ἄλσος] τὸ ἄλσος T.

6. ἂν addidi.

Ἄλλως om. H.

βαθεῖα] ἐνταῦθα (hoc spectat ad ἔνθα) λάχεια T.

7. ἐκ τοῦ—σκάπτω] παρὰ τὸ λαχαίνειν T.

8. ἄκρα] πέτρα B.

22. ἐλατῆρες] ἐλατῆρε Eustath. p. 1667, 36.

23. ἄρχωσι] ἄρχουσι H. ἄρχωσι Aristarchi est lectio, ἄρχῃσι Zenodoti.

26. ὑπ' ἐνίων δὲ Ἀ.] ὑπερίων δὲ ἀλκμανικὸν φησί H.

www.libtool.com.cn

νος, τῶν ἀνθρωπίνων παθῶν ἐπώνυμον κακόν. εἶτα Πυριφλεγέθων, ἤτοι τὸ πῦρ τὸ ἀφανίζον τὸ σάρκινον τῶν βροτῶν. εἶτα ὁ Ἀχέρων μετὰ τὸν Κωκυτὸν καὶ τὸ ἠρίον, ὅπερ ὀφειλὴ νεκρῶν ἐστιν ἰαχὴ γίνεται. εἶτα Στυγὸς ἀπορρῶγες. οὐκ ἔστι γὰρ ὃς οὐ στυγνάζει τὸν τεθνηκότα. H.Q.

515. πέτρη τε ξύνεσίς τε] φησὶ γὰρ ὡς πέτρα τίς ἐστι κατ' ἐκεῖνον τὸν τόπον καθ' ὃν ἡ τῶν ῥευμάτων συμβολὴ γίνεται τοῦ τε Κωκυτοῦ καὶ τοῦ Πυριφλεγέθοντος εἰς ταὐτὸ μισγομένων καὶ ῥεόντων εἰς τὸν Ἀχέροντα. B. ξύνεσις] συνάφεσις καὶ εἰς ταὐτὸ συμβολὴ τῶν ποταμῶν. V.

516. χριμφθεὶς] προσπελασθεὶς, ἐκ τοῦ χρίμπτω τὸ προσπελάζω. H.

ἐριδούπων] γρ. ἐριμύκων. M.

517. βόθρον] ἐνταῦθα ὁ ποιητὴς τὴν νεκυομαντείαν δηλοῖ, καὶ παρίστησι διὰ τῆς τῶν νεκρῶν θυσίας καὶ τῆς τῶν εἰδώλων αὐτῶν ἐπιφανείας ἀθάνατους εἶναι τὰς ψυχάς· τὸ γὰρ λέγειν "ὁ δ' Ἀϊδόσδε βεβήκει" (Od. γ, 110. ζ, 11.), σημαντήριόν ἐστιν ὡς αἱ ψυχαὶ παραμένουσαι οὐ διαφθείρονται. Q.

πυγούσιον] πηχυαῖον. πυγὼν δέ ἐστι τὸ ἀπὸ ἀγκῶνος μέχρι τῶν δακτύλων συνεσταλμένον μῆκος· ἀπολήγει γὰρ τὸ μέτρον εἰς τοὺς δακτύλους πὺξ γενομένους. B. πυγονιαῖον. πυγὼν δέ ἐστι τὸ ἀπὸ τοῦ ἀγκῶνος μέχρι τῶν δακτύλων κεκαμμένων διάστημα, ἐξ οὗ καὶ πυγμή. αἰνίττεται δὲ διὰ τούτου τὸ μὴ ἀνεῖσθαι μηδ' ἐπ' ἐξουσίας εἶναι τοὺς τετελευτηκότας, ἀλλ' ὥσπερ ἔχεσθαι καὶ ἐγκεκλεῖσθαι καθάπερ καὶ οἱ δάκτυλοι. H.Q.V.

ἔνθα καὶ ἔνθα] εἰς πλάτος καὶ εἰς μῆκος. B.Q.V.

518. χοὴν χεῖσθαι] τὴν τοῖς νεκροῖς ἐπιχεομένην χύσιν. Q.V. καινοπρεπῶς δὲ χοὴν, σπονδήν. Q.

521. ἀμενηνὰ] ἀσθενῆ, μένος οὐκ ἔχοντα, ἢ σώματος δύναμιν, ἀπὸ τοῦ μονὴν ἔχειν ἐκεῖ τὴν ψυχήν. V.

522. στεῖραν βοῦν] εἰς τὸ ὅμοιον. ἄγονα γὰρ καὶ στεῖρα τὰ τῶν νεκρῶν. V.

525. παμμέλανα] καὶ τοῦτο εἰς τὸ ὅμοιον. V.

2. σάρκινον] σαρκίον H.
3. ἠρίον H. ἰρίον Q.
9. συνάφεσις] Cf. Eust. p. 1667, 28.
21. πυγονιαῖον H. et Eustath. p. 1668, 17. πυγωνιαῖον Q.V.
22. κεκαμμένων] κεκαμμένον H.Q. ἐστι συνεπτυγμένων addidit Eustath.
29. ἢ Barnesius pro ἐκ.

www.libtool.com.cn

528. εἰς Ἔρεβος στρέψας] καὶ πῶς ἠπίστατο τὴν δύσιν ἐν σκότῳ ὄντος; λέγομεν ὅτι παρὰ τοῖς Κιμμερίοις σκότος ἦν, οὐχ ὅπου ἡ θυσία ἐγίνετο. B.

ἀπονόσφι τραπέσθαι] εἰς τὰ ὀπίσω τράπηθι αὐτὸς ἑέμενος τῶν τοῦ ποταμοῦ ῥευμάτων. B. ὡς πρὸς τοὺς ποταμούς. V.

543. ἀργύφεον] ἀρύφεον, ὅ ἐστι λαμπρὸν τῇ ὑφῇ καὶ εὐκατασκεύαστον, καὶ πλεονασμῷ τοῦ γ ἀργύφεον. B.

548. ἀωτεῖτε] ἀπανθίζετε τὸν ὕπνον. V.

555. ψύχεος ἰμείρων] ἀναψῦξαι διὰ τὸ πνῖγος καὶ τὴν μέθην ἐπιθυμῶν τῆς αὔρας. ψύχεος] ψύχους, τῆς αὔρας. V.

560. ἀστραγάλων] ἀστράγαλον τοῦ αὐχένος λέγει. H.

570. ἀχνύμενοι] οἱ λυπούμενοι. γίνεται δὲ ἀπὸ τοῦ ἄχος ἡ θλῖψις, ἢ ἐκ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ χαίνω ἀχανής τις ὤν· ὁ γὰρ λυπούμενος οὐ δύναται ἀναπνεῦσαι. B.

573. ῥεῖα παρεξελθοῦσα] ἀντὶ τοῦ ῥᾳδίως παραδραμοῦσα ἡμᾶς, ἤτοι κρυφίως. B. λάθρα ποιήσασα. V.

574. ἢ ἔνθα ἢ ἔνθα] ἀντὶ τοῦ, ἢ εἰσερχόμενον ἢ ἐξερχόμενον τὸν θεὸν καὶ μὴ θέλοντα οὐ δύναταί τις ἰδεῖν. B.

Λ.

ΥΠΟΘΕΣΙΣ.

Διηγεῖται καὶ ταῦτα αὐτὰ Ὀδυσσεὺς, τίνα αὐτῷ εἰς Ἅιδου κατελθόντι ἔχρησε Τειρεσίας· καὶ ὡς τὴν μητέρα εἶδεν αὐτοῦ καὶ ἄλλας πολλὰς τῶν παλαιῶν γυναικῶν, καὶ τῶν εἰς Ἴλιον συστρατευσάντων ἐνίους, καὶ τῶν ἐν Ἅιδου κολαζομένων τινάς. P.Q.

ΑΛΛΩΣ.

Ἀπαγγέλλει πῶς κατὰ Κίρκης ἐντολὰς εἰς Ἅιδου κατῆλθεν· καὶ ὡς ἤκουσε Τειρεσίου τοῦ μάντεως περὶ τῆς ἑαυτοῦ καὶ τῶν ἄλλων ἑταίρων σωτηρίας. καὶ ὡς τοὺς ἥρωας καὶ τὰς ἡρωΐδας εἶδεν ἐν Ἅιδου, καὶ τὴν μητέρα, καὶ εἰς Ἴλιον συστρατευσάντων τινὰς, καὶ τῶν ἐν Ἅιδου κολαζομένων τινάς. P.V.

---

3. ἐν δ' ἱστὸν τιθέμεσθα] οὐχ ἁπλῶς ἐνεθήκαμεν τῇ νηΐ, ἀλλὰ μετὰ τὸ στῆσαι τὸν ἱστὸν καὶ ἁπλῶσαι τὰ ἱστία, οἷον εὐτρεπίσαμεν. V.

26—30. Hæc iisdem verbis leguntur apud Eustath. p. 1670.

7. ψιλωτέον τὸ ἴγμενον, ἤτοι ὑγρόν. H.

ἐσθλὸν ἑταῖρον] ἑταῖρον εἶπεν, ὡς ἀξιωσάσης αὐτῆς τὸν ἄνεμον. Q. νῦν τὸν σύνεργόν. V.

[8. Κίρκη ἐϋπλόκαμος: ὁ Τζέτζης ἀλληγορῶν "πῶς τούτῳ Κίρκη ὄπισθεν οὐρίους πνοὰς πέμπει;" φησὶ, "πέμπειν ἀνέμους οὐκ ἔσθενεν ἡ Κίρκη, πνοὴν δ' ἰδοῦσα οὔριον ἐκέλευσε πλεῖν τότε." P.]

αὐδήεσσα] ἡ περίφημος, ἢ ἡ ἔχουσα αὐδὴν ἀνθρώπων, ἢ ἡ φωνητική. B.

11. ποντοπορούσης] δῆλός ἐστιν ὁ ποιητὴς διὰ τὸ ποντοπορούσης ὠκεανὸν καλῶν τὴν ἔξω θάλασσαν. ἀλλαχοῦ δὲ ποταμὸν τὸν ὠκεανὸν καλεῖ διὰ τὸ ῥοῶδες. B.Q. τὴν θάλασσαν διερχομένης, πλεούσης. V.

14. ἔνθα δὲ Κιμμερίων] Ἀρίσταρχος Κερβερέων. H. Κιμμέριοι ἔθνος περιοικοῦν τὸν ὠκεανόν. ἔνιοι δὲ γράφουσι χειμερίων· οἱ δὲ Κερβερίων, ὡς Κράτης. Ἡρόδοτος δὲ ὑπὸ Κιμμερίων φησὶ Σκύθας ἐξελαθῆναι. ἄλλοι δὲ Κιμμερίους φασὶν ὑποτίθεσθαι τοὺς κατὰ δύσιν οἰκοῦντας καὶ προσκειμένους τοῖς κατὰ τὸν Ἀιδην τόποις. ἢ νεκροῖς, ἀπὸ τοῦ ἐν τοῖς ἠρίοις κεῖσθαι. P.V. τινὲς, τῶν νεκρῶν, παρὰ τὸ ἐν ἔρᾳ κεῖσθαι. B.H. οὗτοι οἱ Κιμμέριοι οἱ Σκύθαι νομάδες ὄντες ἐκ τῶν δυτικῶν τοῦ ὠκεανοῦ μερῶν ἐλθόντες ἐπόρθησαν τὸν ναὸν Ἀπόλλωνος τὸν ἐν Δελφοῖς. διὸ δυσφημεῖ αὐτοὺς ὁ ποιητὴς ὡς ἐν σκότῳ οἰκοῦντας. B.H.

16. ἠέλιος φαέθων ἐπιδέρκεται] πῶς οὖν ζῶσιν; ἢ ἐπιδέρκεται

2. ἑταῖρον—ἄνεμον] In V. est (ad v. 10.) ὡς ἂν ἀξιωσάσης τῆς Κίρκης τὸν ἄνεμον τίθησιν.

4—6. Tzetzæ versus leguntur in Allegor. Odyss. 11, 5. in Matrangæ Anecdotis vol. 1. p. 284.

5. 6. οὐρίους—οὔριον] Apud Tzetzam ἀγρίας—ἄγριον.

5. οὐκ ἔσθενεν] Ὀδυσσεῖ οὐκ εὐσθενὴς Tzetzes.

6. πλεῖν ex Tzetza correxi pro πνεῖν. Idem τοῦτον pro τότε.

10. τὴν ἔξω θάλασσαν] Hoc ita intelligo, Homerum eo verbo indicare oceanum sibi esse *mare*, externum scilicet. BUTTM.

13. Κερβερέων] Lege Κερβερίων, quam lectionem memorant schol. Aristoph. Ran. 187. et Etymologus p. 513, 45. Hic etiam alias lectiones notat, χειμερίους (quam Proteæ Zeugmatitæ tribuit) et Κιμμερίους. PORSON. Verba Ἀ. Κερβερέων H. habet infra l. 19. post κεῖσθαι.

16. ἐξελαθῆναι] Scribebatur ἐξελασθῆναι, ut ἐξελασθεὶς ad λ, 281.

ὑποτίθεσθαι] ὑποτίθεται P.

17. τοῖς κατὰ—κεῖσθαι om. P.

18. ἠρίοις Barnes. pro ἠρῳικοῖς.

20. τῶν δυτικῶν τοῦ ὠκεανοῦ μερῶν] τοῦ δυτικοῦ ὠκεανοῦ H.

21. αὐτοὺς et ὡς ἐν σ. οἰκοῦντας om. B.

www.libtool.com.cn

μὲν, φαέθων δὲ οὔ. B.V. ἐπιλάμπει μὲν ὁ ἥλιος τοὺς Κιμμερίους, οὐ φαέθων δέ· ἀντὶ τοῦ οὐ πάνυ λάμπων. οὔτε τὴν δύσιν οὔτε τὴν ἀνατολὴν διὰ τὸ δυτικοῖς καὶ ἀνατολικοῖς ὄρεσι περιέχεσθαι. κατὰ μόνην δὲ μεσημβρίαν ἥλιον ὁρῶσι. τὸ οὖν "ἀλλ' ἐπὶ νύξ" ἐπὶ τῆς ἀορασίας κεῖται. B.H.Q.

Ἀρίσταρχος καὶ Ἀριστοφάνης, καταδέρκεται. H.

18. προτράπηται] ἀπ' οὐρανόθεν τράπηται. διὰ τί προτράπηται; δοκεῖ εἰδέναι ὁ ποιητὴς ὅτι ὁ ἥλιος τὴν ἑκούσιον πορείαν ποιούμενος ἀπὸ δύσεως εἰς ἀνατολὴν ὅμως ὑπὸ τοῦ παντὸς ἀνθέλκεται εἰς τὸ ἐναντίον καὶ αὐτός. προτράπηται γὰρ ἀντὶ τοῦ μεταβάλληται, ἀποκλίνῃ. B.Q.V.

23. ἱερήϊα] οὐκ ὀρθῶς· ἐπὶ γὰρ νεκρῶν τόμια καὶ ἔντομα, ἐπὶ δὲ θεῶν ἱερεῖα. ἢ ὅτι τὰ θρέμματα ἱερεῖα ἐκάλουν. V. ἔδει ἐπὶ νεκρῶν ἐντόμια εἰπεῖν. ἢ ἐπεὶ ἁπλῶς τὰ θρέμματα ἱερεῖα ὠνόμαζον. H.

26. χοὰς χέομεν] τὸ χοὴν ἐχεόμην, ἀπὸ κοινοῦ κατὰ τῶν τριῶν. H.B.Q.

Ζηνόδοτος, χεάμην. H.

χέομεν] γρ. χεόμην. M.

29. γουνούμην νεκύων] πῶς, εἰ μὴ αἰσθάνονται πρὸ τοῦ πιεῖν; εἰς τὴν τιμὴν οὖν τῶν δεσποτῶν ἡ δέησις. ἢ γονυπετῶν ἐπηγγελλόμην. H.V.

30. ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν] ζητεῖται διὰ ποίαν αἰτίαν κατελθὼν ἐν τῷ Ἅιδῃ Ὀδυσσεὺς ἐτάξατο τοῖς νεκροῖς, ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν θῦσαι. καί φαμεν ὅτι οἱ νεκροὶ ἄτοκοί εἰσι καὶ οὐ τίκτουσι, διὰ τοῦτο ἐτάξατο αὐτοῖς βοῦν μὴ γεννῶσαν. Q.

34. τοὺς δ' ἐπεὶ] πρὸς τὴν περίφρασιν ἀπέδωκε τὸ τούς. τί γάρ ἐστιν ἔθνεα νεκρῶν; δηλονότι τοὺς νεκροὺς ὅτε εὐχωλαῖς καὶ λιταῖς ἐλισάμην. Q. τὰ ἔθνεα νεκρῶν οὐκ ἄλλο τι σημαίνει ἢ τοὺς νεκρούς. διὰ τοῦτό φησι, τοὺς δ' ἐπεί. B.

37. ψυχαὶ ὑπ' ἐξ Ἐρέβευς] ὡς μυίας νομιστέον αὐτὰς ἥκειν ἐπὶ τὸ αἷμα. B.Q.

38. νύμφαι τ' ἠΐθεοί τε] οἱ ἓξ παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει

14. ἐντόμια] Aut ἔντομα aut τόμια scribendum. Utrumque est ap. Eustath. p. 1671. extr.

15. τὸ χοὴν ἐχεόμην] χοὴν χεομένην B.Q.

κατὰ τῶν τριῶν B. κατὰ τὸ τρίτον H. κατὰ τρίτον Q.

20. οὖν om. V.

ἡ δέησις] ἢ δεηθεὶς V.

31. ἓξ] Porsonus pro καί. Versus dicit 38—43.

ἠθετοῦντο ὡς ἀσύμφωνοι πρὸς τὰ ἐξῆς. οὐ γὰρ μεμιγμέναι παραγίνονται αἱ ψυχαί· νῦν δὲ ὁμοῦ νύμφαι, ἠίθεοι, γέροντες, παρθένοι. καὶ ἄλλως οὐδὲ τὰ τραύματα ἐπὶ τῶν εἰδώλων ὁρᾶται. ὅθεν ἐρωτᾷ, τίς νύ σε κὴρ ἐδάμασσε; τὸν Ἀγαμέμνονα. H.Q. ἀθετοῦνται οὗτοι οἱ ἑξῆς, ὅτι οὔπω προσέρχονται· καὶ ὅτι ἀδύνατον φέρειν τὰς ψυχὰς τὰς τῶν σωμάτων πληγάς. ἀλλὰ πρὸς ἀνακεφαλαίωσιν πεποίηται τῶν μετὰ ταῦτα ῥηθέντων. V.

νύμφαι, αἱ ἄνδρας ἔχουσαι· ἠίθεοι, οἱ ἄζυγες· νέαι ἀταλαὶ, αἱ μηδὲν τλῆναι δυνάμεναι. B.

39. νεοπενθέα] ἀεὶ νεάζον ἔχουσαι τὸ πένθος· ἢ νέον πενθοῦσαι. Q. ἐν τῇ νεότητι πενθοῦσαι. V.

40. πολλοὶ δ' οὐτάμενοι] τοιούτῳ σχήματι ὑποτίθεται τοὺς νεκροὺς οἵῳ καὶ ἀπέθανον. Q.

41. βεβροτωμένα] δοκοῦντα βεβροτῶσθαι, ὅ ἐστι μεμολύνθαι διὰ τοῦ βρότου ἤτοι τοῦ μετὰ κόνεως αἵματος. B.

42. ἔνθα καὶ ἔνθα] γρ. ἄλλοθεν ἄλλος. H.

ἄλλοθεν ἄλλος] γρ. ἔνθα καὶ ἔνθα. M.

44. δὴ τότ' ἔπειθ' ἑτάροισι] αὐτὸς γὰρ ὡς ἡ Κίρκη ἔφη αὐτῷ ἐπὶ τοῦ βόθρου μένει. ἐνταῦθα οὖν χωρίζει τοὺς ἑταίρους, ἵνα μὴ κατακούσωσι τῶν μαντειῶν. V.

46. χάριν δι' εὐχῶν ὁμολογῆσαι, ὡς δὴ ἀντομένου τοῦ σπουδαζομένου. H.

48. αὐτὰρ ἐγὼ ξίφος] κοινή τις παρὰ ἀνθρώποις ἐστὶν ὑπόληψις ὅτι νεκροὶ καὶ δαίμονες σίδηρον φοβοῦνται. Q.

51. πρώτη δὲ ψυχὴ Ἐλπήνορος] ἐπεὶ ἄταφος. τῶν δὲ τοιούτων καὶ πρὸ τοῦ πιεῖν φθέγγονται αἱ ψυχαί. V.

ὁ Τειρεσίας πίνων τοῦ αἵματος ἐμαντεύετο, αἱ δὲ ἄλλαι ψυχαὶ πίνουσαι ἐπεγίνωσκον· ἡ δὲ ψυχὴ τοῦ Ἐλπήνορος ἅτε δὴ μήπω ἐπιβᾶσα τῷ τῆς Λήθης πεδίῳ καὶ πρὸ πόσεως ἐπιγινώσκει τὸν Ὀδυσσέα. B.Q.

Καὶ ἄλλως. πῶς οὐδένα ὁρᾷ τῶν παρὰ Κύκλωψιν ἢ Λαιστρυγόσιν ἀπολομένων; ἐπεὶ, εἰ καὶ ἀθέσμως, ἐτάφησαν. H.Q. οὐδένα ὁρᾷ τῶν

14. Similis Eustathii annotatio est p. 1672, 17.

27. αἱ δὲ] Præstat αἵ τε, quod vult Buttm.

32. ἀπολομένων correxi ex scholio proximo pro ἀπολλυμένων. Vid. ad ι, 60.

εἰ H. οἱ Q.

παρὰ τῷ Κύκλωπι ἢ ἐν Λαιστρυγονίᾳ ἀπολομένων. οὗτοι γὰρ, εἰ καὶ ἀθέσμως, ἀλλ' οὖν ἐτάφησαν. V.

52. οὐ γάρ πω ἐτέθαπτο] εἰ ἀποφαίνεται νῦν περὶ τοῦ θανάτου αὐτοῦ, πῶς ἑξῆς διστάζων φησὶ "πῶς ἦλθες ὑπὸ ζόφον;" διὸ ὁ Καλλίστρατος ἀθετεῖ, εἰ μὴ ἄρα φησὶν ὅτι, οὐκ ἠσθόμεθα τὸν θάνατον διὰ τὸ περὶ ἄλλα ἀσχολεῖσθαι. H.Q.

χθονὸς εὐρυοδείης] τῆς πλατεῖαν ὁδὸν ἐχούσης. Q.

58. ἔφθης πεζὸς ἐὼν] πεζὸς ὢν ἔφθησας ἐνταῦθα ταχύτερον παρὸ ἐγὼ μετὰ τῆς μελαίνης νηός. H.Q.

οὐκ ἔστι κερτομίας ὁ λόγος, ἀλλ' ἐπειδήπερ αὐτὸς οὐρίᾳ χρησάμενος πολλῇ καὶ μιᾶς ὥρας διαβὰς ὅλον ὠκεανὸν περιτυγχάνει αὐτῷ περὶ τὰς Ἅιδου αὐλὰς, πυνθάνεται τίς ἡ τῶν σωμάτων μετὰ θάνατον πορεία, ἥν γε καὶ ναῦς οὐριοδρομοῦσα προλαμβάνειν οὐκ ἐπίσταται. ἢ ὅτι ἀπὸ νήσου ἐστάλησαν ἄμφω, ἄλλο δὲ πλοῖον οὐκ ἦν παρὰ τῇ Κίρκῃ. H.Q.

πᾶσαι ἰὼν γρ. H.

65. βεβήκει] γρ. κατῆλθε. H.M.

66. τῶν ὄπιθεν] τῶν καταλελειμμένων οἴκοι, τῶν οὐ παρεόντων. V. λείπει ἡ πρός, ἵν' ᾖ πρὸς τῶν οὐ παρόντων γουνάζομαι καὶ ἱκετεύω. ὡς πρὸς τῶν θεῶν καὶ πρὸς Διός. V. λείπει ἡ πρός, ἵν' ᾖ πρὸς τῶν οὐ παρεόντων νῦν, ἀλλὰ καταλειφθέντων εἰς τὴν ἡμῶν οἰκίαν, ζώντων δὲ ἔτι. ὑπὲρ τούτων οὓς ὄπισθεν ἑαυτοῦ κατέλιπες οἴκοι. H.Q.

67. πρός τ' ἀλόχου] οὐ προστίθησι τὴν μητέρα· ὁρᾷ γὰρ αὐτῆς τὴν ψυχήν. οὐδὲ περὶ τοῦ θανάτου αὐτῆς λέγει, ἵνα μὴ λυπήσῃ τὸν παρακαλούμενον. Q.

3. νῦν H. οἳν Q.

5. ἀθετεῖ] Versus 52—54. ut monet Porsonus.

8. ὢν H. ἐὼν P. "Porsonus refert in schol. H. esse πεζὸς ὢν ἔφθησας; sed in alio ejusd. codicis scholio (in lemmate sequentis, puto, quod in Mediol. non differt) fuisse quidem ἐών, sed ι ex ε fecisse eandem manum. Nimirum textui H. scriba hoc adaptavit, in quo est ἰών." BUTTM.

ἔφθησας] Aut ἔφθης scribendum aut ἔφθασας.

12. αὐλὰς) Exspectes πύλας, quod conjecit Struvius.

τῶν σ. μ. θ. H. μ. θ. τῶν σ. Q.

13. ἥν γε] εἴ σε Q.

16. πᾶσαι Cobetus. πᾶσα H. πεσσὶν Porsonus.

20. ἡ πρός, ἵν' ᾖ om. H.Q. Addidi ex scholio præcedente.

21. οἰκίαν H. οἰκείαν Q.

ζώντων—οἴκοι om. Q.

22. ἑαυτοῦ] Fort. σεαυτοῦ, aut κατέλιπεν.

www.libtool.com.cn

68. ἔλειπες] διὰ τὸ μέτρον διφθογγογραφεῖται, ὀφεῖλον γράφεσθαι διὰ τοῦ ι. B.

69. ἐνθένδε κιὼν] χάριν τοῦ λαβεῖν ἐφόδια καὶ μαθεῖν περὶ τοῦ πλοῦ. V.

73. μήνιμα γένωμαι] ἤτοι μὴ ὀργισθῶσι σὲ οἱ θεοὶ δι' ἐμὲ ἄταφον ἐάσαντα. B.

74. κακκῆαι] κατακαῦσαι. ἀντὶ τοῦ κατάκαυσον. V. ἡ κοινὴ κακκεῖαι, Ἀρίσταρχος κακκῆαι. προπερισπωμένως δέ· ἀπαρέμφατον γάρ ἐστιν. H.Q.

75. σῆμά τέ μοι χεῦαι] εὐτρέπισόν μοι σῆμα καὶ τάφον ἐπὶ τῷ αἰγιαλῷ τῆς πολιῆς καὶ λευκῆς θαλάσσης χῶσον. ὑποτίθεται δὲ ὁ ποιητὴς μὴ ἀμελεῖν ταφῆς. H.Q.

83. εἴδωλον] εἰ μὲν ἀπὸ τοῦ εἰδέναι, διὰ μόνου τοῦ ι γραπτέον, εἰ δὲ ἀπὸ τοῦ εἶδους, προσλήψεται τὸ ε. V.

ἀγορεῦον] διαλεγόμενον. V.

ἀγόρευεν] τινὲς εἰκαιότερον, ἀγορεῦον. H.

84. ψυχὴ μητρὸς κατατεθνηυίης] ὅτι πρὸς τὸ ἐκ τῆς περιφράσεως νοούμενον ἀπήντησε. ψυχὴ γὰρ μητρὸς κατατεθνηκυίας ἐστὶν ἡ Ἀντίκλεια. B.Q.

κατατεθνηυίης] τελευτώσης. V.

85. Αὐτολύκου—Ἀντίκλεια] Αὐτόλυκος υἱὸς Ἑρμοῦ καὶ Φιλωνίδος τῆς Δαιδαλίωνος τοῦ Ἑωσφόρου, οἱ δὲ Στίλβης. H.T. ὁ λόγος,

7. ἡ κοινὴ H. ἡ om. Q.

8. κακκεῖαι—κακκῆαι] Inverso ordine Q., κακκῆαι H. utrobique. Aristarchum scripturam per ῆ probasse confirmatur scholio ad ν, 26.

11. χῶσον — ταφῆς om. Q. Ad versum proximum in B. hoc est scholion ex Eustathio compilatum p. 1673, 35. ἀνδρὸς δυστήνοιο καὶ ἐσσομένοισι πυθέσθαι] τὸ σχῆμά ἐστι σολοικοφανές. οὐκ ἔστι γὰρ κατειπεῖν τῶν οὕτω σχηματιζομένων σολοικισμὸν ἢ βαρβαρισμόν. κέκριται δὲ σολοικοφανῆ ταῦτα καλεῖν σχήματα. φασὶ γὰρ οἱ παλαιοὶ, πᾶν τοιοῦτο λάλημα ἤγουν σχῆμα ἁμάρτημά ἐστιν ἑκούσιον διὰ τέχνην, σολοικισμὸς δὲ ἁμάρτημα ἀκούσιον ἐξ ἀμαθίας λαληθὲν παρὰ ὄνομα ἢ ῥῆμα ἢ ἄλλο τι ὧν λέγουσιν οἱ τεχνικοί.

16. ἀγόρευεν] ο superscriptum in H., quo significatur ἀγορεῦον.

ἀγορεῦον correxi pro ἀγόρευσον, quod non εἰκαῖον, sed plane absurdum foret et nemini in mentem venire potuit. Injuria autem scholiasta rejicit ἀγορεῦον, quæ haud dubie vera scriptura est, quam prope postulat præcedens ἴσχων, ut monet Buttmannus. ἀγόρευεν qui scripserunt videntur etiam ἴσχον scripsisse, quod legitur in M.

21. Φιλωνίδος] Conf. schol. ad τ, 432.

22. Δαιδαλίωνος] Pausan. 8, 4, 6. Αὐτόλυκος—λεγόμενος Ἑρμοῦ παῖς εἶναι, Δαιδαλίωνος δὲ ὢν τῷ ἀληθεῖ λόγῳ.

ὁ λόγος] ᾗ in V. additum delevi. ἦν vel ἐστὶν Buttm.

www.libtool.com.cn

Ἀντίκλειαν διὰ τὸν πόθον τοῦ παιδὸς βρόχῳ ἑαυτὴν ἐξαγαγεῖν τοῦ βίου. V.

88. ἀλλ' οὐδ' ὡς εἴων] καρτερικὸς ὁ ἔρως τοῦ ἡδέος ἀεὶ προκρίνων τὸ συμφέρον. H.Q.

90. ψυχὴ Θηβαίου] ὅτι πάλιν πρὸς τὸ ἐκ τῆς περιφράσεως νοητὸν ἀπήντησε. ψυχὴ γὰρ Θηβαίου Τειρεσίου ἐστὶν ὁ Τειρεσίας. διὸ ἐπήνεγκεν ἔχων, οὐκ ἔχουσα. ἦλθε, φησὶν, ἡ ψυχὴ τοῦ Τειρεσίου εἰς ἐμὲ ἔγγιον καὶ προεῖπεν ἡμῖν. H.Q. [σολοικοφανὲς καὶ τοῦτο, ἦλθε δ' ἐπὶ ψυχὴ Τειρεσίαο, ὡς παρακατιὼν ὁ λόγος δηλώσει. B.]

[ἱστορία περὶ Τειρεσίου. φασὶ δὲ ὅτι οὗτος ὁ Τειρεσίας ὄφεις συνουσιάζοντας ἐν τῷ Κιθαιρῶνι εὑρὼν ἀνεῖλε τὴν θήλειαν καὶ γέγονε γυνὴ, εἶτα τὸν ἄρρενα, καὶ γέγονε πάλιν ἀνήρ. ἕτερος δὲ πάλιν φασὶν ὅτι γυμνὴν τὴν Ἀθηνᾶν ἰδὼν γυνὴ γέγονε. ἐρίζοντος δέ ποτε τοῦ Διὸς πρὸς Ἥραν καὶ λέγοντος πλείονα πόθον ἔχειν ἐν τῇ συνουσίᾳ τὰς γυναῖκας ἢπερ τοὺς ἄνδρας, κριτοῦ δὲ γεγονότος Τειρεσίου ὡς καὶ ἀνδρὸς καὶ γυναικὸς γενομένου, καὶ φαμένου ὅτι δεκαπλασίως ἐρᾷ τοῦ ἀνδρὸς ἡ γυνὴ, ὀργισθεῖσα ἡ Ἥρα ἐτύφλωσεν αὐτόν· ὁ δὲ Ζεὺς ἐχαρίσατο τὴν μαντικὴν καὶ πολυχρόνιον ζωήν. ὡς καὶ ἡ Περσεφόνη ἐν τῷ Ἀιδῃ τούτῳ χαρίζεται μόνῳ φρονεῖν τῶν ἄλλων ἀπάντων νεκρῶν. περὶ δὲ τῆς Διὸς καὶ Ἥρας παρὰ Τειρεσίου ἕνεκα τῆς λαγνείας κρίσεως καὶ ὁ τῆς Μελαμποδίας ποιητὴς ὡς ἀπὸ Τειρεσίου φησὶν "οἴην μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνὴρ, τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα." P.]

91. ἐμὲ δ' ἔγνω] τῷ νῷ, οὐ τοῖς ὀφθαλμοῖς. ἐπεὶ τυφλὸς ἦν. Q. ἐμὲ δ' ἔγνω] οὐκ εἴ τις εἰμὶ, ἀλλ' ὅτι σφάγια κομίζω μετὰ τὸ πιεῖν ἐκ τῆς μαντείας γνωρίζει αὐτόν. ὅσῳ δ' ἄρα τις ἐκδέχεται τυφλώττειν τὸν Τειρεσίαν, τοσούτῳ καλὸν τὸ ἔγνω, ἵνα καὶ τὸ ἐλλεῖπον τῶν ὄψεων τῇ τῆς συνέσεως γνώσει πληροῦται. V.

93. Ζηνόδοτος, τίπτ' αὖτως. H.

3. ἔρως] ἦρως H.

5. πάλιν Buttm. πάλαι H.Q.

11. Totum hoc scholium transcriptum est e Tzetzæ schol. ad Lycophr. 683. Posui tamen ob varietatem lectionis nonnullam. BUTTM.

21. τῆς Buttm. pro τοῦ.

26. οὐκ εἴ τις—] Fortasse scrib.: οὐκ εὐθὺς ἔγνω, ἀλλ' ὅτι σφάγια κομίζει, μετὰ τ. π. ἐκ τῆς μαντικῆς γ. α. BUTTM.

27. ἄρα τις Buttm. ἄρτις ed. veteres, ἄν τις recentiores.

www.libtool.com.cn

94. ἀτερπέα χῶρον] τὸν ἐκτροπὴν οὐκ ἔχοντα, ἐπεὶ οὐδεὶς ὑποστρέφει ἐκεῖθεν. Q.T.

95. ἄπισχε δὲ] ὁ γὰρ Ὀδυσσεὺς εἰς βόθρον καὶ τὸ ξίφος κατέχων πρὸς ἐκφόβησιν τῶν ψυχῶν ἠρώτα ἑκάστην τίς εἴη. P.

101. ὁ λόγος, οὐκ οἶδ' τὸν νόστον σου λήσειν Ποσειδῶνα. F.H.T. τινὲς δὲ λήσειεν. H.

102. κότον] διὰ τὴν τοῦ Κύκλωπος τύφλωσιν. H.

105. αἴκ' ἐθέλῃς] ἐὰν δύνῃ. V.

107. Θρινακίῃ] τῇ Σικελίᾳ· ἐπεὶ τρία ἔχει ἀκρωτήρια ,Πέλωρον, Πάχυνον, Λιλύβαιον. B.V. καὶ ἔδει μὲν Τρινακρίαν λέγεσθαι, διὰ δὲ τὸ εὐφωνότερον οὕτως ὠνόμασται. B. Τρινακίη λέγεται ἡ Σικελία ἀπὸ τοῦ ἔχειν ἀκρωτήρια τρία. H.

109. ὃς πάντ' ἐφορᾷ] ὑποσημαίνει ὅτι οὐκ ἄν τις ἀδικήσας τοιοῦτον θεὸν διαλάθοι. Q.

112. τεκμαίρομ' ὄλεθρον] τελεσθῆναι οἶομαι, ἢ σαφῶς εἰδὼς προαγορεύω. τὸ γὰρ τεκμήριον σαφὲς ὁρίζονται σημεῖον. "τέκμωρ οὐ γὰρ ἐμὸν παλινάγρετον" (Il. α, 526.). B.H.

114. ὀψὲ κακῶς νεῖαι] ἐπὶ γὰρ τῷ τῶν βοῶν τολμήματι ἑπτὰ ἔτη ὅλα παρὰ Καλυψοῖ διατρίβει, καὶ πάλιν ναυαγήσας πρὸς τοὺς Φαίακας ἐκβράττει. V.

115. ὅτι οὐκ ἐνήλλακται ὁ χρόνος ὡς τὸ "σύν τε μεγάλῳ ἀπέτισαν" (Il. δ, 161.) οὐ γὰρ ἦσαν οἱ μνηστῆρες συνηγμένοι εἰς τὸν οἶκον Ὀδυσσέως. H.

117. μνώμενοι—καὶ ἔδνα διδόντες] τῇ γὰρ ἀληθείᾳ ἤδη ὄντος ἐν Ἰθάκῃ τοῦ Ὀδυσσέως καὶ ἔνδον ἐπ' αὐτοῦ προσφέρουσιν αὐτῇ οἱ μνηστῆρες τὰ ἔδνα. ὥστε ἄξιον μνημονεύειν τοῦ δήεις, ὅ ἐστιν εὑρήσεις. V.

118. ἀποτίσεαι] ἀποδώσει τιμωρίαν τῶν ὧν ἔπραξαν. H.

120. ἠὲ δόλῳ ἢ ἀμφαδὸν] οὐ διστάζει, ἀλλ' ὁ ἤ ἀντὶ τοῦ καί. φαίνεται γὰρ τὸ μὲν πρῶτον δόλῳ, ἔξῃς δὲ φανερῶς ἐπιθέμενος. H. ἀντὶ τοῦ καί, ὅπως ἂν ᾖ, καὶ δόλῳ καὶ φανερῶς· ὅμοιον τῷ "Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσέῃ Ἀφροδίτῃ" (Od. ρ, 37.). B.V. καὶ γὰρ ἐνταῦθα τὸ

5. ὁ λόγος om. H.
λήσειεν] Corruptum ex λήσεις, ut videtur.
10. Πάχυνον] πάγχυμον B.
15. προαγορεύω] προσαγορεύσω H.
16. τέκμωρ—παλινάγρετον om. B.
31. ᾖ addidit Buttm.

www.libtool.com.cn

ἢ ἀντὶ τοῦ καί. ἀπίθανον γὰρ τὸ ἐνδοιάζειν τὸν μάντιν. καὶ φαίνεται δὲ τὰ μὲν πρῶτα δόλῳ, ἐξῆς δὲ φανερῶς ἐπιτιθέμενος. V.

121. ἔρχεσθαι δὴ ἔπειτα] ἵνα κἀκεῖνοι γνῶσι τὴν τοῦ Ποσειδῶνος δύναμιν. V.

122. εἰς ὅ κε τοὺς ἀφίκηαι] εἰς Βουνίμαν ἢ εἰς Κελκέαν. H.

123. ἀνέρες οὐδέ θ' ἅλεσσι] τοῖς ἀπὸ θαλάσσης. εἰσὶ γάρ που καὶ ἐν μέσῃ ἠπείρῳ ἅλες ὀρυκτοί. B.Q. τοῖς ἐκ θαλάσσης βρώμασιν, ἰχθύσιν, ὀστρέοις. ἐνδέχεται γὰρ ἅλας πήγνυσθαι καὶ παρὰ ἠπειρώταις. Q.

124. φοινικοπαρῄους] τὰς ἐν τῷ ἐρυθρῷ βάμματι κεχρωσμένας. H.

128. ἀθηρολοιγὸν] ὀξυτόνως. δηλοῖ δὲ τὸ πτύον. οἱ δὲ νεώτεροι τὸ κίνητρον τῆς ἀθέρας οἴονται. Q. πτύον. φησὶ δὲ παρὰ τὸ εἶναι λοιγὸν τῶν ἀθέρων. ὅθεν καὶ ἀθερίζειν τὸ τοὺς ἀθέρας καθαίρειν. λέγεται δὲ καὶ πλάτη χερσαία, ὥσπερ καὶ πλάτη θαλασσία ἡ κώπη. B. τῶν ἀθέρων ὀλοθρευτικὸν ὄργανον. ἀθέρες γὰρ λέγονται κυρίως τῶν ἀσταχύων τὰ ἄκρα. λέγει δὲ τὸ πτύον, "ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλωὴν θρώσκουσι κύαμοι μελανόχροες ἢ ἐρέβινθοι" (ll. ν, 588.). ὁ μέντοι Σοφοκλῆς ἀπεδέξατο τῆς ἀθήρης κίνητρον λέγων οὕτως "ὦμοις ἀθηρόβρωτον ὄργανον φέρων." H.V.

1. ἀντὶ τοῦ addidit Buttm.

3. In B. est scholion ex Eustathio p. 1675, 28. compilatum, συμβουλεύει Τειρεσίας τῷ Ὀδυσσεῖ ἐπειδὰν περιγένηται τῶν μνηστήρων τότε δ' ἔρχεσθαι λαβόντα εὐῆρες ἐρετμὸν εἰσόκε τοὺς ἀφίκηται οἳ οὐκ ἴσασι θάλασσαν ἀνέρες. βούλεται δὲ ἡ τοῦ Τειρεσίου παραίνεσις, λαβεῖν τὸν Ὀδυσσέα κώπην ἐπὶ τοῖς ὤμοις καὶ ὁδεύειν ἕως ἂν εἰς ἄνδρας μὴ εἰδότας θάλασσαν, ἢ ἐκβρωματιζομένους (scr. ἐμβρ. ex Eust.) μετὰ ἀλῶν, ἢ ἐπιστήμονας νηῶν. (Sic etiam Eust. Sed deest repetita negatio ut fere videatur pro ἢ bis legendum esse μή. BUTTM.) ἵνα δηλαδὴ τιμηθῇ Ποσειδῶν ἠπειρώταις ἐν τόποις οἷς οὐ φέρεται αὐτοῦ τὸ ὄνομα. φιλοτιμία γάρ τις καὶ τὸ τιμᾶσθαί τινας (scr. τινα) παρ' οἷς οὐ γνωρίζεται.

5. Βουνίμαν—Κελκέαν] βουνιμὰν—κελκαίαν H. Correxi ex Eustathio p. 1675, 35. οἱ δὲ παλαιοὶ καί τινων τοπικῶν ὀνομάτων βαρβαροφώνους δούπους ἱστοροῦσι, Βουνίμαν λέγοντές τινα ἢ Κελκέαν, ἐν οἷς Ὀδυσσεὺς τὸν Ποσειδῶνα ἐτίμησεν.

8. ὀστρέοις Buttm. pro οὐρίοις.

19. Σοφοκλῆς] Fragm. 404. "Est etiam apud Eustath. p. 1675, 52. Apparet Sophoclem aliter hoc vocabulum cepisse quam illos qui ab ἀθήρ, ἀθέρος; non igitur de ventilabro. Propius enim ad litteram ab ἀθήρα erant qui deducerent, et ἀθήρας κίνητρον redderent, quod est cochlear quo puls agitatur. Quare supra etiam in schol. Q. scribendum ἀθήρας. ἀθηρόβρωτον ὄργανον autem audiebat Sophocli id quod pultis esoribus inservit." BUTTM.

κίνητρον] κίνηθρον H.V.

www.libtool.com.cn

130. *ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι*] *ἐν τοῖς οἰκείοις κλήροις οἱ τιμώμενοι εἴτ' οὖν ἄνθρωποι εἴτε καὶ θεοὶ οὐκ ἂν ἐπί τινος γένοιντο φιλοτιμίας μείζονες. εἰ μέντοι ἐν τόποις τισὶ τοῖς πόρρω καθ' οὓς οὐ πολιτεύονται λάβοιεν γέρα, ἐνταῦθα δὲ πλείων ἡ χάρις. ᾗ γε ἤδη διὰ τὴν παρὰ τοῦ Ὀδυσσέως εὐσέβειαν καὶ θεραπείαν καὶ ἠπειρώτης ἂν τιμηθείη Ποσειδῶν.* V.

134. *διπλῆ ἀνάγνωσις, καὶ, ἔξαλος, προπαροξυτόνως ἀντὶ τοῦ ἔξω καὶ πόρρω τῆς θαλάσσης, καὶ, ἐξ ἁλός, διῃρημένως, διὰ τὸ τῆς τρυγόνος κέντρον, ᾧ ὁ Τηλέγονος ἀντὶ αἰχμῆς ἐχρῆτο.* V.

ἐξ ἁλὸς] *ἔξω τῆς ἁλός. οὐ γὰρ οἶδεν ὁ ποιητὴς τὰ κατὰ τὸν Τηλέγονον καὶ τὰ κατὰ τὸ κέντρον τῆς τρυγόνος.* Q.

τὸ ἔξαλος ὡς ἔκβιος, οἷον ἠπειρωτικὸς καὶ οὐ θαλάσσιος. ἔνιοι δὲ κατὰ παράθεσιν, ἐξ ἁλὸς, οἷον ἀπὸ θαλάσσης, ὡς τὸ "ἐπισσεύῃ μέγα δαίμων ἐξ ἁλός" (Od. ε, 421.). *καί φασιν ὡς ἐντεύξει τῆς Κίρκης Ἥφαιστος κατεσκεύασε Τηλεγόνῳ δόρυ ἐκ τρυγόνος θαλασσίας, ἣν Φόρκυς ἀνεῖλεν ἐσθίουσαν τοὺς ἐν τῇ Φορκίδι λίμνῃ ἰχθῦς· οὗ τὴν μὲν ἐπιδορατίδα ἀδαμαντίνην, τὸν δὲ στύρακα χρυσοῦν εἶναι, τὸν Ὀδυσσέα ἀνεῖλεν. ἀλλ' εἴ γε καὶ ἐν παραθέσει εἴη ἡ ἐξ, δύναται τὸ ἔξω δηλοῦν, ὡς τὸ "ἔκ τ' ἀνδροκτασίης"* (Il. λ, 164.), *ὁ μέντοι Ἀσκαλωνίτης τὸ πλῆρες ἔξω ἡγεῖται, ἵν' ᾖ ἔκθλιψις τοῦ ω, ὡς ἐν τῷ "βαθέης ἐξάλλεται αὐλῆς"* (Il. ε. 142.). *οὐκ ἀναγκαῖον δὲ, τῆς ἐξ ἤδη τὸ ἔξω σημαινούσης.* H.Q.

οἱ νεώτεροι τὰ περὶ Τηλέγονον ἀνέπλασαν τὸν Κίρκης καὶ Ὀδυσσέως, ὃς δοκεῖ κατὰ ζήτησιν τοῦ πατρὸς εἰς Ἰθάκην ἐλθὼν ὑπ' ἀγνοίας

3. ᾗ γε Buttm. pro ἥγε.

7. In B. *αὕτη ἐστὶν ἐν τῷ Ὀππιανῷ* (Halieut. 2, 497.) *περὶ τοῦ Ὀδυσσέως ἱστορία, ὅπως ἐτράφη παρὰ τοῦ υἱοῦ αὐτοῦ τοῦ Τηλεγόνου τοῦ ἐκ τῆς Κίρκης, διὰ τοῦ κέντρου τῆς θαλασσίας τρυγόνος. γράφεται καὶ ἔξαλος, ὅ ἐστι παράδοξος.* Quæ compilata ex Eustathio p. 1676, 48. ἔξαλος autem compilator per παράδοξος interpretatus confudit cum ἄξαλλος, de quo ibidem dixit Eustathius.

12. τὸ ἔξαλος Buttm. pro τοὶ ἐξ ἁλός. Scripturam ἔξαλος alteri ἐξ ἁλός non debuisse præferri recte judicat Lehrs. Aristarch. p. 134.

16. Φορκίδι H. et Eustath. p. 1676, 49. φόρκῃ ἐπὶ Q., si recte legit Maius.

17. *τὸν Ὀδυσσέα ἀνεῖλεν*] Turbata et ut videtur omissa quædam sunt; quæ ita sunt instauranda ut sermo strui possit in hunc modum: *ὡς τὸ δόρυ, ὃ Ἥφαιστος κατεσκεύασε Τηλεγόνῳ, — —, τὸν Ὀδυσσέα ἀνεῖλεν.* BUTTM.

19. *ἀνδροκτασίης—βαθέης*] *ἀνδροκτασίας—βαθείης* H.

23. *Τηλέγονον—τὸν Κίρκης*] De quo dixit Welcker. in libro de cyclo epico vol. 2. p. 309.

www.libtool.com.cn

τὸν πατέρα διαχρήσασθαι τρυγόνος κέντρῳ. Αἰσχύλος δὲ ἐν Ψυχαγωγοῖς ἰδίως λέγει "ἐρρωδιὸς γὰρ ὑψόθεν ποτώμενος ὄνθῳ σε πλήξει, νηδύος χειλώμασιν. ἐκ τοῦδ' ἄκανθα ποντίου βοσκήματος σήψει παλαιὸν δέρμα καὶ τριχορρυές." V.

135. ἀβληχρὸς] ὁ ἐν γήρᾳ γενόμενος ἠρεμαῖος θάνατος. B.Q.

136. ἀρημένον] ὡς βεβλαμμένον, ἀντὶ τοῦ ἀνόσῳ γήρᾳ κεκρατημένον. φύσει δὲ τὸ γῆρας βλαβερόν ἐστι τοῖς κεκτημένοις, κἂν ἄνοσον ᾖ. διὸ ἀρημένον φησίν. B.Q. μηδαμοῦ λιμοῦ ἐπισκήπτοντος αὐτοῖς μηδ' ἑτέρου δεινοῦ. H.

138. ἐπέκλωσαν] ἐπεμοίρασαν. V.

139. ταῦτα λέγει τῷ Τειρεσίᾳ περὶ τῆς ἰδίας μητρὸς, τὸ ταύτης ἐν τῷ Ἅιδῃ θεασάμενος ἴνδαλμα φαντασιωδῶς. H.

148. οὕτως δὲ ἐπεὶ πρόκειται ὅτι θέλει σοι φθονῆσαι, ὑποστρέψει πάλιν ὄπισθεν. H.

157. μέσσῳ γὰρ μεγάλοι ποταμοὶ] ᾤετο γὰρ αὐτὸν ἐκ τῆς πατρίδος ἐληλυθέναι διὰ τῆς Ἰταλίας, ἧς μεταξὺ πολλοί εἰσι ποταμοί. B.Q.

ἀθετοῦνται τρεῖς. H. ἀθετοῦνται. τὸ γὰρ ἑξῆς, μέσον ὠκεανός. γέλοιον δὲ καὶ πεζὸν ἐόντα. V.

158. ὠκεανὸς μὲν πρῶτα] οὐκ ἐπήγαγε δεύτερα καὶ τρίτα, ἅπερ δεῖ κατὰ τὸ σιωπώμενον ἐκδέξασθαι. ἢ οὕτως· οἷον ἵνα μὴ ἄλλον ποταμὸν ἢ ῥεῦμα λέγωμεν, αὐτὸν πρῶτον ὠκεανόν. H.V.

160. ἦ νῦν δὴ Τροίηθεν] τινὲς ὡς ἓν μέρος λόγου παροξύνουσιν, ἀντὶ τοῦ ἀρτίως, ὁμοίως τῷ "οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος" (Od. ω, 260.). H.Q.

161. 162. Ἀριστοφάνης ἀθετεῖ. H.

171. τανηλεγέος] μακροκοιμήτου. V. τοῦ μεγαλοκοιμήτου θα-

1. Αἰσχύλος] Fragm. 270.

2. ὄνθῳ—νηδύος Valckenar. Diatr. in Eurip. p. 286. pro ὃν θ' ὡς ἔπληξεν ἡ δ' υἱός.

8. Sequitur in B. ex Eustathio p. 1676, 59. ἀμφὶ δὲ λαοὶ ὄλβιοι] μέρος εὐτυχίας καὶ τοῦτο βασιλικῆς ὀλβίους εἶναι τοὺς ὑπ' αὐτῷ λαούς.

16. ἧς Buttm. pro οἷς.

18. τρεῖς] Versus 157—159.

20. οὐκ] πῶς οὐκ H. καὶ οὐκ V. δεύτερα H. δεύτερα δὲ V.

23. τινὲς Cramerus. τί H. τὸ Q. ἓν μέρος H. ἐν μέρει Q.

παροξύνουσιν] Fuerunt enim qui νύνδη scriberent: v. locos grammaticorum ab L. Dindorfio collectos in Thesauro vol. 5. p. 1610. et Lehrs. Quaest. Epic. p. 131.

24. ἀρτίως pro ἄρτι ὡς correxit Buttm. Et sic Eustath. p. 174, 5.

27. μεγαλοκοιμήτου Struvius pro μεγαλοκοίτου.

www.libtool.com.cn

νάτου, ἀπὸ τῆς ἐνεργείας, παρόσον οἱ ἀποθνήσκοντες οὐκέτι ἐγείρονται κατὰ τοὺς Ἕλληνας. Q.

172. ἡ Ἄρτεμις] ἀπὸ γὰρ τῆς σελήνης ἐπέρχονταί τινα νοσήματα. B.

173. οἷς ἀγανοῖς βελέεσσιν] πραέσιν. οἱ γὰρ αἰφνίδιοι θάνατοι ἀνώδυνοί εἰσιν. B.H.Q.T.

174. εἰπὲ δέ μοι πατρός τε] τὰ τοιαῦτα ὁ Ὀδυσσεὺς ἐρωτᾷ τὴν ψυχὴν τῆς ἑαυτοῦ μητρὸς περὶ τῆς συνεύνου αὐτοῦ καὶ τῶν παίδων. καὶ οὐκ ἀπεικὸς τοῦτο ποιεῖ. ἐπειδὴ γάρ, φασίν, αἱ ψυχαὶ μετὰ τὴν τοῦ συνθέτου διάλυσιν αἴσθησιν ἔχουσί πως τῶν τῇδε καὶ γνῶσιν ἀσωματωτέραν καὶ ἁπλουστέραν τῶν συντεθειμένων ἔκ τε ψυχῆς καὶ τοῦ σώματος, καλῶς λαβεῖν τῶν τοιούτων τὴν εἴδησιν ἐκ τῆς μητρῴας ψυχῆς εἶχε τὸν ἐρωτῶντα. ἐξῆς καὶ ὡς ἐνὸν ἤκουσεν ἅπερ αὐτὸς ὁ Ὀδυσσεὺς πρὸς τῆς αὐτῆς ἐρωτήσεως οὐκ ἐγίνωσκεν, ἀλλ' ὅμως καὶ τόπον τόπῳ ἀμείβων ὁ δύστηνος. Q.

θν κατέλειπον] Ἀριστοφάνης, οὓς κατέλειπον. H.

177. εἰπέ δέ μοι μνηστῆς ἀλόχου] εἰδὼς ὁ Ὀδυσσεὺς τὰς ἐκυρὰς ἐχθρωδῶς περὶ τὰς νυοὺς διακειμένας περὶ Πηνελόπης ὑστάτης ἠρώτησεν. ἡ δὲ εὐφραίνουσα τὸν υἱὸν περὶ πρώτης αὐτῆς ἀπεκρίνατο. Q.T.

182. ὀΐζυραὶ δέ οἱ αἰεὶ] οὐ διὰ τοὺς μνηστῆρας· οὔπω γὰρ ἦσαν ἐπιθέμενοι· ἀλλὰ διὰ σέ. B.T. οὐχ ὑπὸ μνηστήρων ὀχλουμένη· οὐδέποτε γὰρ οἱ μνηστῆρες, οἵ γε μετὰ τέσσαρα ἔτη ἐπίασιν· ἀλλὰ σὲ ζητούσῃ. V.

185. τεμένη] σεσημείωται τὸ ὄνομα ἀδιαιρέτως ἐξενεχθέν. H.Q. Ἀρίσταρχος τεμένεα. H.

186. δικασπόλον] αὐτὸν δηλονότι. ἀντὶ τοῦ εὐωχεῖ. H.

187. καλέουσι] γρ. κοτέουσι. Vind. 56.

πῶς οὖν οἶδεν τί εἰ "ἐκ πόλιος κατέβαν, τάχα δ' ἀγρὸν ἵκοντο;" (Od. ω, 305.) νῦν οὖν ἡ κατὰ ἀντὶ τοῦ ἀπό. H.

189. λείπει ἡ κατά κατὰ τὸ σχῆμα. H.

191. ἐν κόνι] ὅτι τὴν ἀπὸ τῆς ἐσχάρας σποδὸν κόνιν εἴρηκεν. H.

6. ἀνώδυνοι] ἀνωδύνως H.
9. φασὶν Buttmannus. φησὶν Q.
13. ἐρωτῶντα Struvius pro ἔρωτα.
16. οὓς κατέλειπον] Pleonasmus cassus et iners, quem tolli posse si Aristophanes ὃς κατέλειπες scripsisse censeatur, Nauckius judicat Aristoph. p. 54.
18. ἐχθρωδῶς] ἀπεχθῶς T.
28. πῶς οὖν οἶδεν τί] Hæc non integra.

www.libtool.com.cn

κατὰ συγκοπὴν, ἢ κατὰ συναίρεσιν. κόνις ἡ εὐθεῖα, κόνιος, κόνιι καὶ κόνι. B. ἐν κόνει] ἐν τῇ γῇ. V.

ἧσται] οὕτως Ζηνόδονος. Ἀρίσταρχος, ἧστο. H. ἐνδέδυται. V.

194. κεκλιμένων] κεκλαδευμένων, πεπτωκότων. V.

χθαμαλαὶ] οὐχ αἱ πρὸς τῇ γῇ, ἀλλ' αἱ ἐν τῇ γῇ, ἢ ταπειναί. V.

196. σὸν πότμον γοόων] αἱ χαριέστεραι γραφαὶ ἔχουσι, σὸν νόστον ποθέων. H.

197. οὕτω γὰρ καὶ ἐγὼν ὀλομην] οὐχ ὡς οἱ νεώτεροι, ὅτι ἑαυτὴν ἀνήρτησε Ναυπλίου ψευδῶς μηνύσαντος θάνατον Ὀδυσσέως. V.

200. οὔτε τις οὖν μοι νοῦσος] ἄλλο γὰρ νόσος, ἄλλο τηκεδών· οὐ γὰρ ταυτόν. B.

202. ἀλλά με σός τε πόθος] ὅτι οὐχ ὡς οἱ νεώτεροί φασιν, αὐτὴν ἀπάγξασθαι παρὰ Ναυπλίου πεπυσμένην τὴν Ὀδυσσέως τελευτήν. οἳ διεσφάλησαν ὑπὸ τοῦ λεγομένου παρὰ τοῦ συβώτου ὡς "ἀπώλετο λευγαλέῳ θανάτῳ, ὡς μὴ θάνοι ὅστις ἔμοιγε ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι" (ο, 359.). διαρρήδην γὰρ νῦν ὁμολογεῖ τεθνηκέναι ἕνεκα τοῦ ποθεῖν τὸν Ὀδυσσέα. H.Q.

σά τε μήδεα] ἅπερ κακῶς ἐβουλεύσω τὸν Κύκλωπα τυφλώσας, καὶ ὑποβληθεὶς τοιαῖσδε ὑπὸ τοῦ Ποσειδῶνος κακώσεσιν. Q.

203. σή τ' ἀγανοφροσύνη] εὐφήμως τὴν ἀγχόνην ἐσιώπησεν, ὡς δὴ αἰτίαν ἐχόντων τῶν οὕτως ὑπεξαγαγόντων ἑαυτοὺς τοῦ βίου. Q.V.

207. ἴκελον] γρ. ἰκέλη, ἡ ψυχή. H.

210. μίμνεις ἑλέειν] εἰς ἐνθύμησιν ἄγεις. Q.

213. ἦ τί μοι εἴδωλον] ἦ, φησὶν, οὐχ ὑπάρχεις σὺ ἡ ἐμὴ μήτηρ, ἀλλ' εἴδωλόν τι καὶ ἀποσκίασμα τὸ παρ' ἐμοὶ νῦν ὁρώμενόν ἐστιν, ὅπερ ἡ ἀγαυὴ καὶ λαμπρὰ Περσεφόνη παρώτρυνεν ἐλθεῖν εἰς ἐμὴν ὄψιν. H.Q. εἴδωλον. τὴν εἰς τὸ ἰδεῖν μόνον εἰκόνα, οὐ μέντοι καὶ εἰς ἄλλην αἴσθησιν. V.

218. ἀλλ' αὕτη δίκη] δίκην βροτῶν λέγει αὐτὴν τὴν αὐτῶν ἀποβίωσιν, εἶτα τὴν ἐκφαινομένην τῶν ψυχῶν φαντασίαν τοῖς ζῶσιν.

7. σὸν νόστον Porsonus. ἑὸν νόστον H.

15. τοῦ σ.] τοῦ om. Q.

16. θάνοι H. θάνῃ Q.

25. εἰς ἐνθύμησιν ἄγεις] Verbum μίμνεις explicat, quasi esset μέμονας. BUTTM.

27. ἐμοὶ H. ἡμῖν Q.

www.libnol.com.cn

αὖτη τοίνυν ἡ δίκη πάντων βροτῶν κατεκράτησεν ἐξ αὐτῆς ταύτης γενέσεως. H.

ὅτε κέν τε θάνωσιν] γρ. ὅτε τις κε θάνῃσι. M.

219. οὐ γὰρ ἔτι σάρκας] σημείωσαι ἐνταῦθα ὅτι τὰ νεῦρα ὡς κινήσεώς τε καὶ αἰσθήσεως ὄργανα τὸν ὅλον ἔχουσι τοῦ ζῴου λόγον. αἱ δὲ σάρκες καὶ τὰ νεῦρα αἱ μὲν εἰς ἀσφάλειαν ἐγένοντο καὶ ἀνάπαυσιν τῶν νεύρων, τὰ δὲ εἰς ἀντέρεισιν τοῦ ζῴου. διὰ τοῦτο εἶπε καὶ τὸ "οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσι." B.

221. δαμνᾷ, ὡς κιρνᾷ. οἱ δὲ, δάμναται ὥς κεν πρῶτα λίπῃ, ὡς Κράτης. ὁ δὲ Ἀσκαλωνίτης, συνεδάμνα, ἢ τοῦ δαμνᾶται ἀποκοπὴ, ἔξοδον δὲ ἀναγινώσκειν περισπωμένως, ἀπὸ τοῦ δαμνῶμαι ὡς πειρῶ-

3. τίς κε θάνῃσι] τίς κεν M., omisso θάνῃσι. Scripturam ὅτε τίς κε θάνῃσι in textu habet N.

9. δάμναται] μνᾶται H. "Difficile et corruptum scholion, fortasse etiam mutilum; in quo cetera non expedio. Prope initium lege: οἱ δὲ, δάμναται, ὥς κε πρῶτα λίπῃ, ὡς Κράτης. Triplex igitur fuisse videtur lectio: vulgata ita scripta ΔΑΜΝΑΙΕΠΕΙ; secunda ΔΑΜΝΑΤΕΠΕΙ pro δάμναται ἐπεί, quæ plenis litteris exarata occasionem dedit Crateti corrigendi ΔΑΜΝΑΤΑΙΩΣ. Illud receptæ lectioni obstat, quod δαμνάω δαμνῶ nusquam apud poëtam occurrit, sed aut δάμνημι aut δάμναμαι, hoc activo sensu usurpatum Od. ξ, 488. In Il. ξ, 199. δαμνᾷ rite adhibetur utpote contractum e δάμνασαι, quod ipsum numeros meliores redderet." PORSON. Excidisse aliquid post nomen Κράτης mihi quoque exploratum est. Certe quæ sequuntur non amplius spectant ad hujus scholii textum; sed memoratur tantum in illis, per aliquem cum præcedentibus nexum, tanquam itidem legitima secunda personæ forma δαμνᾷ (accentum nondum appingo); cui in discrimen tertiæ, quæ in textu est, additum fuit pronomen σύ, et fortasse, ad indicandum sensum itidem activum, accusativus quoque μέ, σύ με δαμνᾷ. quod corruptum transiit in συνεδάμνα. Hanc itaque formam δαμνᾷ Ptolemæus Ascalonita docebat esse decurtatam e pleniori δαμνᾶσαι: sic enim legendum, ἢ τοῦ δαμνᾶσαι ἀποκοπή: pronuntiandumque esse *exitu inflexo* δαμνᾷ, plane ut πειρᾷ secunda persona verbi πειρῶμαι. Comparatur tandem Atticum etiam δύνᾳ pro δύνασαι. Quod autem ait grammaticus ἐκφωνεῖσθαι τὸ ι, de eo ipse viderit. Ceterum concinit cum his, nostramque rationem confirmat schol. Il. ξ, 199. ubi illud secundæ personæ δαμνᾷ ita explicatur: δαμνᾷ —ἀποκοπὴ τοῦ δαμνασαι: cui scholio dum accentus e codice appingantur, ego grammaticum dedisse statuo, non δάμνασαι: quod breviatum esset δάμνᾳ, ut δύνᾳ: sed δαμνᾶσαι; ut apparet ex scholii nostri formis δαμνῶμαι et illo e δαμνᾶσαι corrupto δαμνᾶται. Jam si legitima est forma δαμνᾷ in secunda pass., legitima est etiam in tertia act. δαμνᾷ. Illi contra grammatici qui utrumque damnarent, in Iliade opinor scribebant δάμνᾳ pro δάμνασαι, et in nostro loco δάμναται ὡς. Poterant utique etiam δάμναθ' ἑπεί, sed hujus scripturæ nullum in hoc scholio vestigium. BUTTM.

www.libtool.com.cn

μαι, "πειρᾷ ἐμεῖο γεραιέ" (Il. ω, 390.), καὶ ἐκφωνουμένου τοῦ ι, ὡς τὸ δύναι παρ' Ἀττικοῖς. H.

223. ἀλλὰ φόωσδε τάχιστα] ἀλλὰ ἐξελθεῖν ἐκ τοῦ Ἅιδου καὶ εἰς τὸ φῶς αὖθις ἐπανελθεῖν προθυμοῦ. Q. λιλαίεο] λείπει τὸ ἐλθεῖν ἢ ἱκέσθαι. B.

233. προμνηστῖναι] ἤτοι ἐπὶ μίαν ἑξῆς, ἢ ἐπάλληλοι, ἢ ἐπὶ στίχον. καὶ ἔστι κατὰ τὸ ἔτυμον προμενέστιναι, ἀπὸ τοῦ προσμένειν τὴν ἑτέραν. V. ἤτοι μία καὶ μία κατὰ τάξιν ἐπήρχοντο καὶ ἀλλεπάλληλοι. B.Q.

ἡ δὲ] τὸ δὲ, ἡ δὲ, Ἀρίσταρχος ψιλοῖ καὶ οἱ ἄλλοι. H.

235. Τυρὼ ἶδον] ταύτην ἐπωνύμως οὕτω καλεῖσθαί φασι διὰ τὴν λευκότητα· λέγεσθαι δὲ οἱ μὲν Ὄσσαν, οἱ δὲ Συλῶ, οἱ δὲ Ῥαάνην, οἱ δὲ Λαοσόην. H.Q.

εὐπατέρειαν] ὅτι ἐν εἰρωνείᾳ· δυσσεβὴς γὰρ λίαν ὁ Σαλμωνεὺς ἀντιβροντῶν τῷ Διὶ καὶ ἀνταστράπτων· διὸ καὶ κεραυνοῦται. B.H. Q.T.V.

236. Σαλμωνῆος ἀμύμονος] τινὲς ἀτασθάλου γράφουσι. πῶς οὖν οὐχὶ καὶ τὴν εὐπατέρειαν μετέθηκαν; H.

ὅτι οὐχ ὑποτίθεται ἀσεβῆ τὸν Σαλμωνέα, ὡς οἱ νεώτεροι. οὐ γὰρ εὐπατέρειαν ἂν τὴν Τυρὼ εἶπεν οὐδὲ ἀμύμονος πατρός. Q.T.

237. φῆ δὲ Κρηθῆος] Αἰόλου καὶ Λαοδίκης τῆς Ἀλωέως Σαλμωνεὺς καὶ Κρηθεύς. Q.

238. Ἐνιπῆος—ὃς πολὺ κάλλιστος ποταμῶν] Ἐνιπεὺς Ἤλιδος ποταμὸς καὶ Θεσσαλίας. πῶς οὖν ἐν Ἰλιάδι ὁ Ἄξιος; ἢ τοῦ μὲν Ἀξίου τὸ ὕδωρ, τοῦ δὲ Ἐνιπέως τὸ σῶμα. ὅθεν καὶ ἐραστά. V.

239. ὃς πολὺ κάλλιστος ποταμῶν] ἐναντίον εἶναι δοκεῖ τοῦτο τῷ

5. Sequitur in B. scholion ad γυναικί v. 224. ex Eustathio p. 1680, 43. exscriptum, ἱστέον δὲ ὅτι δύο οὐσιῶν εὐθειῶν, τοῦ γυνή καὶ τοῦ γύναιξ ἀρρήτου, ἧς ἡ γενικὴ γυναικός, ἐκ μὲν γυναικὸς βῆμά τε τὸ γυναικίζω καὶ ὄνομα ὁ γυναικίας, ἐκ δὲ τοῦ γυνή ὁ γύνις. δηλοῖ δὲ αὐτὸς οὐ μόνον τὸν λάγνον ἔτι δὲ καὶ τὸν δειλὸν, ἀλλὰ καὶ τὸν μὴ ἱκανὸν δι' ἀτονίαν γυναικὶ συνεῖναι. καὶ περὶ Ἀλεξάνδρου ἐρρέθη, εὐλαβοῦντο γάρ φησι μὴ γύνις εἴη (Plut. in Alex.)

7. προμενέστιναι] προμενετῖναι Eustath. p. 1680, 53.

12. Ὄσσαν H. ἤσσαν Q. Ῥαάνην H. ῥαάνην Q.

13. Λαοσόην correxi pro Λασσόην.

14. ὅτι (τινὲς B.Q.) ἐν εἰρωνείᾳ] ἐν ἤθει εἶπεν V. λίαν] ἦν V.

15. κεραυνοῦται] κεραυνοῖς περιέπεσεν. εἰρωνείᾳ οὖν κέχρηται V.

18. μετέθηκαν Struvius pro μετέθηκεν.

20. ἂν addidit Buttm.

25. ἐραστά] ἠράσσατο Buttm.

www.libtool.com.cn

"Ἀξίου, οὗ κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν" (Il. φ, 158.). εἰ γὰρ κάλλιστος οὗτος πάντων, οὐκ ἄρα ἐκεῖνος. λύεται δὲ κατὰ λέξιν. τὸ γὰρ κάλλιστον οὐχ ἓν λέγεται, ἀλλὰ πλείω. δηλοῖ δὲ καὶ αὐτὸς ποτὲ μὲν λέγων "Λαοδίκην ἐσάγουσα θυγατρῶν εἶδος ἀρίστην" (Il. ζ, 252.), ποτὲ δὲ "ἦτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην Κασάνδρην" (Il. ν, 365.). καὶ μὴν καὶ ἀμφότεραι τοῦ Πριάμου θυγατέρες, καὶ ἐὰν ἡ μία θυγατρῶν εἶδος ἀρίστη, οὐκ ἄρα τις ἄλλη, ἀλλ' ὅμως καὶ ἐπὶ τῶν δύο τοῦτό φησι. δύναται δὲ καὶ τὸ αἶαν μὴ τὴν γῆν λέγειν, ἀλλ' ὄνομα κρήνης. φέρει δὲ τὸ ἔπος καὶ Εὔδοξος ἄνευ τοῦ ν "Ἀξίου, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται Αἶα." πολλῶν γὰρ ποταμῶν ἐμβαλλόντων εἰς τὸν Ἄξιον θολερῶν, Αἶα ἡ κρήνη διαυγέστατον ἀνίησιν ὕδωρ. ὥστε τὸ κάλλιστον οὐκ ἐπὶ τοῦ ποταμίου ὕδατος, ἀλλ' ἐπὶ τοῦ κρηναίου φησίν. ἔστι δὲ καὶ ἐκ τοῦ προσώπου λῦσαι. τὸ γὰρ περὶ τοῦ Ἐνιπέως ἡ Τυρὼ λέγει ἐρασθεῖσα αὐτοῦ. H.Q.T.

240. ἡ τοῦ Κρηθῆος γυνὴ περιεπόλει εἰς τὰ καλὰ ῥεῖθρα τοῦ Ἐνιπῆος ποταμοῦ ἔρωτι τούτου· ἀπεικάσθη οὖν αὐτῷ καὶ ὡμοιώθη ὁ ἐννοσίγαιος, καὶ ἐκοιμήθη εἰς τὰς αὐτοῦ προχοὰς μετὰ τῆς γυναικὸς Κρηθῆος. H.

242. ἐν προχοῇς ποταμοῦ] ἐπαφροδίτως ὁμοῦ καὶ φιλονείκως ἐν αὐτῷ μέσῳ τῷ ποταμῷ, οὗ δὴ ἡ Τυρὼ ἦρα, τοῦ Ποσειδῶνος κοινωνῆσαι θελῆσαι, ὥσπερ ἐπεγγελῶντα. προχοῇσι δέ, τοῖς εἰς θάλασσαν τῶν ποταμῶν στόμασιν. V.

243. περιστάθη οὔρεϊ ἶσον] κύκλωθεν ἐστάθη σφαιροειδῶς, ὃν τρόπον Σκάμανδρος ἔσωζε τοὺς Τρῶας "κρύπτων ἐν δίνῃσι βαθείῃσι μεγάλῃσιν" (Il. φ, 239.), οὐ πνίγων, ἀλλ' ἀέρα παρέχων αὐτοῖς. B.Q.

245. τὴν φύσιν λέγει ἀπὸ τοῦ εἴδους τοῦ κατὰ τὸν τρόπον. Καὶ ἄλλως. ἀθετεῖται· πρὸς τί γὰρ τῇ ἐρώσῃ καὶ ἑκουσίως βουλομένῃ μιγῆναι κατέχευεν ὕπνον; Ζηνόδοτος δὲ ἀγνοεῖ τὸν στίχον. H. ἔξει

8. Αἶαν] Nimirum respicit nunc scholiastes alium Iliadis locum, β, 850., ad quem suo scholio hodie destitutum hoc nostrum conferendum est. Vid. Heyn. BUTTM.

21. τοῦ Ποσειδῶνος —] Barnesius, præeunte ut ait MS., reposuit τῷ Ποσειδῶνι κ. θελῆσαν; quod quo valeat non video. Sensus ni fallor requirit ἐπαφρόδιτον — καὶ φιλόνεικον —τὸν Ποσειδῶνα—θελῆσαι. BUTT.

24. κύκλωθεν] Scriptura vitiosa pro κυκλόθεν, non infrequens in scriptis recentiorum.

www.libtool.com.cn

σεμνοτάτῃ κοσμεῖ τὸ αἰσχρὸν, ὡς ὁ Ξενοφῶν "ἔγνω αὐτήν" ἀντὶ τοῦ ἐμίγη. M.

249. τέξεις] οὕτως Ἀρίσταρχος. Ζηνόδοτος δὲ κακῶς, τέξεαι. τινὲς δὲ "ἀνεμώλιοι εὐναὶ" γράφουσιν, οὐκ εὖ. H.

ἀποφώλιοι] ἀδόκιμοι, ἄγονοι, ἄπαιδες, ἄκαρποι. V.

251. ὀνομήνῃς] ἐξ ὀνόματος εἴπῃς. ἡ ἀπάντησις πρὸς τοὺς παῖδας. H.

[254. Πελίην τέκε: σημείωσαι ὅτι τὸ τεκεῖν ἐπὶ μητρὸς, τὸ δὲ γεννῆσαι ἐπὶ πατρός. Πελίαν ἀρσενικῶς. B.]

255. θεράποντε Διὸς] βασιλεῖς. καὶ γὰρ οἱ πολεμικοὶ θεράποντες Ἄρηος. V.

258. τοὺς δ' ἑτέρους] καλῶς τοὺς ἑτέρους· δύο γὰρ ἦσαν γένη παίδων, τὸ μὲν ἐκ Ποσειδῶνος, τὸ δὲ ἐκ Κρηθέως. Q.

259. ἱππιοχάρμην] ἤτοι χαίροντα ἵπποις, ἢ ἐφ' ἵπποις μαχόμενον. V.

260. Ἀντιόπην] ὁ μὲν ποιητὴς Ἀσωποῦ, οἱ δὲ τραγικοὶ Νυκτέως. M. Νυκτέως αὐτὴν οἱ νεώτεροι ἱστοροῦσιν. H.

Θηβῶν ὁ Ἀσωπός. οὐκ ἀναστρεπτέον τὴν μετὰ πρόθεσιν. H.

262. Ἀμφιόνά τε Ζῆθόν τε] ὅτι οἱ περὶ Ἀμφίονα ἐτείχισαν τὰς Θήβας διὰ τὸ δεδοικέναι τοὺς Φλεγύας. μετὰ δὲ τελευτὴν αὐτῶν κατασκαφείσης τῆς πόλεως ὑπὸ Εὐρυμάχου τοῦ Φλεγυῶν βασιλέως, Κάδμος ὕστερον ἐλθὼν ἀνέκτισε τὴν Θήβην. Q.

263. πρῶτοι] πρὸ τῆς Κάδμου ἐπιδημίας. H.

264. πληθυντικὸν τὸ πύργωσαν. H.

Ἀριστοφάνης, ἐπεὶ οὔ μιν. H.

ἐπεὶ οὔ μιν ἀπύργωτον] διὰ τοὺς Φλεγύας. μετὰ δὲ τὴν τελευτὴν αὐτῶν Εὐρύμαχος ἠρήμωσε τὰς Θήβας, ὥς φησι Φερεκύδης ἐν τῇ δεκάτῃ. V.

1. Ξενοφῶν "ἔγνω αὐτήν"] Non videntur hæc verba legi apud Xenophontem. Verbo γιγνώσκειν sic usi sunt Menander, Plutarchus aliique recentiores, inter quos sunt Novi Testamenti scriptores: de quo dixi in Thesauro vol. 2. p. 629.

3. τέξεαι Porsonus. τέξει H. τέξεαι in textu habet M. superscripto εις, id est τέξεις.

5. ἀποφώλιοι] καὶ ἀπόκρυφοι, ἀταίδευτοι, μάταιαι, ἀλλὰ δηλαδὴ ἀγλαὰ γεννῶσι. γίνεται δὲ ἐκ μεταφορᾶς τῶν ὠῶν, ἅτινα ἀπορρίπτονται ὡς οὔρια. B. Quæ ex Eustath. compilata sunt p. 1682, 33. et 1681, 31.

6. Ad v. 250. in B. sunt verba ex Eustathio p. 1681, 31. descripta, σὺ δὲ τοὺς] Ἀττικῶν. τὰ ῥηθέντα δηλαδὴ τέκνα γένους ἄρρενος ἐσόμενα.

8. 9. Hæc quoque ex Eustathio compilata videntur p. 1682, 29.

www.libtool.com.cn

266. τὴν δὲ μετ' Ἀλκμήνην] Τηλεβόαι στρατεύσαντες κτείνουσι τοὺς Ἠλεκτρύωνος παῖδας περὶ θρεμμάτων ἀγωνιζομένους. καὶ Ἀμφιτρύων ἀποκτείνας ἀκουσίως Ἠλεκτρύωνα φεύγει εἰς Θήβας. Ἀλκμήνη δὲ Ἠλεκτρύωνος οὐκ ἐβούλετο γαμηθῆναι πρὶν τίσαιτο τοὺς Τηλεβόας ὑπὲρ τῶν αὐτῆς ἀδελφῶν. ὑπισχνεῖται δὲ τοῦτο Ἀμφιτρύων καὶ αὐτὴν εἰς Θήβας μεταγαγὼν πορεύεται ἐπὶ Τηλεβόας. ἐν ταύτῃ Ζεὺς τῇ νυκτὶ ἀφικνεῖται ἐπὶ τὴν Ἀμφιτρύωνος οἰκίαν ἔχων καρχήσιον, ἐοικὼς Ἀμφιτρύωνι. ἡ δὲ Ἀλκμήνη δοκοῦσα τὸν ἑαυτῆς παστὸν εἶναι πυνθάνεται περὶ τῶν Τηλεβοῶν εἰ κατέκτεινεν αὐτούς. ὁ δὲ Ζεὺς λέγων αὐτῇ πάντα ὅσα ἐγένετο δίδωσι καὶ τὸ καρχήσιον φάμενος ἀριστεῖα εἰληφέναι παρὰ τῶν στρατιωτῶν. ἡ δὲ ἀσμένως ἀποτίθησιν. ἔπειτα αὐτῇ συνευνασθεὶς Ζεὺς ἀπέρχεται, καὶ τῇ αὐτῇ παραγενόμενος νυκτὶ Ἀμφιτρύων μίσγεται. καὶ γεννᾷ Ἀλκμήνην ἐκ μὲν Διὸς Ἡρακλέα, ἐκ δὲ Ἀμφιτρύωνος Ἰφικλέα. ἡ ἱστορία παρὰ Φερεκύδῃ. V.

267. θρασυμέμνονα] γρ. κρατερόφρονα. M.

269. Μεγάρην] Μεγάρα Κρέοντος τοῦ Θηβῶν βασιλέως. γημαμένη Ἡρακλεῖ παῖδας ἴσχει Θηρίμαχον καὶ Κρεοντιάδην καὶ Δηικόωντα. βαδίζοντος δὲ αὐτοῦ εἰς Ἅιδου ἐπὶ τὸν τοῦ κυνὸς ἆθλον Λύκος ὁ τῶν Θηβῶν βασιλεὺς πεισθεὶς Ἥρᾳ καταστέφει τοὺς Ἡρακλέους παῖδας, ἵνα θύσῃ. οὐ γὰρ αὐτὸν ἐπανήξειν ᾤετο. παραγενόμενος δὲ Ἡρακλῆς ἀναιρεῖ αὐτὸν καὶ τοὺς ἐκείνου παῖδας. μανεὶς δὲ διὰ τὴν Ἥραν κτείνει τοὺς ἰδίους. ἔμελλε δὲ καὶ τὸν ἀδελφὸν Ἰφικλέα, εἰ μὴ ἔφθασεν Ἀθηνᾶ κωλύσασα. ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ. T.V.

270. μένος αἰὲν ἀτειρής] ὀργῆς ἀφορήτου μεστός. V.

271. Οἰδιπόδαο] ἀπὸ τῆς Οἰδιπόδης εὐθείας. H.

Ἐπικάστην] παρὰ τοῖς τραγικοῖς Ἰοκάστην. V.

Λάϊος ὁ Οἰδίποδος πατὴρ παρὰ Φοίβου μαντείαν λαβὼν ὅτι ὁ τικτό-

2. τοὺς—παῖδας—ἀγωνιζομένους ex sequentibus et historia apud Apollodorum restituit Buttmannus pro τὸν—παῖδα—ἀγωνιζόμενον.

8. ἐοικὼς Struvius pro ἐοικός. εἰκασθεὶς dixit schol. Il. ξ, 323.

παστὸν] ἀσπαστὸν Sturzius. ἑραστὴν Buttm.

12. ἔπειτα αὐτῇ Buttm. pro ἐπὶ ταύτῃ.

18. Θηρίμαχον] Scribebatur Θηριόμαχον. Correxi ex Apollod. 2, 4, 11. et 2, 7, 8.

20. καταστέφει correxi pro καταστρέφει. Coronati enim ad aram sistebantur mactandi. Huc refer Euripidis Herc. fur. Vid. et Eust. ad h. l. BARNES.

24. Ἀσκληπιάδῃ] Tragilensis, cujus inter fragmenta hæc recepit Mueller. Histor. vol. 3. p. 305. κωλύσασα—Ἀσκληπιάδῃ om. T.

www.libtool.com.cn

μενος παῖς ἀπ' αὐτοῦ ἀναιρεῖ αὐτὸν, Ἐπικάστην γήμας γεννᾷ Οἰδίποδα καὶ τοῦτον ἐκτίθησι. Σικυώνιοι δὲ ἱπποφορβοὶ ἀναλαβόντες ἔτρεφον αὐτόν. ἡλικίας δὲ γενόμενος ὁ Οἰδίπους ἦλθεν εἰς Θήβας ἐπιζητῶν τοὺς γονέας. ἀποκτείνας δὲ ἀκουσίως τὸν πατέρα λαμβάνει πρὸς γάμον οὐκ εἰδὼς τὴν μητέρα ἐπιλυσάμενος τὸ τῆς Σφιγγὸς αἴνιγμα τὸ λέγον, τί δίπους, τί τρίπους, τί τετράπους. καὶ λέγομεν ὅτι τὸ δίπους ἐστὶν ὁ ἄνθρωπος, τὸ τρίπους σημαίνει γέροντα βαστάζοντα βακτηρίαν, καὶ τὸ τετράπους τὸ νήπιον τὸ συρόμενον. γίνεται δὲ ἐκ τούτων Ἐτεοκλῆς καὶ Πολυνείκης καὶ θυγατέρες Ἀντιγόνη καὶ Ἰσμήνη. ὕστερον δὲ ἡ Ἰοκάστη ἐπιγνοῦσα ὅτι τῷ παιδὶ παρεμίγη ἑαυτὴν ἀνήρτησεν· ὁ δὲ Οἰδίπους ἐκπεσὼν ὑπὸ Κρέοντος ἦλθεν εἰς τὴν Ἀττικὴν, καὶ ᾤκησεν Ἱππέα Κολωνὸν καλούμενον. καὶ ἱκέτευεν ἐν τῷ ἱερῷ τῶν θεῶν, Δήμητρος καὶ πολιούχου Ἀθηνᾶς, καὶ βίᾳ ἀγόμενος ὑπὸ Κρέοντος ἔσχεν ὑπερασπιστὴν Θησέα. τελευτῶν δὲ ὁ Οἰδίπους διὰ γῆρας παρεκάλεσε τὸν Θησέα μηδενὶ τῶν Θηβαίων δεῖξαι τὸν τάφον. ἐθελῆσαι γὰρ αὐτὸν καὶ νεκρὸν αἰκίσασθαι. ἡ ἱστορία παρὰ Ἀνδροτίωνι. V.

274. ἄφαρ] οὐκ εὐθέως· ἐπεὶ πῶς ἔσχε παῖδας; ἀλλ' ἐξαίφνης. B.

ἀνάπυστα] ἀνὰ στόμα πᾶσι λέγεσθαι καὶ πυνθάνεσθαι· ἢ διάδηλα. B V. προπαροξυτόνως φησὶν ἐν τῇ καθόλου, περιττῆς οὔσης τῆς ἀνά, ἀντὶ τοῦ πυστὰ, ἐξάκουστα. δύναται δὲ καὶ τῶ ἄπυστα ἐγκειμένου ἄλλη στέρησις ἐντεθῆναι μετὰ προσθέσεως τοῦ ν, ὡς ἐν τῷ ἀνήκουστος, ἀνηλεής. αἱ δύο οὖν στερήσεις μίαν συγκατάθεσιν ἐδήλωσαν, καὶ ἔστιν ἀντὶ τοῦ ἀκουστά. B.Q.

275. ἀλλ' ὁ μὲν ἐν Θήβῃ] ἀγνοεῖ τὴν τύφλωσιν καὶ τὴν φυγὴν Οἰδίποδος. καὶ ἐν Ἰλιάδι (ψ, 678.) γράφει αὐτὸν ἐν Θήβῃ τετελευτηκέναι· "Μηκιστέως υἱὸς Ταλαϊονίδαο ἄνακτος, ὅς ποτε Θήβασδ' ἦλθε δεδουπότος Οἰδιπόδαο." B.H.Q.

7. Addidi σημαίνει.

12. Ἱππέα] Alias dictum etiam Ἵππιον vel τὸν τῶν ἱππέων. Vid. Harpocratio, Pollux, Pausanias (1, 30.), schol. Soph. Œd. Col. 711. (εὔπτων, εὔτρωλον) et Argum. fabulæ. BUTTM.

13. βίᾳ Struvius pro διός.

14. ὑπερασπιστὴν Buttm. pro ἀσπιστήν.

19. διάδηλα] φανερά V.

20. φησὶν] Herodianus. Hinc penes quemvis arbitrium sit verbum φασίν in his scholiis in φησίν interdum mutandi, sive e libris sive ex mea correctione ita ediderim. Nam constans est in codd. harum vocum confusio. BUTTM.

21. Conf. Apollon. Lex. s. v. ἀνάπυστα.

27. Θήβασδ'] θήβας H.

www.libtool.com.cn

πολυηράτῳ] πολλὰς ἀρὰς καὶ βλάβας ὑπομεινάσῃ παρὰ θεῶν. B. Q.V. οὐ γὰρ ἐρασμίῳ· ὅπως ἂν ᾖ τῷ ὑποκειμένῳ ἀκόλουθον. V.

276. θεῶν ὀλοὰς διὰ βουλάς] τὰς τῷ Οἰδίποδι ὀλοὰς καὶ ὀλεθρίας γινομένας. τὸ δὲ ἐξῆς, πάσχων θεῶν ὀλοὰς διὰ βουλάς. B.H.Q. τὸ ἐξῆς, ἄλγεα πάσχων θεῶν ὀλοὰς διὰ βουλὰς Καδμείων ἤνασσεν· οὐχὶ θεῶν ὀλοὰς διὰ βουλὰς ἤνασσεν. V.

277. πυλάρταο] τοῦ τὰς πύλας ἰσχυρῶς ἐπαρτῶντος καὶ συγκλείοντος. V.

278. ἀψαμένη] ἀναρτήσασα, ἐκδήσασα, ἀναψομένη βρόχον ὑψηλὸν καὶ τῆς γῆς ἀφεστηκότα. H.

μελάθρου] νῦν δοκοῦ. V.

281. καὶ Χλῶριν ἴδον] Νηλεὺς ὁ Ποσειδῶνος καὶ Τυροῦς παῖς ἐξελαθεὶς ὑπὸ Πελίου τοῦ ἀδελφοῦ τῆς Ἰωλκοῦ ἀφίκετο εἰς Μεσσήνην τῆς Πελοποννήσου. καὶ λαβὼν παρὰ ἐγχωρίων τὴν Πύλον κτίζει, καὶ γαμεῖ Χλῶριν τὴν Ἀμφίονος τοῦ Ἰάσου καὶ Φερσεφόνης τῆς Μινύου θυγατέρα, βασιλεύει τε οὐ μόνον τῶν Πυλίων, ἀλλὰ καὶ τῶν ἐν Ὀρχομενῷ καὶ γίνεται εὐδαιμονῶν. ἡ ἱστορία παρὰ Φερεκύδῃ. V.

283. Ἀμφίονος Ἰασίδαο] οὐ τοῦ Ζήθου ἀδελφοῦ· ἕτερος γὰρ οὗτος. B. ἕτερος οὗτος ὁ Ἀμφίων Ἀργεῖος ὁ Διός. V.

285. τὸ "ἠδὲ Πύλου" σύνδεσμος ἐπὶ Νηλέως ἀκουστέον, ὃς Ὀρχομενοῦ καὶ Πύλου ἐβασίλευσεν. οὕτως Ἀρίσταρχος· ὁ δὲ Ἡρωδιανὸς ἐπὶ Χλωρίδος φησὶν, ἀντιδιαστέλλων τῷ πατρὶ, καὶ ἐπὶ θηλειῶν δὲ τάσσει τὸ βασίλευε, "μητέρα δ', ἣ βασίλευεν" (Il. ζ, 425.). H

286. Νέστορα τε Χρόμιόν τε] ἐναντία φαίνεται ταῦτα τῷ "δώδεκα γὰρ υἷες ἦμεν." τρεῖς γὰρ εἴρηνται νῦν. λύοιτο δ' ἂν ἐκ τῆς λέξεως· ἐνταῦθα γὰρ ἐκ τῆς Χλωρίδος τρεῖς γενέσθαι τῷ Νηλεῖ φησί.

12. Χλῶριν] Hujus nominis tonum perspicere nondum potui, quod in dissyllabis formis ut apud Homerum fere Χλῶρις, in trisyllabis (vid. mox) Χλωρίδος, scribitur. Cf. Heyn. ad Apollod. 3, 5, 6. qui tamen male Χλωρίς citat ex Apollod. 1, 9, 9. ubi est Χλωρίδα: sed apud Pausaniam 2, 21. 5, 16. 10, 29. variat scriptura inter Χλῶρις et Χλωρίς. BUTTM.

13. ἐξελαθεὶς Eustath. p. 1684, 57. Scribebatur ἐξελασθείς, ut ἐξελασθῆναι ad λ, 14.

Μεσσήνην] Scribebatur Μεσήνην.

16. Μινύου Heynius ad Apollod. 1, 9, 9. pro Μίου.

20. σύνδεσμος] Nimirum alii, ut apparet ex Eustathio ad h. l. p. 1685, 59. scribebant ἡ δὲ, alii ἠδέ. BUTTM.

σύνδεσμος—ἐβασίλευσεν] Hæc verba leguntur etiam in Q.

ὃς Buttm. ὡς H. ᾧ Q.

21. Ἡρωδιανὸς] Qui ἡ δέ probaret.

www.libtool.com.cn

τί οὖν ἐκώλυε καὶ ἐξ ἑτέρων ἔχειν τοὺς λοιπούς; H. πῶς οὖν ἐν Ἰλιάδι (λ, 692.) "δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἷες ἦμεν;" ἐξ ἄλλων καὶ ἄλλοι, ἐκ Χλωρίδος δὲ τρεῖς. ἢ νῦν κατ' ἐξοχὴν τῶν τριῶν ἐμνήσθη, Χρομίου μὲν ὡς πρεσβυτάτου, Περικλυμένου δὲ ὡς ἀνδρειοτάτου, Νέστορος δὲ ὡς συνετωτάτου. V. δηλονότι οἱ δώδεκα παῖδες Νηλέως ἐκ διαφόρων ἦσαν. ὡς ἐξοχωτέρων τούτων μέμνηται, τοῦ μὲν Χρομίου ὡς πρεσβυτέρου, τοῦ δὲ Περικλυμένου ὡς γενναιοτέρου, τοῦ δὲ Νέστορος ὡς συνετοῦ. διὸ τὸ ἀγλαὰ προσέθηκεν. Q.T.

Περικλύμενόν τ' ἀγέρωχον] Ἡσίοδος τὸν Περικλύμενον διηγεῖται δῶρον εἰληφέναι παρὰ Ποσειδῶνος ὥστε ἀμείβειν ἑαυτὸν εἰς οἷον ζῴου ἢ δένδρου ἐθέλοι εἰκόνα. ἀγέρωχον οὖν ἀκουστέον νῦν τὸν ἄγαν ῥᾳδίως μεταφερόμενον καὶ μεταχεόμενον εἰς ὃ ἂν βούλοιτο. H.Q.V.

287. τοῖσι δ' ἐπ' ἰφθίμην Πηρὼ] Νηλεὺς ὁ Ποσειδῶνος ἔχων θυγατέρα Πηρὼ τοὔνομα κάλλει εὐπρεπεστάτην οὐδενὶ ταύτην ἐξεδίδου πρὸς γάμον, εἰ μὴ πρότερον ἐκ Φυλάκης τὰς τῆς μητρὸς Τυροῦς ἐλάσειέ τις βοῦς παρ' Ἰφίκλου. πάντων δὲ ἀπορουμένων Βίας ὁ Ταλαοῦ μόνος ὑπέσχετο δράσειν τοῦτο, καὶ πείθει τὸν ἀδελφὸν Μελάμποδα ῥέξαι τὸ ἔργον. ὁ δὲ, καίπερ εἰδὼς ἅτε δὴ μάντις ὅτι ἁλώσεται ἐνιαυτὸν, εἰς τὴν Ὄθρυν ἀφικνεῖται ἐπὶ τὰς βοῦς. οἱ φύλακες ἐνταῦθα καὶ οἱ βουκόλοι κλέπτοντα αὐτὸν λαμβάνουσι καὶ παραδιδόασιν Ἰφίκλῳ. καὶ δεθεὶς ἐφυλάσσετο παρεζευγμένων αὐτῷ θεραπόντων δύο, ἀνδρὸς καὶ γυναικός. καὶ ὁ μὲν ἀνὴρ αὐτὸν ἐπιεικῶς ἐθεράπευεν, ἡ δὲ γυνὴ φαυλότερον. ἐπεὶ δὲ ὁ ἐνιαυτὸς ὀλίγον πρὸς τὸ τελειωθῆναι περιῆει, Μελάμπους ἀκούει ὑπερθέν τινων σκωλήκων διαλεγομένων ὅτι καταβεβρώκοιεν τὴν δοκόν. καὶ τοῦτο ἀκούσας καλεῖ τοὺς διακόνους καὶ κελεύει αὐτὸν ἐκφέρειν, τῆς κλίνης λαμβανομένους

3. ἄλλοι Buttm. pro ἄλλων.

9. Ἡσίοδος] Fragmentum ipsum Catalogi e schol. Apollon. 1, 156. posuit Ruhnk. in Ep. Crit. I. p. 111. Conf. Heyn. ad Apollod. 1, 9, 9. BUTTM.

11. ἀκουστέον H. ἀναγνωστέον Q. Omisit V., novum ab ἀγέρωχον scholion inchoans.

12. μεταχεόμενον] Egregia derivatio ex ἄγαν, ῥέα, et χέω. BUTT.

13. Comparanda cum hoc scholio longa annotatio Eustathii p. 1685.

16. ὁ Ταλαοῦ] Immo ὁ Ἀμυθάονος: nam quod ait Sturzius intelligi debere nomen πατήρ, id nullo modo fieri potest. BUTTM.

19. Ὄθρυν] Certissima est Barnesii emendatio pro ὀφρήν vel ὀφρύν. Montem Othryn, Latinis masculinum, Græcis esse τὴν Ὄθρυν Hesiodi et Nicandri auctoritate probat idem. BUTTM.

26. λαμβανομένους Sturzius. λαμβανόμενος V.

www.libtool.com.cn

τὴν μὲν γυναῖκα πρὸς ποδῶν, τὸν δὲ ἄνδρα πρὸς κεφαλῆς. οἱ δὲ αὐτὸν ἀναλαβόντες ἐκφέρουσιν. ἐν τοσούτῳ δὲ καὶ ἡ δοκὸς κατακλᾶται καὶ ἐπιπίπτει τῇ γυναικὶ καὶ κτείνει αὐτήν. ὁ δὲ ἀνὴρ ἐξαγγέλλει τῷ Φυλάκῳ, ὁ δὲ Φύλακος Ἰφίκλῳ, τὰ γενόμενα. οἱ δὲ ἐλθόντες παρὰ τὸν Μελάμποδα ἐρωτῶσιν αὐτὸν τίς ἐστιν. ὁ δὲ ἔφη μάντις εἶναι. οἱ δὲ αὐτῷ τὰς βοῦς ὑπισχνοῦνται δώσειν, ἐὰν μηχανήν τινα εὕρῃ παίδων γενέσεως Ἰφίκλῳ. καὶ πιστοῦνται ταῦτα. ὁ δὲ Μελάμπους βοῦν ἱερεύσας τῷ Διὶ διαιρεῖ μοίρας πᾶσι τοῖς ὄρνισιν. οἱ δὲ ἔρχονται πάντες πλὴν ἑνὸς αἰγυπιοῦ. ὁ δὲ Μελάμπους ἐρωτᾷ πάντας τοὺς ὄρνιθας εἴ τις οἶδε μηχανὴν πῶς ἂν Ἰφίκλῳ γένοιντο παῖδες. ἀποροῦντες δὲ ἐκεῖνοι κομίζουσι τὸν αἰγυπιόν. οὗτος δὲ τὴν αἰτίαν ἐξ ἀπαιδίας σπορᾶς εὐθέως εὗρεν. διῶξαι γὰρ τὸν Φύλακον μετὰ μαχαίρας τὸν Ἴφικλον ἔτι νεογνὸν ὄντα διὰ τὸ ἰδεῖν αὐτὸν ἄτοπόν τι ποιοῦντα, ἔπειτα τὸν Φύλακον μὴ καταλαμβάνοντα πῆξαι τὴν μάχαιραν εἴς τινα ἄχερδον καὶ περιφῦναι αὐτῇ τὸν φλοιόν, τὸν δὲ Ἴφικλον διὰ τὸ δέος μηκέτι παῖδας ποιῆσαι. ἐκέλευσεν οὖν ὁ αἰγυπιὸς τὴν μάχαιραν τὴν ἐν τῷ ἀχέρδῳ κομίζειν καὶ ἀποσμήξαντα τὸν ἰὸν διδόναι ἀπ' αὐτῆς πιεῖν ἐν οἴνῳ δέκα ἡμέρας Ἰφίκλῳ· γενήσεσθαι δὲ αὐτῷ παῖδας ἐκ τούτου. ποιήσας δὲ ὁ Ἴφικλος τοῦτο τὴν γονὴν ἀναρρώννυσι καὶ ἴσχει Ποδάρκην παῖδα. καὶ δίδωσι τὰς βοῦς τῷ Μελάμποδι, ἃς λαβὼν καὶ ἀγαγὼν εἰς Πύλον δίδωσι Νηλεῖ ἔδνα τῆς Πηροῦς. καὶ λαμβάνει αὐτὴν τῷ ἀδελφῷ Βίαντι πρὸς γάμον. καὶ αὐτῷ γίνονται παῖδες Περιάλκης καὶ Ἄρητος καὶ Ἀλφεσίβοια. ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ ἐν τῇ ἑβδόμῃ. V.

288. περικτίται] οἱ περιοικοῦντες. V.

οὐδέ τι Νηλεύς] Ἀρίσταρχος, οὐδ' ἄρα. H.

290. ἐκ Φυλάκης ἐλάσειεν] ἐκ Φυλάκης τῆς ἐν Θεσσαλίᾳ πόλεως Τυρὼ ἦλθε παρὰ Δηϊονέα τὸν θεῖον. ὁ δὲ κατασχὼν αὐτὴν εἰς Θεσσαλίαν δίδωσι Κρηθεῖ τῷ ἀδελφῷ ἤδη ἐκ Ποσειδῶνος ἐσχηκυῖαν

12. ἐξ ἀπαιδίας σπορᾶς] τῆς ἄπαιδος σπορᾶς Buttm.

διῶξαι Struvius pro διώξας.

18. γενήσεσθαι Buttm. pro γεννῆσαι.

20. τῷ Μελάμποδι—τῷ ἀδελφῷ] Lacunose olim: τῷ Μελάμποδι. ἃς λαμβάνει τῷ ἀδελφῷ. Supplevit e MS. Barnesius, nisi quod verba καὶ ἀγαγὼν ex Eustathio nunc addidimus. BUTTM.

23. Περιάλκης] Περιαλκὴς V. Recto accentu ap. Eustath. p. 1685, 46.

26. Ἀρίσταρχος] Ἀριστοφάνης Nitzschius vol. 3. p. 241.

27. ἐκ Φυλάκης τῆς ἐν Θ. πόλεως om. Q.

Νηλέα καὶ Πελίαν. ὁ τοίνυν Νηλεὺς Ἴφικλον τὸν Φυλάκου τοῦ Δηϊονέως ἀπῄτει τὰ τῆς μητρός. καὶ ὃς οὐκ ἀπεδίδου. Μελάμπους δὲ ὁ Ἀμυθάονος ὑπὸ δρακόντων τὰ ὦτα καθαρθεὶς, ὡς καὶ τῶν ἀλόγων ἐπακούειν ζῴων, τὰς Ἰφίκλου βοῦς ἀπελαύνων ὑπὲρ τοῦ γῆμαι Πηρὼ τὴν Νηλίως Βίαντα τὸν ἀδελφὸν αὐτοῦ, συλληφθεὶς καὶ εἰς εἱρκτὴν ἐμβληθεὶς κατακούσας τε διαλεγομένων σκωλήκων ὀλίγον ἔτι ἀπέχεσθαι τῆς δοκοῦ, ἐκέλευσεν ἐκκομισθῆναι. τοῦ δὲ οἰκήματος κατενεχθέντος μαθὼν ὁ Ἴφικλος ὑπισχνεῖται τῷ Μελάμποδι τὰς βοῦς, εἴ γε τῆς ἀτεκνίας αὐτὸν διὰ τῆς τέχνης παύσειε. ὁ δὲ Μελάμπους παρ' αἰγυπιοῦ μαθὼν τὴν αἰτίαν, καὶ ἀναζητήσας ἐκείνην τὴν μάχαιραν ἀχέρδου φλοιῷ κεκαλυμμένην, ἣν ἐπήνεγκε Φύλακος τῷ Ἰφίκλῳ ἐπὶ τῶν ἀγρῶν ἐκτέμνοντι τὰ τετράποδα, θύσας τε θεοῖς τοῖς μηνίουσιν ὑπὲρ τῆς τῶν τετραπόδων εὐνουχίας, τὸν Ἴφικλον ἀπεφήνατο πατέρα Πρωτεσιλάου καὶ Ποδάρκους. H.V.

μετὰ θάνατον Σαλμωνέως Τυρὼ κομιζομένη παρὰ Δηΐονι τῷ θείῳ κορεύεται ὑπὸ Ποσειδῶνος. ὁ δὲ Κρηθεῖ τῷ ἀδελφῷ δίδωσιν αὐτήν. αὐξηθεὶς δὲ Νηλεὺς ἀπῄτει Ἴφικλον τὸν Δηϊονέως τὰ τῆς μητρός. τοῦ δὲ μὴ ἀπονέμοντος ὑπέσχετο τὸν γάμον θυγατρὸς τῷ δυναμένῳ ἀπαιτῆσαι. Μελάμπους δὲ ὁ Ἀμυθάονος πειρώμενος ἀπελάσαι τὰς βοῦς ἠγρεύθη. καὶ περὶ παιδοποιίας μαντευσάμενος Ἰφίκλῳ δέχεται τὰς βοῦς. ὁ γὰρ Ζεὺς εἶπε τῷ μάντει ὅτι κρατηθῆναι μέλλει ὑπὸ τοῦ Ἰφίκλου. H.Q.

Ἴφικλος υἱὸς ὢν τοῦ Ἡρακλέους βοῦς ἔβοσκεν ἰσχυρὸς τυγχάνων τὴν ῥώμην τοῦ σώματος. ὁ γοῦν Νηλεὺς θυγατέρα ἔχων ὡραίαν τὴν καλουμένην Πηρὼ ἔλεγε δοῦναι ταύτην τῷ κατισχύσαντι ἐξελάσαι τὰς βοῦς τῆς ἰσχύος τοῦ Ἰφικλέους. Q.

291. ἀργαλέας] χαλεπὰς, δυσκόλους. ἀπὸ τοῦ περιέχοντος δὲ ἔξωθεν πράγματος αὐτὸ τὸ περιεχόμενον ἐπωνόμασεν. ἀργαλέαι γὰρ οὐκ αὐταὶ αἱ βόες, ἀλλ' αἱ περὶ αὐτὰς πραγματεῖαι καὶ σπουδαί. B.V.

297. Διὸς δ' ἐτέλεσσεν ἐφετμήν] γράφεται, Διὸς δ' ἐτελείετο βουλή. B.

8. ὁ Ἴφικλος] ὁ Ἰφικλῆς H. Porro ex H. enotatum ad hoc scholion ἤθελε γὰρ αὐτὴν γαμηθῆναι Βίαντι.

16. κορεύεται correctum ex Eustathio p. 1685, 6. pro κουρεύεται. Est idem quod διακορεύεται.

17. Δηϊονέως H. δήϊον εἰς Q.

19. Μελάμπους Buttm. μετὰ λάμπους H. μετὰ μελάμποδος Q.

23. Ἡρακλέους] ἡρακλέως Q.

www.libtool.com.cn

Διὸς δ' ἐτελείετο βουλὴ] ὁ γὰρ Ζεὺς εἶπε τῷ μάντει ὅτι κρατηθῆναι μέλλει ὑπὸ τοῦ Ἰφίκλου. H.

298. Πλευρωνία μὲν ἡ Λήδα ἡ Θεστίου, ἐν Λακεδαίμονι δὲ ἐγαμήθη. H.

καὶ Λήδην εἶδον τὴν Τυνδάρεως παράκοιτιν] Ζεὺς Λήδας ἐρασθεὶς τῆς Θεστίου παιδὸς εἰς κύκνον ἑαυτὸν μετέβαλε καὶ διαπτὰς ἐμίγη αὐτῇ. μετὰ χρόνον δὲ ἐκείνη τεκοῦσα ᾠὸν ἀποτίθεται εἰς λάρνακα, ὅθεν συνέβη τούς τε Διοσκούρους καὶ τὴν Ἑλένην γενέσθαι, γόνῳ μὲν Διός, ἐπίκλησιν δὲ Τυνδάρεω. ἡ δὲ ἱστορία παρὰ τοῖς νεωτέροις. Q.T.V.

τὴν Τυνδαρέου] σημείωσαι· οὐ Τυνδαρέου ὀφείλει γράφειν, ἀλλὰ Τυνδάρεω. Cod. Vind. 133.

299. ἦ ῥ' ὑπὸ Τυνδάρεω] παροξυτόνως τὸ Τυνδάρεω, ἀκολούθως τῷ "οὐχ ὡς Τυνδάρεω κούρη κακὰ μήσατο" (Od. ω, 199.). H.Q.

μετὰ δὲ τὸ γαμηθῆναι τῷ Τυνδάρεῳ τέτοκε τοὺς Διοσκούρους, ἐκ μὲν Διὸς Πολυδεύκην, ἐκ δὲ Τυνδάρεω Κάστορα. Q.

3. Πλευρωνία—ἐγαμήθη] Conf. Eustath. p. 1686, 19.

5. Τυνδάρεως] Sic V. in ed. antiquis. Nam in recentt. correctum Τυνδαρέου (vid. not. sq.), codex Q. autem lemma habet e versu 301. BUTTM. τυνδαρέου T.

8. γόνῳ] γόνον Q.

9. ἡ δὲ ἱ. π. τ. ν. om. Q.T.

11. Τυνδάρεω] Sic per ω, et sine ι, et proparoxytone, hic in lemmate, et mox bis ex Homeri verbis, in dativo pariter atque in genitivo scriptum hoc nomen, cum in Homeri exemplis vulgatis hic et in loco allato ω, 199. prostet Τυνδαρέου, Τυνδαρέῳ. Nihilominus autem additum, ut vides παροξυτόνως. Eademque omnia refert Porsonus ex H. additque, "sed voluit fortasse προπαροξυτόνως:" quod mendum sane non infrequens in his scholiis. In textu cod. P. est τὴν Τυνδαρέου et ὑπὸ Τυνδαρέῳ (nam ι dativi semper ibi omittitur); et sic in textu omnes quorum scriptura innotuit codices, etiam ille Vindob. cujus scholium hic posui, et ipse H. in quo dativus solus per emendationem scriptus est proparoxytone. Quod autem ait Porsonus *quinquies* scholiasten scripsisse Τυνδαρέῳ, id eo spectat, quod alia observatio quam seorsim proxime exhibemus (Μετὰ δέ), sicut in cod. Q. ita sine dubio in cod. H. quoque, huic de nominis forma observationi statim adhæret. BUTTM. Ex Eustathii annotatione statim apponenda colligi potest scribendum esse παροξυτόνως τὸ Τυνδαρέω—ὡς Τυνδαρέου etc.

ἀλλὰ scripsi pro ἀλλ' ἦ. Eustath. p. 1686, 23. Τυνδάρεω, ὃν Ὅμηρος μὲν κοινῶς κλίνει, καθὰ δηλοῖ τὸ "Τυνδαρέου παράκοιτιν," ὡς Πανδαρέου, καὶ τὸ "ὑπὸ Τυνδαρέῳ" παροξυτόνως λεχθέν. οἱ μέντοι μεθ' Ὅμηρον Ἀττικοὶ Τυνδάρεων προπαροξυτόνως φασὶν, ὡς Μενέλεων. οὕτω δὲ καὶ τὸν Πηνέλεων Ἀττικοὶ μὲν διὰ μακρᾶς ληγούσης προάγουσι καὶ προπαροξυτονοῦσι κατὰ πᾶσαν τὴν κλίσιν, ὁ δὲ ποιητὴς κοινότερον προφέρει, ὡς δηλοῖ καὶ τὸ "Πηνελέοιο ἄνακτος."

14. τῷ H. τὸ Q.

www.libtool.com.cn

300. Κάστορα—καὶ—Πολυδεύκεα] ὅτι οὐ παραδίδωσιν ἐκ Διὸς Κάστορα καὶ Πολυδεύκην, ἀλλ' ἐστὶ νεωτερικὰ ταῦτα. H. τούτων ὁ μὲν Πολυδεύκης ἀπὸ τοῦ θείου σπέρματος ἱστορεῖται γενέσθαι, ὁ δὲ Κάστωρ ἀπὸ Τυνδάρεω. V.

302. τιμὴν πρὸς Ζηνὸς ἔχοντες] ἀναιρεθέντος Κάστορος ὑπὸ Μελεάγρου ἢ Πολυνείκους, Πολυδεύκης ἄφθαρτος ὢν διὰ τὸ ἐκ Διὸς γεγονέναι, παρεκάλεσε τὸν πατέρα ὅπως ἐπιτρέψῃ αὐτῷ νείμασθαι πρὸς τὸν ἀδελφὸν τὴν ἀφθαρσίαν, ὥστε παρ' ἡμέραν ἀμφοτέρους ὁτὲ μὲν ἐν Ὀλύμπῳ διατρίβειν, ὁτὲ δὲ ἐν Ἀϊδωνέως. H.Q.V.

παρὰ Ζηνός] γρ. πρός. H.

303. ἑτερήμεροι] ἑτέραν παρ' ἑτέραν ἡμέραν οἱ δύο ἅμα, ἢ μίαν παρὰ μίαν ἡμέραν ζῶσι. τοῦτο δέ φησιν ἐπεὶ αὐτοί εἰσιν οἱ δίδυμοι καὶ γινόμενοι ὑπὸ γῆν δοκοῦσι τεθνάναι, ἀνατέλλοντες δὲ δοκοῦσι ζῆν. ἡμέραν δὲ ἐκάλεσε καὶ νύκτα· ἀεὶ γὰρ ἐν φωτί εἰσι τὰ θεῖα. τοῦτο δὲ πάσχειν τοὺς θεοὺς ᾐτήσαντο διὰ τὴν πρὸς ἀλλήλους ἄκραν φιλίαν. ἡ δὲ αἴτησις πρώτως ἐκ τοῦ Πολυδεύκους προήχθη ἀφθάρτου τυγχάνοντος ὑπὸ θεῶν. B.Q.

308. τηλεκλειτόν τ' Ἐφιάλτην] περιβόητον ἐπ' ἀνδρείᾳ ἢ ἐπὶ βλασφημίᾳ. διὰ δὲ τοῦ π τὸ ὄνομα. H.

309. μηκίστους] καὶ πῶς ὁ Τιτυὸς ἐπ' ἐννέα κεῖτο πέλεθρα (577.) ἐν Ἅιδου; γηγενὴς ἐκεῖνος, τούτους δὲ ἀντεξισάζει ἀνθρώποις. H.V.

ζείδωρος ἄρουρα] ἡ τὰ τινὸς ζωὴν δωρουμένη γῆ. Q.

ἡ σύγκρισις πρὸς ὁμογενεῖς καὶ ἐκ γυναικῶν, ὁ δὲ Τιτυὸς γῆς· ἢ ὅτι ἐννέα ἦσαν μόνον ἐνιαυτῶν. αὐξηθέντες οὖν ὑπερέβαλλον ἂν καὶ Τιτυόν· "καὶ γὰρ ἐν ἀθανάτοισιν ἀπειλήτην ἐν Ὀλύμπῳ φυλόπιδα στήσειν, καὶ Ὄσσαν ἐπ' Ὀλύμπῳ μέμασαν θέμεν," καὶ τὰ ἑξῆς. Πίνδαρος δὲ ἐν Νάξῳ τὰ κατ' αὐτοὺς ἱστορεῖ γεγονέναι· "ἐν Νάξῳ

1. ὅτι οὐ παραδίδωσιν—] Eustath. p. 1686, 22. τούτων κατὰ τοὺς νεωτέρους Πολυδεύκης μὲν θείου αἵματος λέγεται εἶναι, Κάστωρ δὲ θνητοῦ· τοῦ Τυνδάρεω γάρ.

5. Μελεάγρου] μελεάτρου H.

10. παρὰ] Sic H.M. in textu; sed debuerunt πὰρ, quod habet N.

11. ἢ additum ex V. qui prima scholii verba habet.

13. τεθνάναι] Scribebatur τεθνᾶναι. ἀνατέλλοντες δὲ Buttm. pro ἀνατέλλοντες δὲ ὑπὸ γῆν.

19. διὰ δὲ τοῦ π] De scriptura nominis Ἐπιάλτης dixit Meinek. Hist. Com. Græc. p. 153.

20. καὶ πῶς] τί οὖν V.

21. ἐν Ἅιδου addidi ex H. Similis est annotatio Eustathii p. 1687, 43.

27. Πίνδαρος] Pyth. 4, 156.

www.libtool.com.cn

μὲν φαντὶ θανεῖν Ἰφιμεδείας παῖδας, Ὦτον καὶ σὲ, τολμήεις Ἐπιάλτα." H.

311. ἐννέωροι] ἐννέα ὡρῶν ἤτοι χρόνων. H. ἐννεάχρονοι γὰρ γενόμενοι, φησὶν, ἦσαν καὶ ἐννεαπήχεις κατὰ τὸ εὖρος, κατὰ δὲ τὸ μῆκος ἐννεαόργυιοι. ἐννόησον οὖν ἐκ τούτου, εἴπερ ἂν εἰς μέτρον ἡλικίας ἵκοντο (317.), ὁποῖοι ἔμελλον ἔσεσθαι. ὑπερέβαλον πάντως ἂν τὸν Τιτυὸν, ὃς ἐννέα πλέθρων ἦν τὸ μῆκος, καὶ τὸν Ὠρίωνα. B.

312. ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυοι] δαιμόνιος ἡ ἀκρίβεια. ἀνάλογον γὰρ σῶμα οὗ τὸ πλάτος τρίτον ἐστὶ τοῦ μήκους. V. ἐννέα ὀργυιῶν. ὀργυιὰ δέ ἐστιν ἡ τῶν χειρῶν ἔκτασις. V.

313. ἐν μὲν Ὀλύμπῳ ἠπείλουν τὴν μάχην ποιεῖν, μετὰ δὲ ταύτην ὄρος ὄρει περιβαλεῖν καὶ κρατεῖν τοῦ Ὀλύμπου. ἀντὶ τοῦ παρὰ Ὀλύμπῳ, ἵνα ἐξ ἴσου πολεμῶσιν, οἱ μὲν ἐξ Ὀλύμπου, οἱ δὲ ἐξ Ὄσσης· μετὰ δὲ ταύτην ὄρος ὄρει περιβαλεῖν καὶ κρατεῖν τοῦ οὐρανοῦ. H.

ἀπειλήτην] μετάθεσις τοῦ ε εἰς τὸ η, ἀπειλήτην ὡς δορπήτην. H.

ἀπειλείτην] διεβεβαιοῦντο. V.

315. Ὄσσαν ἐπ' Οὐλύμπῳ] ἵν' ἐξ ἴσου μεγέθους πολεμῶσι. ἀθετοῦνται δὲ ὡς ἀδύνατοι. ἀλλὰ μέμασαν, φησὶν, οὐκ ἔπραττον δέ. V.

317. καί νύ κεν ἐξετέλεσσαν] εἶτα πῶς οὐ ληρῶδες διστάζειν ὅλως εἰς τοῦτο τὸν ποιητήν; ἀλλ' ἔοικεν ὁ ποιητὴς τὰ ἀδύνατα τοῖς ἀδυνάτοις συμπλέκων ἀναιρέσει ἀναγκαίᾳ τοσοῦτον ἀναιρεῖν καὶ τὸ πρῶτον, ὥσπερ εἰ λέγοις ὅτι ἐπετάσθησαν· πτέρυγας ἄρα εἶχον· ἀλλὰ μὴν πτέρυγας οὐκ ἔσχον· οὐκ ἄρα ἐπετάσθησαν. οὕτως οὖν καὶ νῦν συνελογίσατο, ἐξετέλεσαν ἂν εἰ ἤβησαν. ἀλλ' ὥσπερ ἀδύνατον ἡβῆσαι τοὺς θεομάχους, οὕτω καὶ τὸ τελέσαι τὸν τοιοῦτον πόλεμον. H.Q.

1. Ὦτον—τολμήεις] ὥστε—τολμήσεις H. Correctum ex Pindaro, ubi recte τολμάεις.

8. δαιμόνιος ἡ ἀκρίβεια] Ad hoc scholion respicit Eustath. p. 1688, 1.

9. τρίτον Eustathius. τέταρτον V.

16. του ε] τῆς ει potius dicere debebat. De utraque scriptura, ἀπειλείτην et ἀπειλήτην, dixit Eustath. p. 1688, 4.

18. In B. est scholion ex Eustathio p. 1688, 9. adscriptum, ὄνομα ὄρους. Ὄσσα δὲ καὶ Πήλιον ὄρη Θετταλικὰ ἐγγίζοντα τῷ Ὀλύμπῳ ὄρει Μακεδονικῷ. εἰσὶ δὲ καὶ ἐν Πελοποννήσῳ ὁμώνυμα ὄρη καθὰ καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δεδήλωται.

ἀθετοῦνται] Conf. Eustath. p. 1687, 28.

19. ὡς ἀδύνατοι] Vid. Lehrs. Aristarch. p. 175. a quo dissentit Nitzschius vol. 3. p. 249.

23. λέγοις H. λέγει Q.

26. τὸ τελέσαι H. ὅτε λέγει Q.

www.libtool.com.cn

318. ἀλλ' ὄλεσεν Διὸς υἱός] οἱ νεώτεροί φασι τὴν Ἄρτεμιν ἔλαφον πέμψαι δι' αὐτῶν, τοὺς δὲ ἐκείνην βουλομένους ἀνελεῖν ἑαυτοὺς φονεῦσαι. Q.V.

319. ἰούλους] ἴουλοι παρ' ὅσον οἱ φύοντες αὐτοὺς ἄρχονται ἐπὶ τὸ ὅλον ἰέναι, ὅ ἐστι τὸ τέλειον. B.H. τὰς κατὰ τῶν γενείων πρώτας τρίχας ἰούλους λέγει, διὰ τὸ τοὺς ἤδη ταύτας ἔχοντας ἄρχεσθαι ἰέναι ἐπὶ τὸ ὅλον, ὅ ἐστι τὸ τέλειον. Q.V.

320. γένυς] πληθυντικῶς αἰτιατικῆς ὡς τὸ "ἐκ δὲ νέκυς οἴκων φόρεον" (Od. ω, 417.). H.

321. Φαίδρην τε] Θησεὺς ὁ Αἰγέως ἔχων παῖδα Ἱππόλυτον ἐξ Ἀμαζόνος Ἀντιόπης ἔγημε Φαίδραν τὴν Μίνωος θυγατέρα τοῦ τῶν Κρητῶν βασιλέως. εὐλαβούμενος δὲ μητρυιᾶς ἐπιβουλὴν πέμπει ἐξ Ἀθηνῶν τὸν υἱὸν Ἱππόλυτον Τροιζηνίων ἄρχειν. ἦν γὰρ αὐτῷ διὰ τὴν Πιτθέως Αἴθραν μητρώα τις ἀρχὴ δεῦρο. Φαίδρα δὲ ἐρωτικῶς διατεθεῖσα τοῦ Ἱππολύτου, σφοδρῶς ἐπ' αὐτῷ τηκομένη τὸ μὲν πρῶτον ἱερὸν Ἀφροδίτης ἐν Ἀθήναις ἱδρύσατο τὸ νῦν Ἱππολύτειον καλούμενον, εἰς Τροιζῆνα δὲ ὕστερον παραγενομένη διενοεῖτο πείθειν τὸν νεανίσκον ὅπως αὐτῇ μιγείη. χαλεπῶς δ' ἐκείνου προσδεξαμένου τὸν λόγον λέγεται φοβηθεῖσαν αὐτὴν ἀντιστρέψαι τὴν αἰτίαν, καὶ πρὸς Θησέα διαβάλλειν ὡς Ἱππολύτου πείθοντος αὐτήν. ὁ δὲ τριῶν, ὥς φασιν, αὐτῷ παρὰ τοῦ Ποσειδῶνος εὐχῶν οὐσῶν, ὁμολογήσαντος ὅ τι ἂν εὔξηται συντελέσειν, πιστεύσας τῇ Φαίδρᾳ μίαν τούτων ᾐτήσατο παρ' αὐτοῦ τὸν τοῦ παιδὸς ὄλεθρον. ἐκεῖνον μὲν οὖν λέγουσι τὸ ἅρμα γυμνάζοντα, παραφανέντος ἐξαίφνης ἀπὸ τῆς θαλάσσης ταύρου καὶ ταραχθέντων τῶν ἵππων, ἑλκόμενον ἀποθανεῖν, τὴν δὲ Φαίδραν φανερᾶς γενομένης τῆς διαβολῆς ἀπάγξασθαι. ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ. V.

Πρόκριν τε] Πρόκριν Ἐρεχθέως ὁ Κέφαλος ἀνὴρ ἀνεῖλεν ὡς ἐπὶ

2. πέμψαι] ἐᾶσαι V.

τοὺς δὲ—φονεῦσαι Q. τοὺς δὲ (εἰς addit Barnes.) τὴν ἔλαφον ἀφέντας ἀλλήλους διαχρήσασθαι V.

7. ὅ ἐστι τὸ τέλειον] ὅθεν τὸ τέλειον λέγει V.

19. φοβηθεῖσαν Barnes. pro βοηθεῖσαν.

21. οὐσῶν, ὁμολογήσαντος Buttm. pro εἶναι ὡμολόγησεν.

23. παρ' αὐτοῦ τὸν τοῦ π. Buttm. pro παρὰ τοῦ π.

λέγουσι Buttm. pro ὁμολογοῦσι.

26. φανερᾶς] φανερῶς V.

27. Ἀσκληπιάδῃ] Tragilensi in Muelleri Fragm. Hist. vol. 3. p. 305.

28. ὁ Κέφαλος Cramerus pro ὁ κεφάλου. Articulus autem potius post Κέφαλος collocandus.

www.libtool.com.cn

θηρὸς τὸ δόρυ καθείς. Η. Πρόκρις Ἐρεχθέως θυγάτηρ Κέφαλον τὸν ἑαυτῆς ἄνδρα συνεχῶς ἐπὶ θήραν ἐπιόντα ἐτήρει λαθραίως διὰ ζηλοτυπίαν. ὁ δὲ Κέφαλος, νομίσας εἶναι θηρίον ἀπὸ τοῦ τῆς ὕλης κτύπου, ἔλαβεν αὐτὴν Πρόκριν κατακοντίσας. V.

Κέφαλος ὁ Δηϊονέως γήμας Πρόκριν τὴν Ἐρεχθέως ἐν τῇ Θορικίων κατῴκει. θέλων δὲ τῆς γυναικὸς ἀποπειρᾶσθαι ἔρχεται εἰς ἀποδημίαν ἐπὶ ἔτη ὀκτὼ καταλιπὼν αὐτὴν ἔτι νύμφην οὖσαν. ἔπειτα κατακοσμήσας καὶ ἀλλοειδῆ ἑαυτὸν ποιήσας ἔρχεται εἰς τὴν οἰκίαν ἔχων κόσμον, καὶ πείθει τὴν Πρόκριν δέξασθαι τοῦτο καὶ συμμιγῆναι αὐτῷ. ἡ δὲ Πρόκρις ἐποφθαλμίσασα τῷ κόσμῳ καὶ τὸν Κέφαλον ὁρῶσα κάρτα καλὸν συγκοιμᾶται αὐτῷ. ἐκφήνας δὲ ἑαυτὸν ὁ Κέφαλος αἰτιᾶται τὴν Πρόκριν. οὐ μὴν ἀλλὰ καταλλαγεὶς ἐξέρχεται ἐπὶ θήραν. πυκνῶς δὲ αὐτοῦ τοῦτο δρῶντος ὑπώπτευσεν ἡ Πρόκρις ὅτι μίσγεται γυναικὶ ἑτέρᾳ. προσκαλεσαμένη οὖν τὸν οἰκέτην ἔλεγεν εἰ σύνοιδεν. ὁ δὲ θεράπων ἔφη τὸν Κέφαλον ἰδεῖν καί τινος ὄρους κορυφὴν, καὶ λέγειν συχνῶς, ὦ νεφέλη παραγενοῦ, καὶ τοῦτο μόνον συνειδέναι. ἡ δὲ Πρόκρις ἀκούσασα ἔρχεται εἰς ταύτην τὴν κορυφὴν καὶ κατακρύπτεται. καὶ τὸ αὐτὸ λέγοντος αὐτοῦ πυθομένη προστρέχει πρὸς αὐτόν. ὁ δὲ Κέφαλος ἰδὼν αὐτὴν αἰφνιδίως ἔξω ἑαυτοῦ γίνεται, καὶ ὥσπερ εἶχε βάλλει μετὰ χεῖρα ἀκοντίῳ τὴν Πρόκριν καὶ κτείνει. μεταπεμψάμενος δὲ τὸν Ἐρεχθέα θάπτει πολυτελῶς αὐτήν. ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ ἐν τῇ ἑβδόμῃ. V.

καλήν τ' Ἀριάδνην] Ἀριάδνη Μίνωος θυγάτηρ, γυνὴ Θησέως, ἐξ ἧς Δημοφῶν καὶ Ἀκάμας. Q.V.

322. Μίνωος ὀλοόφρονος] Θησεὺς ὁ Αἰγέως λαχὼν μετὰ τῶν ἡϊθέων εἰς Κρήτην πλεῖ τῷ Μινωταύρῳ παρατεθησόμενος πρὸς ἀναί-

5. Κέφαλος] Ex alio ad hunc locum scholio excerpta sunt quæ leguntur in Etym. M. p. 507, 26. Κεφαλληνία· ἀπὸ Κεφάλου τινός· ὃς ἀκουσίως ἀνελὼν Πρόκνην τὴν Ἐρεχθέως μητέρα ἔξεισι τῆς Ἀττικῆς, καὶ σὺν Ἀμφιτρύωνι στρατεύεται κατὰ Τηλεβόων· ἔπειτα δὲ ἐκ Λυσίππης ἔσχεν Σαμαῖον καὶ Κράνεων καὶ Παλαίων· ἀφ' ὧν οἱ ἐν τῇ Κεφαλληνίᾳ Πρόνοοι, Σαμαῖοι, Κράνειοι, Παλεῖς, προσηγορεύθησαν. οὕτως Ἐπαφρόδιτος ἐν ὑπομνήματι τῆς Ὀδυσσείας. Apud Thucyd. 2, 30. Παλῆς, Κράνιοι, Σαμαῖοι, Προναῖοι.

τῇ Θοριέων] Nomen corruptum, quod qui in Θορικῷ mutabat Buttm., etiam τῇ in τῷ mutare debebat. Omisit qui hanc fabulam narrat Eustath. p. 1688, 20.

8. ἔρχεται Buttm. pro λέγεται.

22. Φερεκύδῃ] Conf. et Antonin. Lib. c. 16. BUTTM.

www.libtool.com.cn

ρεσιν. ἀφικομένου δὲ αὐτοῦ ἐρωτικῶς πρὸς αὐτὸν διατεθεῖσα ἡ τοῦ Μίνωος θυγάτηρ Ἀριάδνη δίδωσιν ἀγαθίδα μίτου λαβοῦσα παρὰ Δαιδάλου τοῦ τέκτονος, καὶ διδάσκει αὐτὸν, ἐπειδὰν εἰσέλθῃ, τὴν ἀρχὴν τῆς ἀγαθίδος ἐκδῆσαι περὶ τὸν ζυγὸν τῆς ἄνω θύρας καὶ ἀνελίσσοντα ἰέναι μέχρις ἂν ἀφίκηται εἰς τὸν μυχὸν, καὶ ἐὰν αὐτὸν καθεύδοντα μάρψῃ, κρατήσαντα τῶν τριχῶν τῆς κεφαλῆς τῷ Ποσειδῶνι θῦσαι καὶ ἀπιέναι ὀπίσω ἀνελίσσοντα τὴν ἀγαθίδα. ὁ δὲ Θησεὺς λαβὼν τὴν Ἀριάδνην εἰς τὴν ναῦν ἐμβάλλεται καὶ τοὺς ἠϊθέους καὶ παρθένους οὐδέπω φθάσαντας τῷ Μινωταύρῳ παρατεθῆναι. καὶ ταῦτα ποιήσας νυκτὸς μέσης ἀποπλεῖ. προσορμίσας δὲ τῇ Δίᾳ νήσῳ ἐκβὰς ἐπὶ τῆς ἠϊόνος μετακοιμᾶται. καὶ αὐτῷ ἡ Ἀθηνᾶ παραστᾶσα κελεύει τὴν Ἀριάδνην ἐᾶν καὶ ἀφικνεῖσθαι εἰς Ἀθήνας. συντόμως δὲ διαναστὰς ποιεῖ τοῦτο. κατολοφυρομένης δὲ τῆς Ἀριάδνης ἡ Ἀφροδίτη ἐπιφανεῖσα θαρρεῖν αὐτῇ παραινεῖ· Διονύσου γὰρ ἔσεσθαι γυναῖκα καὶ εὐκλεῆ γενέσθαι. ὅθεν ὁ θεὸς ἐπιφανεὶς μίσγεται αὐτῇ καὶ δωρεῖται στέφανον αὐτῇ χρυσοῦν, ὃν αὖθις οἱ θεοὶ κατηστέρισαν τῇ τοῦ Διονύσου χάριτι. ἀναιρεθῆναι δὲ αὐτὴν ὑπ' Ἀρτέμιδος προεμένην τὴν παρθενίαν. ἡ ἱστορία παρὰ Φερεκύδῃ. V.

κούρην Μίνωος ὀλοόφρονος] καὶ πῶς "Μίνωα εἶδον Διὸς ἀγλαὸν υἱόν" (568.); ἢ τὸν κατὰ τῶν ἀσεβῶν ὀλοόφρονα, ὡς ἀλάστορα τὸν κατὰ τῶν ἀλαστόρων. ὀλοόφρονος οὖν, τοῦ ὀλοὰ τοῖς ἀδίκοις φρονοῦντος. ἢ τοῦ τέλεια φρονοῦντος. Q. πῶς οὖν θεμιστεύει ἐν τοῖς νεκροῖς ὀλοόφρων ὤν; φησὶ Κράτης ὅτι ἕτερον τὸν ἐν Ἅιδου δικάζοντα καὶ ἄλλον τὸν λεγόμενον. T.

324. οὐδ' ἀπόνητο] τινὲς ἐτέλεσεν γρ. H. ἤτοι ἐπέσχε θανάτῳ διὸ λέγει, οὐδ' ἀπόνητο αὐτῆς, ἤτοι οὐκ ἐκορέσθη αὐτῆς, ἐπεὶ ἀπέθανεν. B. οὐδ' ἀπώνατο. συστέλλεται δὲ διὰ τὸ μέτρον. B.

Ἄρτεμις ἔκτα] Ἀριστοφάνης γράφει, Ἄρτεμις ἔσχεν. H.

ἔσχεν] νῦν ἀντὶ τοῦ ἀνεῖλεν. γράφεται καὶ, ἔκτα. V.

2. μίτου] Buttm. μίλτου V.

22. τέλεια] Nimirum ut scribatur ὀλοόφρονος, quod in lemmate scholii præcedentis habent editiones veteres. Vid. schol. α, 52. κ, 137. BUTTM.

25. τινὲς ἐτέλεσεν γρ.] Hanc notationem in margine H. positam recte ad ἀπόνητο retulisse videtur Porsonus. Videntur igitur fuisse qui ἐτέλεσσε scriberent, nisi ἐτέλεσε glossema est.

ἐπέσχε θανάτῳ] Sic etiam Eustath. p. 1688, 17. Spectat ad ἔσχε pro ἔκτα lectum.

28. ἔκτα] ἔκταν V. ἔσχε in textu habet M., sed in margine γρ. καὶ ἔκτα.

www.libtool.com.cn

325. Δίῃ ἐν ἀμφιρύτῃ] Δία νῆσος πρὸς τῇ Κρήτῃ, ἥτις νῦν Νάξος καλεῖται. ἱερὰ δὲ αὕτη τοῦ Διονύσου. Q.V.

Διονύσου μαρτυρίῃσιν] καταμαρτυρίαις, κατηγορίαις. ἐπεὶ ἀσέβειαν αὐτῆς κατεμαρτύρησεν ὡς ἐν τῷ ἄλσει μιγείσης τῷ Θησεῖ. διαφωνοῦσι δὲ οἱ νεώτεροι πρὸς Ὅμηρον περὶ τῆς Ἀριάδνης, λέγοντες αὐτὴν ἐν Νάξῳ καταλειφθεῖσαν γεγαμῆσθαι τῷ Διονύσῳ. B.Q. ἐπεὶ κατεμαρτύρησεν αὐτῆς ἀσέβειαν μιγείσης ἐν τῷ τεμένει αὐτοῦ τῷ Θησεῖ. οἱ δὲ νεώτεροί φασι καταλειφθεῖσαν αὐτὴν ὑπὸ Θησέως ἁρπαγῆναι ὑπὸ τοῦ Διονύσου. V.

326. Μαῖράν τε] Φερεκύδης ἐκ Μαίρας καὶ Διὸς τὸν Λοκρὸν εἶναί φησί. Gl. H. παρθένος ἀπέθανεν ἡ Μαῖρα. ἔστι δὲ Προίτου καὶ Ἀντείας θυγάτηρ· ἡ δὲ Κλυμένη Μινύου θυγάτηρ καὶ Εὐρυάλης. H.T. Μαῖρα Προίτου καὶ Ἀντείας θυγάτηρ. ἐτελεύτησε δὲ παρθένος. V.

Μαῖρα ἡ Προίτου τοῦ Θερσάνδρου θυγάτηρ καὶ Ἀντείας τῆς Ἀμφιάνακτος ἐγένετο κάλλει διαπρεπεστάτη. ἡγουμένη δὲ περὶ πλείονος τὴν παρθενίαν εἵπετο τῇ Ἀρτέμιδι ἐπὶ τὰ κυνηγέσια. ταύτης ἐρασθεὶς Ζεὺς ἀφικνεῖται ὡς αὐτὴν καὶ λανθάνων διαφθείρει. ἡ δὲ ἔγκυος γενομένη τίκτει Λοκρὸν τὸ ὄνομα παῖδα, ὃς Θήβας μετ' Ἀμφίονος καὶ Ζήθου οἰκίζει. τὴν δὲ Μαῖραν λέγεται τοξευθῆναι ὑπὸ Ἀρτέμιδος διὰ τὸ μηκέτι παραγίνεσθαι εἰς τὰ κυνηγέσια. ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ. V.

Κλυμένην τε ἴδον] Κλυμένη Μινύου θυγάτηρ. V.

Κλυμένη Μινύου τοῦ Ποσειδῶνος καὶ Εὐρυανάσσης τῆς Ὑπέρφαντος γαμηθεῖσα Φυλάκῳ τῷ Δηΐονος Ἶφικλον τίκτει ποδώκη παῖδα. τοῦτον λέγεται διὰ τὴν τῶν ποδῶν ἀρετὴν συναμιλλᾶσθαι τοῖς ἀνέμοις ἐπί τε τῶν ἀσταχύων διέρχεσθαι, καὶ διὰ τοῦ τάχους τὴν κουφότητα μὴ περικλᾶν τοὺς ἀθέρας. ἔνιοι δὲ αὐτὴν τὴν Κλυμένην προγαμηθῆναί φασιν Ἡλίῳ, ἐξ ἧς Φαέθων ἐγένετο παῖς. ἡ δὲ ἱστορία παρὰ Ἡσιόδῳ. H.Q.V.

1. νῦν] Eustath. p. 1688, 42. dixit ἣ καὶ Νάξος ἐκλήθη.

3. ἀσέβειαν pro ἀσεβείας correctum ex scholio proximo.

24. τοῦ Ποσειδῶνος] Barnesius Eustathium sequens inserit ἢ ὡς ἔνιοι, τοῦ Ἴφιος. Debebat, Ἴφιος, h. e. ἡ Ἴφιος. Sed cavere monet lectorem idem, quoniam scholiastes mox Eriphylen (secundo loco) Ἴφιος θυγατέρα dicat, quam notissimum sit Talai filiam fuisse, ut et ipsa hæc scholia (priori loco) agnoscant. BUTTM.

27. τάχους] πάθους Q.

28. μὴ om. Q.

www.libtool.com.cn

στυγερὴν τ' Ἐριφύλην — — τιμήεντα] Ἀμφιάραος ὁ Οἰκλέους γήμας Ἐριφύλην τὴν Ταλαοῦ καὶ διενεχθεὶς ὑπέρ τινων πρὸς Ἄδραστον, καὶ πάλιν διαλυθεὶς ὁρκούμενος ὡμολόγησαν ὑπὲρ ὧν ἂν διαφέρωνται πρὸς ἀλλήλους αὐτός τε καὶ Ἄδραστος ἐπιτρέψειν Ἐριφύλῃ κρίνειν καὶ πείθεσθαι αὐτῇ. μετὰ δὲ ταῦτα γινομένης τῆς ἐπὶ Θήβας στρατείας ὁ μὲν Ἀμφιάραος ἀπέτρεπε τοὺς Ἀργείους καὶ τὸν ἐσόμενον ὄλεθρον προεμαντεύετο. λαβοῦσα δὲ ἡ Ἐριφύλη τὸν ὅρμον παρὰ τοῦ Πολυνείκους τὸν τῆς Ἁρμονίας, προέθετο τοῖς περὶ τὸν Ἄδραστον βιαζομένοις τὸν Ἀμφιάραον ἰδόντα τὴν τῶν δώρων ὑποδοχὴν καὶ πολλὰ τὴν Ἐριφύλην αἰτιασάμενον, αὐτὸν μὲν ἐξορμῆσαι πρὸς τὴν στρατείαν, Ἀλκμαίωνι δὲ προστάξαι μὴ πρότερον μετὰ τῶν ἐπιγόνων ἐπὶ Θήβας πορεύεσθαι πρὶν ἀποκτεῖναι τὴν μητέρα. ταῦτα δὲ πάντα δρᾶσαι λέγεται τὸν Ἀλκμαίωνα καὶ διὰ τὴν μητροκτονίαν μανῆναι. τοὺς δὲ θεοὺς ἀπολῦσαι τῆς νόσου αὐτὸν διὰ τὸ ὁσίως ἐπαμύνοντα τῷ πατρὶ τὴν μητέρα κατακτεῖναι. ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ. V.

στυγερὴν τ' Ἐριφύλην] τὴν Ἀμφιαράου γυναῖκα, θυγατέρα δὲ Ταλαοῦ, καὶ Ἀδράστου ἀδελφήν. H. Ἴφιος θυγατέρα. μισητὴν δὲ, διὰ τὸ λαβεῖν παρὰ Πολυνείκους ἢ Ἀδράστου χρυσοῦν ὅρμον καὶ προδεδωκέναι Ἀμφιάραον τὸν ἄνδρα αὐτῆς μὴ βουλόμενον στρατεύεσθαι ἐπὶ Θήβας εἰδότα ὡς μάντιν τὸ ἀποβησόμενον. Q.V.

327. ἀνδρὸς] ἀντὶ τοῦ, κατὰ ἀνδρός. V.

ἐδέξατο] ἡγήσατο, ἐνόμισε. τιμήεντα] ἐντιμότερον. V.

330. νὺξ φθεῖτ'] τὸ τέλειον, φθεῖτο, ἀντὶ τοῦ φθαρείη, οἷον παύσαιτο, ἀναλωθείη. Q. φθίνω, ὁ μέλλων φθινῶ, ὁ παρακείμενος ἔφθικα, ὡς κρίνω κρινῶ κέκρικα, καὶ κλίνω κλινῶ κέκλικα· ὁ παθητικὸς ἔφθιμαι καὶ τὸ εὐκτικὸν μεταθέσει τοῦ ε καὶ κράσει τοῦ ε καὶ ι εἰς τὴν ει, φθείμην φθεῖο φθεῖτο. B.

1. Totum scholium Barnesius e MS. "et ex historia" melius se ordinasse prædicat. Nos damus ut est in ed. ant. BUTTM.

Οἰκλέους] Scribebatur Ἰοκλεὺς, id est Ἰοκλέους, quæ frequens hujus nominis corruptela est. Apud Eustath. p. 1689, 3. Ὀϊκλέης.

9. τὸν Ἀμφιάραον] Barnes. post βιαζομένοις interpungens hic inserit οὖν: quod tamen non medetur lacunosæ, quæ mihi videtur, orationi. Sensum sic fere sarcias: προσέθετο (adjunxit se) τοῖς περὶ τὸν Ἄδραστον βιαζομένοις τὸν Ἀμφιάραον συστρατεύειν αὐτοῖς. τὸν δὲ Ἀμφιάραον κ. τ. ε. BUTTM.

10. αἰτιασάμενον, αὐτὸν μὲν Barnesius pro αἰτιασάμενος, αὐτὸν καί.

28. φθεῖτο] Ineptissimum scholium ostendit tamen quam indubitata fuerit scriptura φθεῖτο. BUTT.

www.libtool.com.cn

φθείται] ἐπίλοιποι. V.

333. ἀκὴν ἐγένοντο σιωπῇ] ἡσύχως ἐγένοντο ἐν σιωπῇ. τὴν παντελῆ δείκνυσι σιωπὴν ἐκ τοῦ ἀναδιπλασιασμοῦ τοῦ λόγου. H.

334. κηληθμῷ] τῇ μετὰ ἡδονῆς καὶ τέρψεως ἡσυχίᾳ. B.V.

336. πῶς ὔμμιν] ἀντὶ τοῦ ποδαπὸς, ὁποῖος. B.Q.

337. φρένας ἔνδον ἐΐσας] ἀντὶ τοῦ ὁμοίας τοῖς σωματικοῖς πλεονεκτήμασι καὶ ἰσότιμος. H.

ἐΐσας] τὰς ἀναλογούσας τῷ σώματι, καὶ ὀρθὰς καὶ δικαίας. V.

338. ἕκαστος τῶν ἐνθάδε ἀφικνουμένων ξένων. Ἄλλως. ἕκαστος ἡμῶν τίμιός ἐστι· τιμήσατε αὐτόν· ἕκαστος δὲ ἡμῶν εὐμοιρῶν τιμῆς καὶ ἰσχύων τοὺς ξένους τιμᾶν τιμησάτω αὐτὸν τὸν Ὀδυσσέα. H.

ξεῖνος δ' αἶτ' ἐμός ἐστιν] διὰ δύο φησὶν ἡ Ἀρήτη ἄξιον εἶναι μὴ μικρολογεῖσθαι· ὅτι δὴ καὶ αὐτῆς ἐστι ξένος· αὐτῇ γὰρ πρώτῃ προσῆλθε· καὶ ὅτι ἕκαστος αὐτῶν εὐπορεῖ. V.

ἕκαστος δ' ἔμμορε τιμῆς] μοῖραν ἔχει τὴν οὐσίαν, ὥστε τιμᾶν δύνασθαι. Q.V.

344. ἀπὸ σκοποῦ] οὐκ ἀποσκόπως, συνετῶς, οὐ παρὰ τὴν διάθεσιν καὶ τὸν σκοπὸν ἡμῶν εἶπεν ἡ βασιλίς. φιλόξενοι γάρ ἐσμεν. ἢ οὐκ ἄποθεν τοῦ σκοποῦ ἡμῶν καὶ τῆς δόξης ἧς περὶ αὐτῆς ἔχομεν ὅτι φιλόξενός ἐστιν· ἢ οὐκ ἄποθεν τοῦ δέοντος διαλέγεται. ἐκ μεταφορᾶς τῶν τοξευόντων. ὁ δὲ νοῦς, οὐκ ἄποθεν τοῦ δέοντος οὐδὲ ἄποθεν τῆς δοκήσεως ἧς περὶ αὐτῆς ἔχομεν, ὅτι φιλόξενός ἐστι, μυθεῖται, ἀλλὰ καὶ συνετῶς καὶ ὡς οἰόμεθα. B.T. ἄποθεν τοῦ σκοποῦ, ἀπὸ εἰκασμοῦ. εἴρηται δὲ ἀπὸ τοξοτῶν. V. ἀπὸ δόξης] ἄποθεν ἧς ἔχομεν περὶ τοὺς ξένους διαθέσεως. V.

346. Ἀλκινόου δ' ἐκ τοῦδε] ὅσα δὲ εἶπεν Ἀρήτη, ταῦτα ἤδη κεκύρωται ὑπὸ Ἀλκινόου. πάντα γὰρ αὐτῷ δοκεῖ τὰ τῆς γυναικὸς δόγματα. ἀρέσομεν οὖν καὶ τῷ βασιλεῖ τῇ Ἀρήτῃ πειθόμενοι. B.T. οἷον ἐν Ἀλκινόῳ ἐστὶ τὸ τελείως ἀπαλλαχθῆναι. ἔχεται] ἤρτηται. V.

348. τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος] τὸ κυροῦσθαι τὰ τῆς Ἀρήτης δόγματα παρ' ἐμοῦ, καὶ μὴ διστάζειν πρὸς αὐτήν. B.

350. ξεῖνος δὲ τλήτω] τὸ ἐξῆς, τλήτω ἐπιμεῖναι εἰς αὔριον. ὁ δὲ οὖν παραπληρωματικῶς κεῖται οὐδὲν σημαίνων. H.Q.

34. π. κεῖται οὐδὲν σ.] παραπληρωματικός Q., omisso κ. οὐδὲν σ.

www.libtool.com.cn

353. τοῦ γὰρ κράτος] δεικτικῶς ἀντὶ τοῦ, ἐμοῦ οὗτινος ἰσχύς ἐστιν ἐν τῷ δήμῳ. B.Q.

356. εἴ με καὶ εἰς ἐνιαυτὸν] θεραπεύει τοὺς Φαίακας εἰ βούλοιντο μένειν ὑπισχνούμενοι τὴν γοῦν ὅ τι ποτὲ δύναιτο φυλάττειν. H.Q. χαρίεντος τὸ λέγειν, ἑτοίμως ἔχειν καὶ πάντα ἐνιαυτὸν ἐπιμένειν αὐτόθι, τῶν διδομένων αἰεὶ πλεοναζόντων. V.

357. γρ. πομπή τ' ὀτρύνοιτο. Cod. Vind. 133. γρ. πομπὴ δ' ὀτρύνοιτο. H.

359. Ἀριστοφάνης, πλειοτέρῃσιν χερσί. ὁ μετὰ πλειόνων ἀπελθὼν τοῦ ποτε. H.

360. αἰδοιότερος] αἰδοῦς ἄξιος. B.V. ὅθεν Ἡσίοδος, "πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ." B.H.Q. Vind. 133. V.

363. τὸ μὲν οὔτι σ' εἴσκομεν] τὸ ἑξῆς, τὸ μὲν ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον οὔτι σ' εἴσκομεν. H.Q.V. εἰκάζομεν. H.

364. ἐπίκλοπον] παραλογιστικόν. καὶ γὰρ ὁ κλέπτης παραλογιζόμενος κλέπτει. σημαίνει δὲ καὶ τὸν ἐπιθυμητήν. καὶ γὰρ ὁ κλέπτης ἐπιθυμίᾳ τῶν ἀλλοτρίων τοῦτο ποιεῖ. B.H.Q.V.

οἷά τε πολλοὺς] οὕτως Ζηνόδοτος· ὁ δὲ Ἀρίσταρχος πολλούς. H.

365. πολυσπερέας] πολυέθνους. B.V.

366. ἐκεῖθεν ψεύδεα ἀρτύνοντας ὅθεν τις οὐκ ἂν διασκοπήσειεν οὐδὲ προΐδοιτο ὅτι ψεύδεται. B.T. ὅθεν τις οὐκ ἂν διασκοπήσειεν. Q.

367. ἀναστρεπτέον τὴν ἔπι καὶ τὴν ἔνι. H.

μορφὴ] εὐμορφία, ὡς ξεστὴν τράπεζα (Od. η, 174.), εὖ ἐξεσμένην. Q.

368. μῦθον δ', ὡς ὅτ' ἀοιδὸς, ἐπισταμένως] ὁ νοῦς· ἐπιστημόνως

5. χαρίεντος Buttm. pro χαριέντως. Poterat etiam χάριεν.

6. μένειν] Fortasse μένειν αὐτόν. Verba ὑπισχνούμενοι—φυλάττειν (in quibus corruptum τὴν γοῦν) om. Q.

7. Duplex in his notatur scriptura, altera πομπή τ' (vel δ') ὀτρύνοιτο, altera (quam M. in textu habet et Eustath. p. 1690, 19.) πομπὴν δ' ὀτρύνοιτε, vel πομπήν τ' ὀτρύνοιτε.

9. πλειοτέρῃσιν χερσὶ] πλειοτέρῃσι χερσὶν H. Sed Aristophanes fortasse πλειοτέρῃς σὺν scripserat.

11. ὅθεν Q. ἐντεῦθεν ceteri. In H.Q. hoc scholion adscriptum v. 355.

Ἡσίοδος] Op. 311.

12. κῦδος] κῆδος H.

ὀπηδεῖ] ἀλλὰ καὶ Ὅμηρος addit V.

18. Ἀρίσταρχος πολλούς] Aristarchus πολλὰ scripsisse videtur: quod animadvertit Duentzer. Zenod. p. 73.

19. πολυέθνους] πολυεθνεῖς Barnes.

21. οὐδὲ—ψεύδεται om. T.

διασκοπήσειεν] διασκοπήσειεν εὐμορφίᾳ, ὡς ξεστὴν τράπεζαν ἐξεσμένην Q. Scholion ad μορφή v. 367. rettulit et correxit Buttm.

24. ὁ νοῦς] ἢ ὁ νοῦς T., qui duo hæc scholia inverso ordine habet, omisso καὶ ἄλλως p. 511, 2.

www.libtool.com.cn

κατέλεξας πάντων Ἀργείων σέο τ' αὐτοῦ κήδεα λυγρὰ, ὡς μῦθον ἀοιδός. Καὶ ἄλλως. *οὐ γὰρ ἄνευ μύθων οἴονται εἶναι ποιητικήν· διὸ ὁ Πύθιος οὐκ ἂν λεχθείη ποιητής.* H.T.

373. *νὺξ—μακρὴ*] *καὶ ἐντεῦθεν ἡ ὥρα φαίνεται φθινοπωρινὴ οὖσα.* H.T.

379. *ὁ νοῦς, ὥρα μὲν λόγων, ὥρα δὲ καὶ ὕπνου· εἰ δὲ ἀκοῦσαι θέλεις, οὐκ ἂν φθονήσαιμι.* H.T.

ὁ μὲν Ἀρίσταρχος ἐν τῷ καθόλου, ὁ δὲ Σιδώνιος ἐλλειπτικῶς· ὥρη μὲν πολέων μύθων παύσασθαι, ὥρη δὲ καὶ ὕπνου μνήσασθαι. H.

382. *οἳ δὴ μετόπισθεν ὄλοντο*] *μετὰ τὸν πόλεμον. εἶτα ἐξηγεῖται τὸ μετόπισθεν εἰπὼν, οἳ Τρώων μὲν ὑπεξέφυγον θάνατον.* Q.

384. *κακῆς ἰότητι γυναικός*] *Ἑλένης ἡ Κλυταιμνήστρας. ἢ κακοωθείσης Κασάνδρας, ἣν διαφθείρας ὁ Λοκρὸς Αἴας ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς δυσμενῆ κατέστησε τοῖς Ἕλλησι τὴν Ἀθηνᾶν.* B.T.V.

κακῆς ἰότητι γυναικός] *ἐν βουλῇ τῆς Ἑλένης.* H.

385. *ἀλλὰ καὶ ὁ Σίσυφος κέρδιστος ὢν διὰ τί κολάζεται; τὸ κακότροπον ὁ Γλαῦκος τοῦ προγόνου εἰς σύνεσιν μετήνεγκεν. πῶς δὲ καὶ ὁ Ἡρακλῆς ἐνταῦθα μένων θεός; καὶ πῶς οἷόν τε τὸν αὐτὸν εἶναι καὶ ἐν Ἅιδου καὶ ἐν οὐρανῷ; καὶ ἡ Ἥβη δὲ καθ' Ὅμηρον παρθένος, ὅθεν καὶ οἰνοχοεῖ. ἀπίθανον δὲ αὐτὸν ἔχειν καὶ τὴν σκευήν. μὴ πιὼν δὲ πῶς ὁμιλεῖ; τὴν μὲν σκευὴν ἔχει κατὰ φαντασίαν, τοὺς δὲ δύο*

11. *ἢ κακωθείσης—Ἀθηνᾶν* T.V. Brevius in B. *ἢ Κασάνδρας, ἣν ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς ὁ Λοκρὸς Αἴας διέφθειρεν.*

15. Hæc in editionibus antiquis continuantur cum scholio præcedente eo utique non pertinentia: quare in recentioribus editionibus tacite hinc avulsa, verba quidem *Ἀλλὰ καὶ—μετήνεγκεν* posita sunt ad v. 593. de Sisypho: reliqua autem omnia ad v. 623. Ego in pristinum locum omnia restitui, ut judicium de iis integrum esset. Apparet autem fragmentum hoc esse disputationis alicujus qua objectiones huic Homeri Νεκυίᾳ factæ diluerentur. Quare numerum præposui versus 385. quo orditur necyiæ altera pars, ad quam hæc spectant. BUTTM.

16. *μετήνεγκεν*] Respicit verba Glauci Il. ζ, 153. *ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν.* BUTTMANN.

20. *τοὺς δὲ δύο στίχους*] Minus accurate grammaticus in Excerptis codici Marciano A. Iliadis præfixis alterum tantum versum memorat ubi de usu obeli apud Aristarchum exponit, *τὸν δὲ ὀβελὸν ἔλαβεν (Ἀρίσταρχος) ἐκ τῆς Ζηνοδότου διορθώσεως· παρετίθει δὲ αὐτὸν τοῖς ἐκβαλλομένοις ἐκ τῆς ποιήσεως στίχοις ὡς τοῖς νεκροῖς τῶν ἀνθρώπων. τῆς δὲ ἀθετήσεως αὐτῷ διττὸς ὁ λόγος. ὁ μὲν γάρ ἐστι σημαίνων ὅτι οὐχ Ὁμήρου τὸ ἔπος, ὡς ἐλέγετο ἐπὶ τοῦ "τέρπεται ἐν θαλίῃ καὶ ἔχει καλλίσφυρον Ἥβην" ἀδύνατον γὰρ τὴν διηνεκῶς παρθένον παραδεδομένην γεγαμῆσθαι. ὁ δὲ αἰτίαν ἐπιφέρει ὡς τῶν ποιημάτων ἐν τῇ τάξει διημαρτημένων.*

www.libtool.com.cn

στίχους καὶ ἡμεῖς ἀθετοῦμεν, εἴδωλον (602.), καὶ, τέρπεται ἐν θαλίῃς (603). οὐ πάντες δὲ οὗτοι ἐν τῷ τῶν ἀτάφων εἰσὶ χώρῳ, οἱ μὲν κολαζόμενοι, οἱ δὲ κολάζοντες, ὡς ὁ Μίνως καὶ ὁ Ἡρακλῆς. οὗτοι δὲ μὴ πεπωκότες τοῦ Λήθης ὕδατος καὶ φθέγγονται χωρὶς τοῦ πιεῖν. T.V.

ἄλλυδις ἄλλη] Ἀρίσταρχος δὲ οὕτως, τὸ "ἐγκέφαλος δὲ διὰ σπέος ἄλλυδις ἄλλῃ." Ἀριστοφάνης δὲ, ἄλλην, φησί. H.

386. ὡς ἐναργῶς ἐπιστατούσης τῆς θεοῦ. H.

γυναικῶν θηλυτεράων] θηλυτέρας λέγει ψυχὰς τὰς δειλοτέρας ἢ χαύνους. Q.

390. ἐπεὶ ἴδεν ὀφθαλμοῖσι] γρ. ἐπεὶ πίεν αἷμα κελαινόν. Vind. 133.

391. πῶς μὴ πιὼν τὸ αἷμα γινώσκει; πάντως οὗτοι ἐν τῷ τῶν ἀτάφων εἰσὶ τόπῳ· οἱ μὲν δικάζοντες, οἱ δὲ δικαζόμενοι, μὴ πεπωκότες τῆς Λήθης ὕδατος φθέγγονται καὶ πρὸ τοῦ πιεῖν. H.

392. πιτνὰς εἰς ἐμὲ χεῖρας] ἀντὶ τοῦ ἐκτείνων τὰς χεῖρας. ἀπὸ τοῦ πιτνάω πιτνῶ πίτνημι. B. ὀξυτόνως τὸ πιτνάς. H.

393. κῖκυς] κίνησις μετὰ δυνάμεως. Q.V.

394. γναμπτοῖσι] περιφερέσι. χεῖρες γὰρ καὶ τὸ λοιπὸν σῶμα περιφερές. B. κάμπτεσθαι δυναμένοις. V.

398. ταινηλεγέος] ἤτοι πολυμερίμνου, ἢ τοῦ ταναὰ ἄλγη ποιοῦντος. B. τοῦ ἔχοντος τεταμένην τὴν ἡλύγην, ἤτοι τὴν νύκτα. H.Q.

399. οἱ ἠέ ἀθετοῦνται ὑπὸ Ἀριστοφάνους ὡς ἀπὸ τῶν εἰρησομένων μετενεχθέντες. H.

400. ἀργαλέων] Ἀριστοφάνης, λευγαλέων. H.

402. βοῦς περιταμνόμενον] ἐλαύνοντα, περικυκλούμενον. Q. περιελαύνοντα. V.

ἐπειδὴ αὐτὸς ἐλθὼν εἰς Κίκονας καὶ ἁρπαγῇ ἐκεῖ ἐπιχειρήσας οὐκ εὖ ἀπήλλαξεν, εἰκότως τὰ ὅμοια πεπονθέναι ὑποπτεύει τὸν Ἀγαμέμνονα. Q.V.

6. ἄλλῃ] ἄλλη H. contra mentem Aristarchi. "In hoc versu enim, qui est Od. ι, 458., vox ἄλλη, cui iota subscribere negligebant fere, manifestum est adverbium." BUTT.

12. πῶς μὴ πιὼν τὸ αἷμα γινώσκει;] Hoc qui scripsit, in versu præcedente legit ἐπεὶ ἴδεν ὀφθαλμοῖσι· BUTTM.

21. ἡλύγην H. λύγην Q. "Interpretatio variæ lectionis ταινηλυγέος." PORSON.

22. οἱ ἠέ] Id est versus ab ἠέ incipientes et qui ab iis pendent, scilicet 399—403. PORSON.

ἀπὸ—μετενεχθέντες Porsonus pro ὑπὸ—μετενεχθέντων.

403. ἠὲ] ἐνταῦθα διαζευκτικῶς νοεῖται. παράλογος ἡ διαίρεσις. θέλει γὰρ εἰπεῖν μαχόμενον. ἐπέκτασις οὖν γέγονε διὰ τὸ μέτρον. H.

410. σὺν οὐλομένῃ ἀλόχῳ] ὅτι τῇ ἐπιβουλῇ κἀκείνη συνέγνω. τὸν γὰρ χιτῶνα καὶ τὸν πέλεκυν Ὅμηρος οὐκ οἶδεν. Q.

411. δειπνίσσας] δεῖπνον δούς. δειπνίζω γὰρ ἐνεργητικὸν, δειπνῶ δὲ παθητικόν. B.

415. εἰλαπίνῃ] ἀπὸ τοῦ εἶλαρ τὸ βρῶμα καὶ τοῦ πίνω γίνεται εἰλαπίνη. B.

416. ἀντεβόλησας] ἐνέτυχες, ᾧ Ὀδυσσεῦ. Gl. H. ἀντεβόλησας] οὕτως Ἀρίσταρχος· πρὸς γὰρ τὸν Ὀδυσσέα, ὡς καὶ τὸ ἑξῆς ὀλοφύραο θυμῷ. H.

417. μουνὰξ] ἴσως ἐν μονομαχίᾳ. B.

418. κεῖνα μάλιστα] τὰ κατ' ἐμοῦ πραχθέντα ὑπὸ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας. B.

420. δάπεδον δ' ἅπαν αἵματι θῦεν] ἀντὶ τοῦ τὸ αἷμα ἐν τῷ δαπέδῳ θῦεν καὶ μεθ' ὁρμῆς ἔρρει. H.

Ἀγαμέμνονος καὶ Κασάνδρας υἱὸς Τελέδημος. H.

421. οἰκτροτάτην δ' ἤκουσα ὄπα] ἐλεεινήν. οὐ τὴν Κασάνδραν, ἀλλὰ τὴν ὄπα αὐτῆς λέγει. τινὲς δὲ λείπειν φασὶ τὴν περί, ἵνα νοῶμεν ἐν τῇ σφαγῇ τὴν Κλυταιμνήστραν ὀνειδίζειν αὐτῷ τὰ περὶ τῆς Κασάνδρας. Q.

423. ποτὶ γαίῃ χεῖρας ἀείρων] πρὸς τῇ γῇ ὢν καὶ κείμενος ἐγὼ τὰς χεῖρας περιέβαλον ἀνακουφίζων αὐτὰς πρὸς τὸ ἐκσπάσαι τὸ ξίφος. ἢ οὕτως, παρὰ τῷ φασγάνῳ ἀποθνήσκων καὶ ποτὶ γαίῃ χεῖρας ἔβαλλον τύπτων τὴν γῆν καὶ ἐπαρώμενος αὐτῇ πρὸς τῇ γῇ ὢν καὶ σφαδάζων τὰς χεῖρας ὡς οἱ καταρώμενοι εἰώθασι ποιεῖν, ὡς ἔφη "πολλὰ γαῖαν πολυφέρβην χερσὶν ἁλοία" (Il. ι, 568.). ὁ δὲ Ἀγαμέμνων οὐ καταρώμενος, ἀποθνήσκων δὲ περὶ τὸ ξίφος τοῦτο ποιεῖ ἀράσσων ταῖς χερσὶ τὴν γῆν καὶ ἐκτείνων αὐτὰς εἰς αὐτὴν καὶ περιβάλλων. ἢ εἰς τὴν γῆν ἀείρων καὶ ἐκτείνων τὰς χεῖρας ἔβαλλον

3. συνέγνω H. συνανέγνω Q. συνήνεγκε Buttm.

10. οὕτως Ἀρίσταρχος] Videntur igitur alii aliter legisse.

15. ἀντὶ τοῦ] Præcedit in H. ἀπέστραπται, quod est glossema verbi νοσφίσατο v. 425., ut apparet ex scholio in quo per ἀπεστράφη explicatur.

27. πολυφέρβην] Legitur πολυφόρβην.

www.libtool.com.cn

ἱκετεύων καὶ λιτανεύων. οἷς ἀκολούθως ἐπάγει, ἡ δὲ κυνῶπις νοσφίσατο, ἤτοι ἀπεστράφη μὴ αἰδεσθεῖσα. B.H.Q.

426. κατ᾽ ὀφθαλμοὺς ἐλέειν] καθελεῖν, συγκλεῖσαι, συσφίγξαι. B.

427. ὡς] οὕτως. B.

428. ἥτις δὴ τοιαῦτα] ἐν πολλοῖς οὐ φέρεται, ὡς ἐκλύων τὸν θυμὸν, οὐ γὰρ ὅτι πρὸς θεραπείαν Ἀρήτης ὁ Ὀδυσσεύς· οὐ γὰρ ἀναγκαῖον τῷ ὑποκρινομένῳ τὸ πρόσωπον Ἀγαμέμνονος περιίστασθαί τι εἰπεῖν. H.

ἔργα βάληται] ποῖα ἔργα; οἷα κἀκείνη ἐμήσατο. ἀπὸ δὲ τοῦ πληθυντικοῦ εἰς ἑνικὸν μετέβαλεν. H.

430. κουριδίῳ] ὅτι κουρίδιον αὐτόν φησιν. ἔνιοι γὰρ γεγαμῆσθαι τὴν Κλυταιμνήστραν Ταντάλῳ, ὡς Εὐριπίδης εἰσάγει αὐτὴν λέγουσαν "ἔγημας ἄκουσάν με κἄλαβες βίᾳ τὸν πρόσθεν ἄνδρα Τάνταλον κατακτανών." Q.

433. οἵ τε] καὶ ἑαυτῇ αἶσχος ἐπέβαλε. H.

434. εὐεργὸς] καλοεργός. καὶ ἐκείνῃ, ἥτις εὐεργὸς καὶ ἀγαθὴ ὑπάρχει γυνή. B. σώφρων, καλὰ ἔργα πράσσουσα. V.

435—440. ἀθετοῦνται παρὰ Ἀριστοφάνει. H.

437. γυναικείας διὰ βουλὰς] αἰνίττεται τὴν Ἀερόπην. V.

438. εἰπὼν ὅτι ἕνεκεν Ἑλένης πολλοὶ ἀπωλόμεθα, ἐδήλωσε κατὰ τοῦτο τὴν δυστυχίαν Μενελάου· δυστυχεῖ γὰρ βασιλεὺς, ὅταν οἱ ἀρχόμενοι κακῶς πάσχωσιν. H.Q.

442. τινὲς, μήθ᾽ οἷ, κακῶς. H.

443. ἀλλὰ τὸ μὲν λέγε τῇ σῇ γυναικὶ, τὸ δὲ κρύπτε. H.

452. οὐδὲ οὗτοι ἐφέροντο ἐν τοῖς πλείστοις, ὡς μαχόμενοι τοῖς προκειμένοις. H.

υἱὸς] τοῦ υἱοῦ τοῦ Ὀρέστου. H.

5. οὕτως Buttm. pro ὄντως.

10. βάληται] βούληται H. in textu.

12. ὅτι—φησιν (φασιν Q.)] Nimirum ideo σημειοῦνται versum. BUTTM.

13. Εὐριπίδης] Iphig. Aul. 1149.

14. κἄλαβες] κἄμβαλες Q.

19. 435—440. ἀθετοῦνται] In M. non his tantum, sed octo versibus (435—442) obeli sunt appicti errore manifesto.

21. ἀπωλόμεθα] ἀπολλόμεθα Q.

26. οὐδὲ οὗτοι ἐφέροντο—] Annotatio loco alieno posita spectat fortasse ad v. 454—456.

www.libnod.com.cn

453. περιττὸς ὁ καί. H.

455. νῆα κατισχέμεναι] ἐλλιμενίσαι. H.

458. εἴ που ἔτι ζώοντος] ἀθετεῖται διὰ τὸ εὔηθες. εἰ γὰρ ἐπέπειστο ὅτι οὔπω τέθνηκε, πρὸς τί ἐρωτᾷ, ἤ που ἔτι ζώοντος ἀκούετε; H.

459. Ὀρχομενῷ] ἱερῷ τόπῳ Βοιωτίας. H.

ἢ ἐν Πύλῳ] παρὰ μὲν Νέστορι ἐν Πύλῳ δοξάζει αὐτὸν εἶναι διὰ τὴν πολλὴν φιλίαν καὶ δύναμιν τοῦ Νέστορος, παρὰ δὲ Μενελάῳ διὰ τὴν συγγένειαν, ἐν Ὀρχομενῷ δὲ διὰ τὴν ἀσυλίαν καὶ ἀσφάλειαν. ἐκεῖ γὰρ καὶ οἱ κοινοὶ τῶν πόλεων θησαυροὶ πρώην ἔκειντο. ἱερὸν δὲ ἐκεῖσε τῶν Χαρίτων μέγιστον ἦν. τοῦτό φησι καὶ ὁ ποιητὴς ἐν Ἰλιάδι (ι, 381.) "οὐδ' ὅσ' ἐς Ὀρχομενὸν ποτινείσεται." B.H.Q.V.

ἢ—ἢ] ὀξυτονητέον τοὺς συνδέσμους· διστακτικοὶ γάρ εἰσιν. H.

461. οὐ γάρ πω] οὐ γάρ που, αἱ Ἀριστάρχου. H.

464. ζώει] ἀπὸ κοινοῦ τὸ ἤ· ἢ ζώει ἢ τέθνηκεν. H.

468. Πατροκλῆος] αὕτη ἡ γενικὴ ἀπὸ εὐθείας ἐστὶ τῆς Πατροκλῆς, ὡς Φιλοκλῆς καὶ Σοφοκλῆς. V.

471. ἔγνω δὲ ψυχή με] μεθὸ ἕπιε τοῦ αἵματος. ἔστι δὲ κατὰ τὸ σιωπώμενον διὰ τοῦ αἵματος. B.H.Q.

474. μήδεαι] βουλεύσῃ, ἐργάσῃ. V.

476. ἀφραδέες] ἀδιανόητοι, ἢ ἀσώματοι. εἴδωλα] αἱ εἰς τὸ ἰδεῖν μόνον εἰκόνες. καμόντων] ἀποθανόντων. V.

ἀφραδέες ναίουσι βροτῶν εἴδωλα καμόντων] εἰς τὸ βροτῶν ἡ στιγμὴ, ἵν' ᾖ οὕτως ὁ νοῦς, ὅπου ἐν τῷ Ἅιδῃ οἰκοῦσιν οἱ τεθνεῶτες ἐπιλελησμένοι τῶν ἀνθρωπίνων πραγμάτων. ἀμέλει γοῦν διὰ τῆς τοῦ αἵματος πόσεως εἰς μνήμην τῶν ἀνθρωπίνων πραγμάτων αὐτοὺς ἄγει. ἐὰν δὲ μὴ εἰς τὸ βροτῶν στίξωμεν, ὁ νοῦς οὕτως, ὅπου αἱ ψυχαὶ τὰ εἴδωλα τῶν ἀποθανόντων ἀνδρῶν ἀφρόντιστοι ζῶσι, τὰ κατὰ ἀνθρώπους μὴ λογιζόμενοι. H.T. γρ. ἀδρανέες. T.

1. περιττὸς ὁ καί] Similis Aristarchi observatio de καὶ αὐτόν est ad α, 33.

8. πολλὴν H. ὑπερβάλλουσαν ceteri. φιλίαν H.V. φιλανθρωπίαν ceteri. Eustath. p. 1693. extr. dixit διὰ τὴν τοῦ φιλοβασιλέως Νέστορος φιλίαν.

9. καὶ ἀσφάλειαν om. B.H.Q. Legit Eustathius qui l. c. τὸ πάνυ ἀσφαλὲς τοῦ τόπου καὶ ἄσυλον dixit.

10. ἱερὸν—μέγιστον ἦν om. V.

12. ποτινείσεται] προτινείσεται H. V.

19. διὰ τοῦ αἵματος om. B.Q.

ἀφραδέες] οἱ ἀσώματοι. φρένες γὰρ οἱ κρεμαστῆρες τοῦ ἥπατος "ὅθι τε φρένας ἦπαρ ἔχουσι." τινὲς, οὐ νοούμενοι, ἄφραστοι, ἀθεώρητοι. H.

489. ἐπάρουρος] ὡς ἐπίγειος τῷ τόνῳ καὶ τῷ σημαινομένῳ. τινὲς δὲ πάρουρος, ὁ ἀκόλουθος, οὐκ εὖ. H.

βουλοίμην κ' ἐπάρουρος] πῶς τοσοῦτον φιλόζωον εἰσάγει τὸν προκρίνοντα τὸν ὀλιγοχρόνιον μετ' εὐκλείας ζῆν; ἤτοι οὖν παραμυθούμενος τὴν δυστυχίαν Ὀδυσσέως ταῦτά φησιν, ἢ τὸ ἄπρακτον τῶν νεκρῶν ὁρῶν βδελύττεται τὴν παρὰ τοῖς νεκροῖς δίαιταν. Q.

ἐπάρουρος] γεωργός· ἢ ἐπίγειος καὶ ζῶν. B.

490. ἀκλήρῳ] πένητι, κλῆρον καὶ οὐσίαν μὴ ἔχοντι. B.

βίοτος] γρ. βίος. H.

496. ἀν' Ἑλλάδα τε Φθίην τε] ὄνομα τόπου αὕτη, ἐν ᾗ ὁ Ἀχιλλεὺς ἐβασίλευεν. H. σημείωσαι μόνην τὴν Φθίαν Ἑλλάδα λέγειν τὸν Ὅμηρον καὶ Ἕλληνας μόνους τοὺς ἐνοικοῦντας αὐτῇ. τοὺς δὲ ἐν ἄλλοις τόποις οἰκοῦντας Ἀργείους κικλήσκει καὶ Ἀχαιούς. B.

498. Ζηνόδοτος, εἰ γὰρ ἐγών. H Vind. 133.

500. Ἀρίσταρχος ἀὺν τῷ Μέμνονι ἀκούει. H.

501. εἰ τοιόσδ'] τὸ δέ ἀντὶ τοῦ γάρ, εἰ τοῖος γάρ. H.

εἰ τοιόσδ' ἔλθοιμι] ἐὰν ἦλθον τοιοῦτος αὖθις ἀπὸ τοῦ Ἅιδου εἰς τὸ τοῦ πατρός μου δῶμα οἷος ἤμην πρὶν ἐν ζωῇ, διὰ τοῦτό τινι στυγητὸν ποιήσαιμι τὸ ἐμὸν μένος καὶ τὰς χεῖρας, ᾧ ἄν τινι εἰς κατάπληξιν ἄγοιμι. B.H.Q.

1—3. Hæc repetivit Eustath. p. 1695, 5.

4. τινὲς δὲ πάρουρος correxi pro τινὲς δ' ἐπάρουρος. Hanc scripturam memorant Etym. M. p. 353, 35., qui παρουρός ὀξυτόνως scribi vult, et Eustath. p. 1695, 37., qui interpretatur ὁ εἰς φυλακήν τινα τεταγμένος μισθωτικῶς· οὖρος γὰρ καὶ ὁ φύλαξ, ὁ καὶ ἐπίουρος.

6. εἰσάγει—ζῆν] Mutila hæc in hunc sensum sarcienda:—εἰσάγει αὐτὸν, προκρίνοντα τὸν μακρὸν, ἀλλ' ἀκλεᾶ βίοτον τοῦ ὀλιγοχρόνιον μετ' εὐκλείας ζῆν. BUTTM.

9. παρὰ Maius pro περί.

19. τὸ δέ] Nam legit εἰ τοῖος δ'.

20. ἐὰν ἦλθον] κἂν ἦλθον B. Q. Corrigendum videtur εἰ ἀνῆλθον.

ἀπὸ τοῦ Ἅιδου] Hucusque Porsonus ex H. sed tanquam scholium ad 498. quodque respiciat lectionem Zenodoteam. Et sane verba ἀπὸ τοῦ Ἅιδου explicare videntur illa ὑπ' αὐγὰς ἠελίοιο. Unice autem veram esse Zenodoti lectionem vel hæc verba ostendunt, τοῖος ἐὼν οἷός ποτε, ad quæ itidem respicit scholium his, οἷος ἤμην, quæque nemo nisi Aristarchus conjungere potuit cum tali sermone, οὐ γὰρ ἐγὼν ἐπαρωγός. BUTTM.

502. τῷ κέ τεῳ] οὕτως ἄν τινι. στύξαιμι] εἰς κατάπληξιν ἀνάγοιμι. V.

τέων] ὁ Ἀρίσταρχος καὶ ἐγκλίνει τὸ τέων. H. τέων] ἐκείνων. Gl. Vindob. 50.

509. ἐκ Σκύρου] Σκῦρός ἐστι πόλις Δολοπίας. Q. Vind. 133.

510. τρισυλλάβως τὸ Τροίην, ὡς καὶ Ἀρίσταρχός φησι. Vind. 133.

511. μύθων] τῶν συμβαλλομένων εἰς τὸ κρατεῖν λόγων. V.

512. διχῶς, νικάσκομεν, ἀπὸ τοῦ νικᾶν, νεικέσκομεν ἀπὸ τοῦ νεικεῖν ῥήματος. H. ἐνικῶμεν. V.

517. πρὸς τὸ σημαινόμενον ἀπέδωκε πάντας, ὅσσον λαόν. H.

519. ἀλλ' οἷον] ἀλλὰ μυθήσομαι οἵως τὸν Τηλεφίδην κατενήρατο. θαυμαστικῶς δὲ τὸ οἷον. Q.

520. Εὐρύπυλον] Εὐρύπυλος ὁ Ἀστυόχης καὶ Τηλέφου τοῦ Ἡρακλέους παῖς λαχὼν τὴν πατρῴαν ἀρχὴν τῆς Μυσίας προΐστατο. πυθόμενος δὲ Πρίαμος περὶ τῆς τούτου δυνάμεως ἔπεμψεν ὡς αὐτὸν ἵνα παραγένηται σύμμαχος. εἰπόντος δὲ αὐτοῦ ὡς οὐκ ἐξῆν αὐτῷ διὰ τὴν μητέρα, ἔπεμψεν ὁ Πρίαμος τῇ μητρὶ αὐτοῦ δῶρον Ἀστυόχῃ χρυσῆν ἄμπελον· ἡ δὲ λαβοῦσα τὴν ἄμπελον τὸν υἱὸν ἔπεμψεν ἐπὶ στρατείαν, ὃν Νεοπτόλεμος ὁ τοῦ Ἀχιλλέως υἱὸς ἀναιρεῖ. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ. Q. V.

521. Κήτειοι] τινὲς ἀπέδοσαν μεγάλοι, παρὰ τὸ κῆτος. κρεῖσσον δὲ ἀποδιδόναι Μυσῶν ἔθνος τοὺς Κητείους. ἦν γὰρ ὁ Τήλεφος Μυσίας βασιλεύς, καὶ Ἀλκαῖος δέ φησι τὸν Κήτειον ἀντὶ τοῦ Μυσόν. V.

1. ἀγάγοιμι Buttm. pro ἀνάγοιμι.

3. τέων H. in textu habet ex correctione.

5. Σκῦρος] Etym. M. Σκῦρος ἡ νῆσος, ἐπεὶ ἀργιλώδης ἐστὶ καὶ λευκόγεως. σκύρος γὰρ ἡ λατύπη. Δίδυμος λέγει ἐν ὑπομνήματι ξ Ὀδυσσείας. Quod nisi obiter in comm. ad ξ observavit Didymus, corrigendum apud Etymologum λ. BUTTM.

6. Ἀρίσταρχος] Hoc testatur etiam schol. Il. a, 129. rationesque exponit cur hoc præstet scripturæ Zenodoti πόλιν Τροίην. Sed rectius haud dubie Zenodotus: de quo dixit Duentzerus p. 92.

11. λαόν addidi.

15. προΐστατο] ἀρχῆς προΐσταται V.

16. ὡς] εἰς Q.

18. δῶρον—υἱὸν V. δῶρα. ἡ δὲ λαβοῦσα τὸν υἱὸν Q., mediis omissis.

20. στρατείαν V. στρατὸν Q.

ἡ δὲ ἱ. παρ' Α. om. Q.

22. In P. adscriptum οἱ μεγάλοι καὶ οἱ τοῦ κήτους. BUTTM. Strabo 13. p. 615. οὔτε τοὺς Κητείους ἴσμεν οὕστινας δέξασθαι δεῖ οὔτε τὸ "γυναίων εἵνεκα δώρων." ἀλλὰ καὶ οἱ γραμματικοὶ μυθάρια παραβάλλοντες εὑρεσιλογοῦσι μᾶλλον ἢ λύουσι τὰ ζητούμενα.

www.libtool.com.cn

Κήτειοι προπαροξυτόνως. καὶ τοὺς μεγάλους ἀκανστέον παρὰ τὸ κῆτος, ὡς καὶ Ἀρίσταρχος· ἄλλοι δὲ ἔθνος Μυσίας τοὺς νῦν Ἐλεάτας καλουμένους. ἔνιοι δὲ γράφουσι κήδειοι, οἱ συγγενεῖς. οἱ δὲ, χήτειοι γυναίων, οἷον ἐστερημένοι τῶν γυναικῶν, δώρων ἕνεκεν, εἴ γε καὶ ὁ Ἕκτωρ φησὶ "τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῇ λαούς" (Il. ρ, 225.). ἄμεινον δὲ τῷ Ἀριστάρχῳ πείθεσθαι. B. H.Q.

γυναίων εἵνεκα δώρων] ἔνιοι μὲν γύναια δώρα ἀπέδοσαν τὴν χρυσῆν ἄμπελον, ἣν ἐχαρίσατο Ζεὺς Τρωὶ ἀντὶ τῆς Γανυμήδους ἁρπαγῆς, ἥτις κατὰ διαδοχὴν μετέπεσεν εἰς Πρίαμον. οὐδὲν δὲ τούτων οἶδεν Ὅμηρος. κρεῖσσον δὲ ἀποδιδόναι ὡς ὑπέσχετο Πρίαμος τῷ Εὐρυπύλῳ μίαν τῶν θυγατέρων δώσειν γυναῖκα, ὡς καὶ Ὀθρυονεῖ ὑπέσχετο (Il. ν, 365.). ἐν δὲ ἄλλῳ, τῶν δοθέντων δώρων τῇ Εὐρυπύλου γυναικὶ ὑπὸ τοῦ Πριάμου, ἵνα πείσῃ τὸν ἄνδρα αὐτῆς ἄκοντα ἐπιστρατεῦσαι συμμαχήσοντα τοῖς Τρωσί. T.V. ἃ ἐδίδων ξένια εἰς τὸ καταπεῖσαι τὸν ἄνδρα ἐξελθεῖν εἰς τὸ ταξείδιον. οἱ μὲν, διὰ τὸν Ἑρμιόνης γάμον· "ἐν Τροίῃ γὰρ πρῶτον ὑπέσχετο καὶ κατένευσεν" (Od. δ, 6.) ὁ Μενέλαος τῷ Νεοπτολέμῳ. οἱ δὲ, ὅτι ἄμπελον χρυσῆν Πρίαμος ὡμολόγησεν Ἀστυόχῃ τῇ ἑαυτοῦ ἀδελφῇ, Εὐρυπύλου δὲ μητρὶ, ἐπὶ τῷ πέμψαι τὸν υἱόν. ἔνιοι δὲ, ὅτι Πρίαμος ὑπέσχετο μίαν τῶν θυγατέρων Εὐρυπύλῳ ἐκδώσειν γυναῖκα, ὡς καὶ Ὀθρυονεῖ. B.Q.

522. κάλλιστον—Μέμνονα] πῶς οὖν μέλας ὁ Μέμνων ἂν εἴη; H.

525. ἠμὲν ἀνακλῖναι] περιγραπτέον ὡς ἀπρεπῆ. θυρωροῦ γὰρ

2. Ἐλεάτας] Manifesto hoc corruptum ex Ἐλαιάτας: quanquam ab Ἐλαίᾳ Æolidis urbe formatur alias Ἐλαιίτης vel Ἐλαΐτης. V. Steph. Byz. v. Ἐλαία et ad eum Holstenium p. 108.: item Strabonem, qui Ἐλαΐτιδα vocat hanc ipsam τῶν Κητείων, qui videntur ipsi, terram 12. p. 571. et 13. p. 616. BUTTM. Eustath. p. 1697, 25. τοὺς ὕστερον Ἐλεάτας ἀπὸ Κητείου ποταμοῦ χειμαρρώδους ἐν τῇ Ἐλεάτιδι, ὃν καὶ κητώεντά φασι.

3. κήδειοι Eustath. κήνειοι H.

4. τῶν post ἐστερημένοι om. H. γυναικῶν Buttm. pro γυναικείων.

15. ἐδίδων] ἐδίδουν Buttm.

18. Μενέλαος Maius pro Τηλέμαχος.

19. τῇ ἑαυτοῦ ἀδελφῇ] Vid. Apollod. 3, 12, 3. et ibi Heyn. Serv. ad Virgil. Ecl. 6, 72. BUTTM.

23. μέλας] Fuit enim Æthiops.

ἂν om. H.

25. περιγραπτέον] περιγράφειν et διαγράφειν utrumque *delere* per consequentiam sonant, modo tamen significandi discrepant. Περιγράφειν est lineis voces includere et sic delendas monere, διαγράφειν est transversa linea per litteras ducta damnare. PORSON.

www.libtool.com.cn

ἔργον. H. Ἀρίσταρχος οὐκ οἶδε τὸν στίχον, ἔνια δὲ τῶν ὑπομνημάτων. H.

526. Ἀρίσταρχος, ἔνθ' ἄλλοι πάντες κατὰ δούριον ἵππον Ἀχαιοί. H.

531. ἐξίμεναι] ἐξελθεῖν. ἐμφαντικώτερον δὲ τὸ ἐξέμεναι. H.

ξίφεος δ' ἐπεμαίετο κώπην] ἐζήτει, ἐφήπτετο. καὶ ἔστι τὸ κώπην ἀντίπτωσις, ἐφήπτετο τῆς κώπης τοῦ ξίφους. Q.

539. ᾖχετο] γρ. φοίτα. H.

κατ' ἀσφοδελὸν λειμῶνα] ὀξυτόνως. ἄδηλον δὲ πότερον σφοδελὸν ἢ ἀσφοδελόν. λέγει γὰρ καὶ χωρὶς τοῦ α. τινὲς δὲ γράφουσι σποδελὸν, διὰ τὴν σποδὸν τῶν καιομένων νεκρῶν. ἄμεινον δὲ ἀσφοδελὸν, διὰ τὸ Περσεφόνης εἶναι λειμῶνα τὸν τόπον. εἶπε δὲ ἀσφοδελὸν τὸν τόπον τὸν ἔχοντα ἀσφοδελὸν, ἥτις ἐστὶ βοτάνη ὁμοία σκίλλῃ. H.Q. ἀσφοδελώδη. H. ἀσφοδελοὺς ἔχοντα. B.H.

540. χωρὶς τοῦ ι, γηθοσύνη, ἀντὶ τοῦ χαίρουσα. H.

542. εἴροντο δὲ κήδε' ἑκάστη] ἔλεγον τὰ κήδεα τῶν ἐν ζωῇ καταλειφθέντων. Q. ἀντὶ τοῦ ἔλεγον. "ὡς ἔχετ' ἐμπεφυυῖα καὶ εἴρετο δεύτερον αὖτις" (Il. α, 513.). H.

544. νόσφιν ἀφειστήκει] Ἀρίσταρχος ἀφεστήκει. H.

546. διὰ τὸ ἐμὲ τοῦ Ἀχιλλέως ἐπαρεῖν τὰ ὅπλα. H.

547. παῖδες Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη] ἀντὶ τοῦ Τρῶες, ὡς "υἷες Ἀχαιῶν" καὶ "δυστήνων δέ τε παῖδες" (Il. ζ, 127). οἱ φονευθέντες ὑπὸ Ὀδυσσέως ὅτε Αἴας τὸ πτῶμα Ἀχιλλέως ἐβάσταζεν. ἀθετεῖ Ἀρίσταρχος. ἡ δὲ ἱστορία ἐκ τῶν κυκλικῶν. H. φυλαττόμενος ὁ Ἀγαμέμνων τὸ δόξαι θατέρῳ χαρίσασθαι τῶν περὶ τῶν Ἀχιλλέως ὅπλων ἀμφισβητούντων, αἰχμαλώτους τῶν Τρώων ἀγαγὼν ἠρώτησεν ὑπὸ ὁποτέρου τῶν ἡρώων μᾶλλον ἐλυπήθησαν. εἰπόντων δὲ τὸν Ὀδυσσέα τῶν αἰχμαλώτων, δηλαδὴ ἐκεῖνον εἶναι τὸν ἄριστον κρίναντες τὸν πλεῖστα λυπήσαντα τοὺς ἐχθροὺς, ἔδωκεν εὐθὺς τῷ Ὀδυσσεῖ τὰ ὅπλα. H.Q.V.

1. ἔνια Porsonus pro ἐνί.
4. ἐξίμεναι—ἐξέμεναι] De utraque scriptura dixit Eust. p. 1698, 14.
8. ἀξυτόνως—ἢ ἀσφοδελόν] Cf. Eustath. p. 1698, 22.
9. λέγει] An λέγεται? BUTTM.
10. σπουδὸν Eustath. p. 1698, 23. σπουδὴν Q. σπυδὴν H.
11. Περσεφόνης] φερσεφόνης H., sed ε superscripto.
19. ἐπαρεῖν vitiosum.
24. χαρίσασθαι Q. χαρίζεσθαι H. V.
26. ἡρώων Eustathius p. 1698, 50. τρώων V. ἀχαιῶν H.Q.
27. κρίναντες om. H.Q.
28. ἔδωκεν Buttm. ἔδωκαν H.Q. ἔδοσαν H.

www.libtool.com.cn

548. ἀέθλων] ἄθλων, ἀγώνων. V.

554. εἵνεκα τευχέων οὐλομένων] διὰ τὰ τοιαῦτα ὅπλα πῆμα καὶ βλάβην ἔθεντο οἱ θεοὶ τοῖς Ἀργείοισιν ὅτι παρεχώρησαν ὑπ' αὐτοῦ τὸν Αἴαντα φονευθῆναι τοῖον ὄντα. Q.

555. οὐλομένων] ὀλέθρου ἀξίων· ἢ ὀλεθρίων, φθειρόντων. πῆμα γὰρ καὶ αὐτὰ οἱ θεοὶ ἐποίησαν τοῖς Ἕλλησι. B.Q.

559. ἀλλὰ Ζεὺς Δαναῶν] λείπει τὸ, ὃς Δαναῶν. B.

562. τοῦ θυμοῦ καὶ τῆς ὀργῆς κράτησον. H.

563. δῆλον οὖν ὅτι καὶ τῶν παρὰ τραγῳδοῖς λόγων βέλτιον αὐτοῦ ἡ σιωπή. H.T.

564. πόθεν τοῦτο οἶδεν; καὶ γὰρ ὁ Αἴας ἀπιὼν ᾤχετο. H.

565. ἔνθα χ' ὅμως] τότε ὅμως κεχολωμένος ὑπάρχων προσέφη ἂν ἐμέ· ἢ τούτου μὴ γεγονότος ἐγὼ ἂν ἔλεγον πρὸς αὐτόν. B.

ἔνθα χ' ὁμῶς] περισπαστέον· ἐπίρρημα γάρ. τῷ συνδέσμῳ οὐ χρῆται, ἀλλ' ἀντ' αὐτοῦ τῷ ἔμπης. διὸ καὶ τὸ "ὅμως δ' οὐ λήθετο χάρμης" (Il. μ, 393.) οἱ πλείους περισπῶσιν. ὁ νοῦς, ὁμοίως τοῖς κεχολωμένοις προσέφη ἄν, ὡς καὶ ἔγω αὐτὸν, δηλονότι προσέφην. Ἄλλως. ὁμοίως καὶ ἐγὼ ἔφην ἂν πρὸς τὸν Αἴαντα κεχολωμένα ῥήματα θλίψεως. ἀλλ' ὁ θυμὸς ὁ ἐμὸς ἤθελε καὶ τῶν ἄλλων τὰς ψυχὰς τῶν τεθνεώτων ἰδεῖν, καὶ σχολὴν οὐκ εἶχον. Q. τὸ τέλειον κε ἔστι. ὁ δὲ ἦ ἀντὶ τοῦ ὡς. H.

568. νοθεύεται μέχρι τοῦ "ὣς εἰπὼν ὁ μὲν αὖθις ἔδυ δόμον Ἄϊδος εἴσω" (627.). καίτοι οὐκ ὄντες ἀγενεῖς περὶ τὴν φράσιν. ὑπὲρ δὲ τῆς

1. Etiam e cod. Vindob. 50. enotata var. lect. τῶνδ' ἐπὶ ἀέθλων. Memorabilis autem variatio ob sequens αὐτῶν, quod nunc ad τεύχεα refertur. BUTTM.

5. φθειρόντων Buttm. pro φθειρομένων.

14. ὁμῶς—] Vid. Apollon. Lex. s. v. ὅμως cum annot. Villoisoni. BUTTM.

16. ὁμοίως Buttm. pro οὕτως.

18. Ἄλλως addidit Buttm.
ὁμοίως Buttm. pro ὄντως.

22. Manifestum est, ad hunc versum ut principium narrationis spectare scholium: nam dubium hoc quidem relinquere codd. Harl. et Vindob. 50. (in quo hæc tantum: νοθεύεται μέχρι τοῦ ὡς εἰπών), apparet e notis Porsoni (ad h. l. et in postscripto) et Alteri. BUTT. Nihil impedire quominus etiam v. 565—567. inter spurios referantur, in quibus ὅμως v. 565. offensioni est, monet Lehrs. Aristarch. p. 159. Nam duplicem in textum venisse videri recensionem, alteram 541—564., alteram 541—546., quibus statim annexos esse 565—567.

23. Schol. Pind. ad Ol. 1, 97. versus ponens de Tantalo 583. 584. καὶ τὰ ἑξῆς addit: πλὴν εἰ μὴ κατὰ Ἀρίσταρχον νόθα εἰσὶ τὰ ἔπη ταῦτα. Conf. infra schol. 570. 577. 593. 601. 602. BUTTM.

www.libtool.com.cn

ἀθετήσεως αὐτῶν λέγεται τοιάδε· (H.) πῶς οἵδε τούτους ἢ τοὺς λοιποὺς ἔσω τῶν Ἄιδου πυλῶν ὄντας καὶ τῶν ποταμῶν; H.T.

570. ἤμενον] οὐκ ἄρα ὑπεξῆλθεν ὁ Μίνως, ἵνα συνοφθῇ. ἄλογον γὰρ τὸ καὶ σὺν δικαζομένοις καὶ αὐτῷ δίφρῳ ἐξελθεῖν. H.Q.T.

εἴροντο] ἀντὶ τοῦ ἔλεγον· ὅθεν καὶ ἱρά ἡ ἐκκλησία. ἄλογα· καθήμενος γὰρ οὐδεὶς δικάζεται. H.

571. ἤμενοι ἑσταότες τε] ἤμενοι οἱ ἐντελεῖς, ἑσταότες οἱ εὐτελεῖς. B.Q.

572. τὰ κατὰ Ὠρίωνα ἐν Τρίᾳ πόλει τῆς Βοιωτίας. H.T.

573. οὐδὲ ἐπὶ τούτου τετήρηται τὸ σύμφωνον· ἄλογον γὰρ τὸ ἐν Ἄιδου κυνηγετεῖν· πῶς τε ἅμα τῇ τῶν θηρῶν ἀγέλῃ προῆλθε, καὶ διὰ τί; H.T. πῶς οὖν μήκιστοι οἱ προειρημένοι παῖδες Ἀλωῆος; ἢ πῶς ὁ κείμενος ἐξῆλθεν; εἰ δὲ μὴ ἐξῆλθε, πῶς ἑωρᾶτο; H.T.

574. τοὺς αὐτὸς κατέπεφνεν] ὑποτίθεται τοὺς ἐν Ἅιδῃ τοιαῦτα πράττειν οἷα καὶ ἐν ζῶσιν ἐποίουν. B.Q.T.

οἰοπόλοισιν] ἐρήμοις, ἐν οἷς ἔστι μόνον πωλεῖσθαι, ὅ ἐστιν ἀναστρέφεσθαι. ἢ ἡμέροις, ἐν οἷς μόνος ἄν τις πορεύοιτο διὰ τὸ ἥμερον. ἢ ἐν οἷς οἷες ἀναστρέφονται, οἷον ὅπου νέμονται τὰ πρόβατα. B.Q.V.

577. πέλεθρα] πλέθρα. πλέθρον ἐστὶ τὸ ἕκτον μέρος τοῦ σταδίου. Q.V. λέγει οὖν ὅτι τοῦ Τιτυοῦ τὸ σῶμα ἐπὶ ἐννέα ἔκειτο πλέθρα, ὥστε κατέχειν τόπον ἑνὸς ἡμίσους σταδίου. ἦν δὲ ὁ Τιτυὸς Διὸς καὶ Ἐλάρας υἱός. ἐν δὲ ἄλλῳ, μέτρον τι γῆς. V. ὑπερμεγέθης δὲ ὢν τῷ σώματι ἔκειτο ἐπὶ ἐννέα πέλεθρα. H.Q. καταγέλαστα καὶ ταῦτα, εἰ κατεστρωμένος ἐν τῷ δαπέδῳ προῆλθεν ἐπὶ τὸ σφάγιον. αὐτὸς γὰρ ὁ Ὀδυσσεὺς οὐκ ἠδύνατο διαβῆναι ἐπὶ τὸ ἔρεβος. Q.T.

3. ἄλογον] λόγον H.T.

4. αὐτῷ δίφρῳ H. αὐτῶν δίφρων Q. αὐτὸ δίφῳ T.

ὑπεξῆλθεν — ἐξελθεῖν T. ἐπεξῆλθεν — ἐπεξελθεῖν H.Q., de quo Buttmann. "Verbum ἐπεξελθεῖν bis in hoc scholio usurpatum, aut perperam scriptum, pro ἐξελθεῖν sive mavis pro ἐπελθεῖν. Quippe hoc agit criticus hic et ad 577. et 593. ut demonstret personas quas hic recenseat omnes videre non potuisse Ulyssem, ut qui a fovea sanguine repleta non recesserit (vid. v. 627.) ἐπεξελθεῖν itaque pro eo quod ad 577. προελθεῖν."

5. ἱρά] Hoc alii ἴρα vel εἶρα scripserunt: vid. L. Dindorf. in Thesauro vol. 3. p. 276.

9. Τρίᾳ Cramerus pro Συρίᾳ.

16. ἐν—ἀναστρέφεσθαι om. B.Q.

21. ἡμίσους] καὶ ἡμίσεος Eustath. p. 1700, 7.

24. ἐν Buttm. pro σύν.

σφάγιον] Cf. ad 570. σφάγιον autem et infra ad 593. τὰ σφάγια de fovea cum sanguine. BUTTM.

578. ἧπαρ ἕκειρον] οὐ τὸν ἐπικείμενον ὑμένα τῷ ἥπατι, ἀλλὰ τὸν ἐπίπλουν, ἀλλὰ τὸ δέρμα. Q.

579. δέρτρον] τὸ δέρτρον ἢ τὸ ἐκτὸς τῆς σαρκὸς δέρμα, ἢ τὸ ἐπικείμενον λεπτότατον δέρμα τῷ ἥπατι, ὅπερ ἡ πολλὴ γλῶσσα φλάμουλον οἶδε καλεῖν. B.

τὸ δέρτρον Ἀντίμαχος μὲν ὁ Κολοφώνιος τὸν ἐπίπλουν ἀκούει τὸν ἐν τοῖς καλουμένοις ἐγκάτοις. λέγει γὰρ "οὐδέ τι θερμὸν ἀναπνείων χολάδας δέρτροισι καλύψεις." ὁ δὲ ἐπίπλους, φησὶν Ἀπολλόδωρος, ὃν ἀργέτα δημὸν καλεῖ (Il. λ, 818. φ, 126.), οὐ περὶ τὸ ἧπαρ, ἀλλὰ περὶ τὴν κοιλίαν ἐστίν. Δωριεῖς δὲ τὴν ὑπὸ τὴν δορὰν σάρκα δέρτρον καλοῦσιν, οὐ πᾶν δὲ τὸ ἐκδεδαρμένον μέρος τοῦ σώματος, ἀλλὰ τὸ περιανειλημφὸς καὶ περικαλύπτον τὴν κοιλίαν, ὃ δὴ καὶ ἀνασχίσαντες ἐξαιροῦσι τὰ ἐντός. τὸ δ' αὐτὸ τοῦτο καὶ περὶ τοῦ . . . μετὰ τοῦ δέρματος καὶ χωρὶς, ὅταν ἐκδαρῇ. ὅθεν τινὲς καὶ τὸ τὰ σπλάγχνα ἐξαιρεῖν ἀποδερτροῦν καλοῦσιν. εὐλόγως δὲ καὶ οἱ γῦπες δέρτρων ἔσω δύνουσι, τὸ ἧπαρ ἐσθίοντες, εἰς τὴν ἐπιφάνειαν τῆς σαρκὸς, ἧς ἐντὸς τὸ ἧπαρ. τὸ γὰρ δέρτρον ἔσω ἴσον ἐστὶ τῷ, εἰς δέρτρον. τῷ γὰρ ἔσω ἀντὶ τῆς εἰς Ὅμηρος χρῆται· "καὶ νήεσσ' ἠγήσατ' Ἀχαιῶν Ἴλιον εἴσω" (Il. α, 71.), ἀντὶ τοῦ εἰς τὸ Ἴλιον. H.Q.

ἤτοι τὴν ὑπὸ τὴν σάρκα πιμελὴν, ἢ τὸν ὑποκείμενον τῷ ἥπατι ὑμένα. ἔνιοι δὲ ἀπέδοσαν τὸ λεγόμενον ὑπὸ τῶν ἰατρῶν ἧτρον. ἐν δὲ ἄλλῳ, τὴν δοράν. V.

ἀπαμύνετο] ἀπεκώλυεν. V.

580. πόθεν ᾔδει τῶν κολάσεων τὰς αἰτίας; οὐ γὰρ ἤκουσεν, εἰ μὴ φησί τις εἶναι τοῦτο κατὰ τὴν Ἑλλάδα φήμην. H.

Λητὼ γὰρ ἤλκησε] διὰ τοῦτο ὑπ' αὐτῆς ὠργίσθη καὶ τοῖς ὀρνέοις ἐκδέδοται. H.Q.

ἤλκησε] ἐβιάσατο, ἀπὸ τοῦ ἀλκή ἡ δύναμις, ἐδυνάστευσε. B.

ἤλκησεν] ὠδύνησεν. V. ἤλκυσε] γρ. ἤλκησε. H.

8. δέρτροισι Eustath. p. 1700, 10. δέντροισι H. δερτροις Q.
κάλύψεις H. καλύψοις Q. καλύψας Eustathius.
9. ἀργέτα H. ἀργέτην Q.
10. δέρτρον] δέντρον H.
12. περιανειλημφὸς] Immo περιειλημφός.
13. τὰ ἐντὸς H. τὸ ἐντὸς Q.
15. ἀποδερτροῦν] ἀποδεντροῦν H. ἀποδερτροῦσι Q.
17. δέρτρον ἔσω] δέντρον ἔσω H. δέρτρων εἴσω Q.
23. ἀπαμύνετο Barnes. ἀπέκωλυεν editiones veteres. Quod corruptum est ex glossemate ἀπεκώλυεν.

www.libtool.com.cn

581. διὰ καλλιχόρου Πανοπῆος] ὅτι κατὰ τὸ ἀρσενικὸν ἐσχημάτισται ὁ Πανοπεὺς, ὡς βασιλεὺς καὶ βασιλῆος. H. ἐν Πανοπῆϊ τῆς Φωκίδος πόλει τὰ κατὰ τὸν Τιτυόν. ἦν δὲ Γῆς καὶ Διὸς παῖς. B.Q.T. Πανόπη πόλις Φωκίδος. V.

καλλιχόρου] ἀντὶ τοῦ καλλιχώρου, καλοὺς τόπους ἐχούσης. B.

582. Τάνταλον εἶσιδον κρατερὰ ἄλγε' ἔχοντα] Τάνταλος Διὸς καὶ Πλουτοῦς συνδιατρίβων τοῖς νέοις καὶ συνεστιώμενος αὐτοῖς ἁπλῆστως διετέθη. κλέψας γὰρ τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν, οὐκ ἐξὸν αὐτῷ, ἔδωκε τοῖς ὁμήλιξιν. ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία ἐκβαλεῖν αὐτὸν τῆς ἐν οὐρανῷ διαίτης καὶ ἐξαρτῆσαι ἐπ' ὄρους ὑψηλοῦ ἐκδεδεμένον τῶν χειρῶν, καὶ τὴν Σίπυλον, ἔνθα ἐκεκήδευτο, ἀνατρέψαι. ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ. V.

583. ἐν ὕδατι ὑπονοητέον αὐτὸν ἑστάναι μέχρι τοῦ γενείου κρυπτόμενον, ὡς δὲ ὑπέκυπτε πιέειν ἔφευγε τὸ ὕδωρ. H.T.

προσεπέλαζε] γρ. προσέπλαζε. H. προσεπέλαζε] προσήγγιζεν. V.

584. στεῦτο] νῦν ἀντὶ τοῦ ἵστατο ἐπὶ τῶν ποδῶν. τὸ πιεῖν δὲ οὐκ ἐδύνατο ἐλέσθαι. B. ἵστατο. νῦν ἐπὶ τῶν ποδῶν. κέχρηται δὲ τῇ λέξει ὁ διασκευαστὴς παρὰ τὴν τοῦ ποιητοῦ συνήθειαν. V. τὸ ἐξῆς, στεῦτο διψάων πιέειν, οὐκ εἶχε δὲ ἐλέσθαι. H.

587. καταζήνασκε] ἀπὸ τοῦ ἄζω, τὸ ξηραίνω, ἀζαίνω. B. κατεξήραινεν. ἄζη ἡ ξηρασία. H.V.

588. δένδρεα δ' ὑψιπέτηλα] δεῖ νοεῖν τὸν κορμὸν τῶν δένδρων ὑπὲρ τὴν ἡλικίαν εἶναι τοῦ Ταντάλου, τοὺς δὲ κλάδους ἐπικλᾶσθαι ὑπὲρ τὴν κεφαλὴν αὐτοῦ βρίθοντας τῷ καρπῷ. H. καὶ πῶς ἵστατο ἐν ὕδατι τὰ δένδρα; φαμὲν ὅτι κατὰ φαντασίαν, πρὸς τιμωρίαν Ταντάλου. H.T.

18. διασκευαστὴς] Eustath. p. 1701, 26. τὸ δὲ στεῦτο ἀντὶ τοῦ ἵστατο, χρησαμένου, φασὶ, τοῦ διασκευαστοῦ τῇ λέξει παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ. ἐν Ἰλιάδι γὰρ (γ, 83.) στεῦταί τι ἔπος ἐρεῖν Ἕκτωρ ἀντὶ τοῦ ὑπισχνεῖται, διαβεβαιοῦται ἢ φαίνεται. Schol. Il. β, 597. ὅτι τὸ στεῦτο κατὰ διάνοιαν ὡρίζετο οὐκ ἐπὶ τῆς τῶν ποδῶν στάσεως ὡς ἐν τοῖς κατὰ τὴν Νεκυίαν ἠθετημένοις "στεῦτο δὲ διψάων." Narrationem de Tantalo spuriam judicasse Aristarchum refert schol. Pindari Olymp. 1, 97. qui exposita quæ alii de Tantali pœnis fabulati essent pergit, Ὅμηρος δὲ αὐτὸν ἑτέρως ὑποτίθησι τιμωρεῖσθαι "ἑστηκότ' ἐν λίμνῃ — — οὐκ εἶχεν ἐλέσθαι" καὶ τὰ ἑξῆς, πλὴν εἰ μὴ κατὰ τὸν Ἀρίσταρχον νόθα εἰσὶ τὰ ἔπη ταῦτα. Incidunt autem hæc in versus 568. (vel 565.)—627. quos νοθεύεσθαι dicit scholiasta ad v. 568. quod ab Aristarcho factum esse ex verbis scholiastæ Pindari colligi potest.

20. κατεξήραινεν] καὶ ἐξήραινε H. κατεξήραινεν V.

www.libtool.com.cn

588. δισυλλάβως καὶ προπερισπωμένως τὸ κατὰ κρῆθεν· οὐδὲ οὗτος δύναται σὺν λίμνῃ καὶ δένδροις ἐξεληλυθέναι ἐπὶ τὸ σφάγιον, ἢ πῶς ἔξωθεν τὰ ἔσω ἐθεώρει; H.

χέε καρπὸν] τὸ χέε καὶ ἐπὶ ξηρῶν. ὁ δὲ νοῦς, ἐπέκλων κατὰ τῆς κεφαλῆς αὐτοῦ τὸν καρπόν. B.Q.

591. τῶν ὁπότ' ἰθύσει] τουτέστιν ἐφάψασθαι ταῖς χερσὶν ὅτε ὥρμα ὁ γέρων. B.

593. Σίσυφον] ἡ τιμωρία τούτου ἦν ἵνα λίθον μέγαν ἀναβιβάσῃ ἐν κορυφῇ ὄρους. τοῦτον ὁπόταν ἀνεβίβασε, διατεινόμενος ὁ λίθος πάλιν ὑπέστρεφε τῇ οἰκείᾳ δυνάμει χρώμενος. B.

πῶς δύναται σὺν τῷ λίθῳ καὶ τῇ ἀκρωρείᾳ, ἐφ' ᾗ ἀνεκύλιε τὸν λίθον, ἥκειν ἐπὶ τὰ σφάγια; πῶς τε κολάζεται ὁ ἐν Ἰλιάδι (ζ, 153.) κέρδιστος ὢν καὶ συνετώτατος; Q.T.

595. σκηριπτόμενος χερσίν τε ποσίν τε] τοῖς μὲν ποσὶν ἀντιβαίνων εἰς τὴν γῆν, ταῖς δὲ χερσὶν ὠθῶν ἄνω τὸν λίθον. Q.T.

596. λᾶαν ἄνω ὤθεσκε] ἐπαινεῖται τὸ ἔπος ὡς διὰ τῶν μακρῶν συλλαβῶν τὴν δυσχέρειαν ἐμφαῖνον. Q.

597. τότ' ἀποστρέψασκε κραταιίς] ὁ μὲν Ἀρίσταρχος καὶ Ἡρωδιανὸς ὀξυτόνως κατὰ συστολήν, ὡς λικριφίς, ἀμφουδίς, ἐπιρρηματικῶς, ὁ δὲ Ἀσκαλωνίτης τὸ πλῆρες κραταιὰ ἴς, οἷον ἰσχυρὰ δύναμις. ᾧ ἐπείσθη καὶ ἡ συνήθεια. ἡ κραταιὰ δύναμις τοῦ λίθου, ὅ ἐστι τὸ βάρος. B.H.Q. τότε ὁ λίθος ὑπέστρεφε κραταιῶς, ὅ ἐστι ταχέως. τὸ δὲ ὅλον ἐπὶ τοῦ λίθου ἀκουστέον, ὡς Ἀρίσταρχός φησι. H.T. ὑπεστρέφετο ἡ δύναμις ἐκείνου. Q.

601. βίην Ἡρακληείην] καὶ τοῦτο νεωτερικόν. οὐ γὰρ οἶδε τὸν Ἡρακλέα ἀπηθανατισμένον, οὐδὲ τὴν Ἥβην γεγαμημένην, ἀλλὰ παρθένον. διὸ καὶ παρθενικὰ ἔργα ἀποτελεῖ· οἰνοχοεῖ γὰρ καὶ λούει. H.Q.T.

602. εἴδωλον, αὐτὸς δὲ] ὅτι εἰς τρία διαιρεῖ, εἰς εἴδωλον, σῶμα,

12. τὰ σφάγια] Conf. ad 577. BUTTM. Scholion V. huc relatum vide ad 385.

20. τὸ πλῆρες] Nam Ptolemæus κραταῖ ἴς, eliso α longo, quod inepte defendit Eustath. p. 1702, 30. qui etiam Κραταΐς in libris quibusdam inveniri ait.

ἰσχυρὰ δύναμις H. ἰσχυρὰ ἴς B.Q.

21. κραταιὰ] κρατερὰ H.

23. Ἀρίσταρχος] Ex eo quod Aristarchus in hunc locum commentatus est, non tuto colligas eum pro genuino habuisse. PORSON.

25. οἶδε Buttm. pro εἶδε.

26. ἀπηθανατισμένον H.T. ἀποθανατωμένον Q.

Ἥβην] Vid. schol. ad γ, 464.

28. De Aristarchi ἀθετήσει versuum 602. 603. vid. schol. ad 385. Negligentius schol. Il. σ, 117., ubi de Hercule non inter

www.libtool.com.cn

ψυχήν. τοῦτο δὲ οὐκ οἶδεν ὁ ποιητής. B.Q. ὅτι αὐτοὺς τὰ σώματα αὐτῶν φησιν Ὅμηρος, οὐκ ἂν δέοι σώματος ἐν θεοῖς. H.

603. καλλίσφυρον Ἥβην] τὴν Ἥβην τὴν καλλίσφυρον. ταύτην δὲ καλλίσφυρον ὁ ποιητὴς λέγει ὡς ἰσχυρὰ ἔχουσαν τὰ σφυρὰ, ἤτοι τοὺς ἀστραγάλους, οἷς τὸ ὅλον σῶμα ἀνέχεσθαι πέφυκεν. Q. καλὴ, ἀπὸ μέρους, εὔρυθμος. V.

604. παῖδα Διὸς μεγάλοιο] τοῦτον ὑπὸ Ὀνομακρίτου ἐμπεποιῆσθαί φασιν. ἠθέτηται δέ. ἔνιοι δὲ οὐ τὴν οἰνοχόον Ἥβην, ἀλλὰ τὴν ἑαυτοῦ ἀνδρείαν. H.

605. ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν] ἡνίκα κατῆλθεν ὁ Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον, πόλεμον ἦρε πρός τε τοὺς νεκροὺς καὶ τὸν Ἅιδην· τρώσας δὲ τὸν Ἅιδην καὶ τοὺς νεκροὺς εἰς φυγὴν τρέψας ἀνήνεγκε τὸν Κέρβερον. καὶ μετὰ θάνατον Ἡρακλέους νομίσαντες οἱ νεκροὶ ὅτι πάλιν βιάσασθαι αὐτοὺς κατῆλθεν ἐμάχοντο πρὸς τὸ εἴδωλον αὐτοῦ. τοῦτο δέ ἐστιν, ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν οἰωνῶν ὥς. B.H.Q.T.

606. γρ. πάντοσ' ἀτυσσομένων. H.

νυκτὶ ἐοικώς] ἀπὸ κοινοῦ τὸ ἦν. H.

609. ἀορτὴρ] ὁ τοῦ τελαμῶνος κρεμαστὴρ, ἐξ οὗ τὸ ξίφος ἤρτηται. V.

611. χαροποί] γρ. χαλεποί. Vind. 133.

613. μὴ τεχνησάμενος μηδ' ἄλλο τι τεχνήσαιτο, ὃς κεῖνον τελαμῶνα ἐῇ ἐγκάτθετο τέχνῃ] ἐνταῦθα στικτέον. ὁ γὰρ νοῦς· οὐ τεχνησάμενος πρότερόν τι τοιοῦτον ἐπὶ τοῦτο ἦλθε τὸ ἔργον· οὐδ' ἂν ἐξῆς

deos recepto agit, τὴν ἀθέτησιν dicit τὴν "αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι τέρπετο."

4. ἰσχυρὰ—τὰ σφυρὰ] ἰσχυρὰς—τὰς σφυρὰς Q.

5. πέφυκεν] Nimirum hic enarrator ἦβην sensu appellativo de æterna Herculis juventute intelligit. Cf. schol. ad v. sq. BUTTM.

7. τοῦτον] Est versus Hesiodi Theog. 652. Non videtur legisse schol. v. 385. solam memorans ἀθέτησιν versuum 602. et 603. neque habent H. et duo Vindob. In eodem Hesiodi carmine versus 228. ὑσμίνας τε φόνους τε μάχας τ' ἀνδροκτασίας τε iisdem verbis legitur apud Homerum infra v. 612. ὑσμῖναί τε μάχαι τε φόνοι τ' ἀνδροκτασίαι τε.

ἐμπεποιῆσθαι Lobeck. Aglaoph. p. 333. pro πεποιῆσθα. Ceterum non injuria Nitzschius vol. 3. p. 336. miratur hunc unum versum ab Onomacrito illatum dici, non, quod quis exspectet, versus tres 602—604. Cum Onomacriti mentione comparandum quod infra de v. 631. notabimus, qui a Pisistrato illatus dicitur. Quod eodem redit, quum Pisistratum Onomacriti opera in colligendis carminibus Homericis usum esse constet.

23. οὐδ'] οὔτ' V.

www.libtool.com.cn

τι τοιοῦτον τεχνήσαιτο. ὁ κατασκευάσας ἐκεῖνον τὸν τελαμῶνα ἄλλον τοιοῦτον οὐκ ἐτεχνήσατο, ἀλλ' οὐδὲ τεχνήσεται. ὡς εἴ τις λέγοι, οἷον Φειδίας ἐποίησε τὸν Δία, τοιοῦτο οὐδὲν ἄλλο. εἰς ἐκεῖνον γὰρ τὸ πᾶν τῆς ἑαυτοῦ τέχνης κατέκλεισε. V.

οἱ δὲ οὕτως· μὴ τεχνησάμενος μηδὲ ἄλλο τι τεχνήσαιτο ἄνθρωπος, ὃς εἰργάσατο τὸν τελαμῶνα ἐκεῖνον, δηλοῦντος τοῦ ποιητοῦ ὡς παντὸς ἂν εὐπετῶς ἔργου γένοιτο τεχνίτης ὁ δημιουργὸς τοῦ τελαμῶνος. ἢ ὡς εἴ τις λέγοι, οἷον Φειδίας ἐποίησε τὸν Δία, τοιοῦτον οὐδὲν ἄλλο ἐν τῇ ἑαυτοῦ ἐνέθηκε τέχνῃ, ἀντὶ τοῦ ἐπενόησε. B.

614. ἐῇ ἐγκάτθετο τέχνῃ] ἐνίθηκεν ἐν τῇ ἑαυτοῦ τέχνῃ, ὅ ἐστιν ἐπενόησεν. V.

ἐγκάτθετο] τινὲς, ὃς κείνῳ τελαμῶνι ἓὴν ἐγκάτθετο τέχνην. H.

616. καί μ' ὀλοφυρόμενος] ἐλέγχεται ἐκ τούτων τὰ προκείμενα περὶ τοῦ Ἡρακλέους εἰδώλου, αὐτὸς γὰρ μετ' ἀθανάτοισι θεοῖσι. πῶς οὖν ὀλοφύρεται ὡς ἐν δεινοῖς ὤν; H.Q.T.

618. ἠγηλάζεις] ἄγῃ κακῷ μόρῳ. ἢ διάγεις. B. δυστυχίαν βουκολεῖς. Q. διάγεις καὶ ὑπομένεις. V.

619. ὅππερ ἐγὼν ὀχέεσκον] συνίστησιν ἑαυτὸν τοῖς Φαίαξιν ἐνδεικνύμενος ὅτι τὰ ὅμοια Ἡρακλεῖ ὑπέστη εἰς Ἅιδου καταβάς. ἅμα

2. οὐκ—οὐδὲ] Vide quam egregie negligat differentiam particularum οὐκ et μή grammaticus, et eo ipso tamen eam firmet. Nam si idem valere μή et οὐ credidit, non erat cur hoc illi in explicatione sua substitueret. Non perspexit autem enarrator poetam illo μή innuere non verum aliquem artificem, sed hypotheticum; quod et consentaneum erat in phantasmate: quippe ὅς valet εἴ τις, et ad τεχνήσαιτο intelligendum ἄν. Aliquanto cautius auctor scholii sq. BUTTM.

λέγοι pro λέγει correxi ex scholio proximo.

4. πᾶν] παρὰ V. Recte Barnesius emendat πᾶν, collatis Heliodori (Æth. 3, 4.) verbis his de Chariclea: ζόνην δὲ ἐβέβλητο τοῖς στέρνοις, ἣν ὁ τεχνησάμενος εἰς ἐκείνην τὸ πᾶν τῆς ἑαυτοῦ τέχνης κατέκλεισεν, οὔτε πρότερόν τι τοιοῦτον χαλκευσάμενος οὔτε αὖθις δυνησόμενος: quæ ideo etiam sunt memorabilia, quod apparet scriptorem non Homeri tantum sed veteris enarratoris ipsa hæc verba ante oculos habuisse. Commode etiam Theocriti verba ex Epigr. 7. apposuit Barnesius, quibus Homeri tantum dictio variatur: ὁ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχναν. Apparet autem et Theocritum et hunc scholiasten secutos esse scripturam versus 614. eam quam exhibet schol. H. BUTTM.

5. οἱ δὲ] Respicere videtur hoc δέ ad aliam aliorum explicationem qualis tamen nulla in hoc quidem codice præcedit. BUTTM.

9. ἐπενόησε Buttm. pro ἐνενόησε.

12. ὃς κείνῳ Buttm. pro οὐ κεινῷς.

15. ὡς om. Q.

www.libtool.com.cn

καὶ τὸ ἄπιστον τῆς καταβάσεως ἐπιστώσατο τῷ περὶ τὸν Ἡρακλέα διηγήματι. Q.T.

623. κύνα λέγει τὸν Κέρβερον ἐκσπάσαι με τοῦ Ἅιδου εἰς φῶς. H.

624. χαλεπώτερον] γρ. κρατερώτερον. H.M.

630. τὸ ἐξῆς, καὶ δὴ ἂν εἶδον τοὺς ἀρχαίους ἄνδρας. H.

631. Θησέα Πειρίθοόν τε] ὁ μὲν Αἴθρας καὶ Ποσειδῶνος, ὁ δὲ Δίας καὶ Διός. Q.

632. ἀλλὰ πρὶν ἐπὶ ἔθνε' ἀγείρετο] μῆκος ἂν λόγων κατηνάλωσεν εἰ περὶ πάντων διηγήσατο. ἐπεὶ οὖν ἄπιστον ἦν τὸ φιλήκοον ὄντα τὸν Ὀδυσσέα ἑκουσίως τῆς τῶν παραδόξων θεαμάτων ἱστορίας ἀποστῆναι, ἀξιόπιστον τὴν ἀπαλλαγὴν διὰ τοῦ δέους ἐποιήσατο. τὸ μὲν γὰρ μεῖναι τοιούτων τινῶν προφαινομένων ἀσύνετον, τὸ δὲ μηδενὸς ἐπικειμένου κινδύνου κατολιγωρῆσαι τῆς θέας ἀπίθανον. H.Q.

634. μή μοι Γοργείην κεφαλὴν] καὶ πῶς ἐν τῷ ὅπλῳ τῆς Ἀθηνᾶς ἐγκεῖσθαί φησιν αὐτήν; λέγει γὰρ "λάβε δ' αἰγίδα θυσσανόεσσαν," εἶτα ἐπάγει "ἐν δ' ἔρις, ἐν δ' ἀλκὴ, ἐν δὲ κρυόεσσα ἰωκὴ, ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου" (Il. ε, 738. sqq.) φησὶ δ' Ἀριστοτέλης ὅτι μήποτε ἐν τῇ ἀσπίδι οὐκ αὐτὴν εἶχε τὴν κεφαλὴν τῆς Γοργόνης, ὥσπερ οὐδὲ τὴν ἔριν καὶ τὴν κρυόεσσαν ἰωκὴν, ἀλλὰ τὸ ἐκ τῆς Γοργόνης γινόμενον τοῖς ἐνορῶσι πάθος καταπληκτικόν. καὶ μήποτε πάλιν ῥητέον ὅτι οὐκ αὐτὴν εἶχεν, ἀλλ' ὅτι ἐγγεγραμμένην ἐν τῇ ἀσπίδι ὥσπερ σημεῖόν τι. ῥητέον δὲ καὶ τοῦτο, ὅτι οὐδὲ Ὀδυσσεὺς λέγει ὡς ἦν ἐν Ἅιδου ἡ Γοργόνης κεφαλὴ, ἀλλ' ὅτι αὐτὸς ἐφοβήθη μὴ τοιοῦτος δαίμων ἐκπεμφθῇ. φοβηθῆναι οὖν, οὐκ ἰδεῖν λέγει. ἢ ὅτι ἡ μὲν ψυχὴ ἐν Ἅιδου, τὸ δὲ σῶμα ἐν τῇ ἀσπίδι. καὶ Γορ-

3. De scholio ad versum 623. referendo vid. ad 385. Inter 622. et 623. hi duo versus leguntur in N. Εὐρυσθεύς τ . . . αρ . . . ἐκέλευσε Κρονίων πλείστους δεδμ . . αι τηλεκλειτῶν τ' ἀνθρώπων. Lacunas recte explevit Cobetus, τὸν γάρ ῥα πατὴρ— δεδμᾶσθαι. Particulam τε post τηλεκλειτῶν inepte illatam explicat scholion in margine positum, καλῶς κεῖται τὸ τε, ἀντὶ τοῦ οὐ μόνον θῆρας, ἀλλὰ καὶ ἄνδρας.

5. κρατερώτερον] Hoc in textu habet N.

6. δὴ ἂν correxi ex Eustathio p. 1704, 17. δὴ νὰ H.

7. Θησέα —] Hunc versum a Pisistrato illatum esse narrat Hereas Megarensis apud Plutarch. V. Thesei c. 2. Conf. annot. ad v. 603.

9. ἂν λόγων Buttm. pro ἀναλόγων.

11. θεαμάτων] θαυμάτων B.Q.

22. ἐγγεγραμμένην] γεγραμμένην B. Q.

www.libtool.com.cn

γείην κεφαλὴν οὐ πάντως τὴν τῆς Γοργόνης, ὡς τὸ "τοίην γὰρ κεφαλὴν πόθεον υἷες Ἀχαιῶν," ἤτοι ἐκεῖ μὲν τὸ σῶμα, ἐν Ἅιδου δὲ τὴν ψυχήν. ἢ Γοργείην κεφαλὴν φοβερόν τινα δαίμονά φησι. ἐκ τούτου τὸ πλάσμα τὸ περὶ τὴν Γοργόνην γέγονεν Ἡσιόδου, καὶ συγγένειαν αὐτῆς γενεαλογεῖν ἐπεχείρησε, καὶ ὀνόματα περιέθηκε, καὶ ὅτι ἐκαρατομήθη. B.H.Q.

αὐτὴν τὴν Γοργώ, ὡς τὸ, τοίην γὰρ κεφαλήν. γέλοιον δὲ δεδοικέναι τὴν κεφαλὴν τῆς Γοργόνης, ὥσπερ κεφαλῆς καθ' ἑαυτὴν ἐλθεῖν δυναμένης. H.Q.

635. ἐξ Ἄϊδος] Ἀρίσταρχος, ἐξ Ἀΐδεω. H.

636. ἐκέλευον] γρ. ὤτρυνον. M.

Μ.

ΥΠΟΘΕΣΙΣ.

Διηγεῖται τὴν ἐξ Ἅιδου γενομένην αὐτῷ ἐπάνοδον πρὸς Κίρκην. καὶ ὡς τὰς Σειρῆνας παρέπλευσε, καὶ τὰς Πλαγκτὰς πέτρας, Σκύλλαν τε καὶ Χάρυβδιν· καὶ τὴν τῆς αὐτοῦ νεὼς καὶ τῶν ἑταίρων ἀπώλειαν ἀνελόντων τινὰς τῶν Ἡλίου βοῶν. καὶ ὡς μόνος ἐπὶ ξύλου πρὸς Καλυψὼ διεσώθη. P.Q.V.

---

2. κῦμα θαλάσσης] δι' ὅλου θάλασσαν ἀπὸ ὠκεανοῦ διαστέλλει ὁ ποιητής. B.Q.

εὐρυπόροιο] πλατὺν πόρον ἐχούσης, οἱονεὶ τὸ ῥεῦμα. ἢ καλοὺς πόρους ἐχούσης. V.

1. τοίην—Ἀχαιῶν] Respicit memoriter Od. α, 343. ubi est τοίην γὰρ κεφαλὴν ποθέω, de Penelope Ulyssem lugente. BUTTM.

3. ἐκ τούτου] Hæc, ni fallor, inserenda particula δέ cum præcedentibus sunt conjungenda. Hoc enim dicit, opinor, Homerum quidem hac Γοργείης κεφαλῆς appellatione non certam quandam personam, sed horribilem aliquem qualemcunque dæmonem intellexisse; Hesiodum autem hinc effecisse suam Gorgonem Medusam eique cetera omnia affinxisse in Theog. 274 sqq. BUTTM.

4. Ἡσιόδου H. ἡσιόδῳ B.Q.

7. αὐτὴν τὴν H. οὐ τὴν Q.

10. ἐξ Ἀΐδεω] ἐξ ἰδέω H. Hoc leviter correctum genuinam fortasse lectionem præbebit, ἐξ ἀΐδεω. Hæc enim vox semper trisyllaba est apud Homerum. Neque obstat quod vulgatæ editt. omnes retinent Od. ψ, 322. ἠδ' ὡς Ἀΐδεω δόμον ἤλυθεν εὐρώεντα. Ibi enim legendum cum H. ἠδ' ὡς εἰς Ἀΐδεω δόμον ἤλυθεν εὐρώεντα, ut κ, 512. PORSON.

14—18. Hanc ὑπόθεσιν habet etiam Eustathius.

3. ὅθι τ' ἠοῦς] οὐχ ὡς ἐπιτελλούσης τῆς ἡμέρας ἐν τῇ Αἰαίᾳ τοῦτο εἴρηκεν, ἀλλ' ἤτοι ἁπλούστερον, ἐπεὶ παρεγενόμεθα ὅπου ἡμέρα καὶ ἥλιος· ἢ κατὰ σύγκρισιν τῶν Κιμμερίων. ἢ ὡς πρώτην φῶς παρέχουσαν, ἀνατολὴν κέκληκεν, ἐπεὶ ὑψηλοῦ ὄντος τοῦ Κιρκαίου ἥλιος ἐκ νυκτὸς ἐπιλάμπει τῷ τῆς Κίρκης ξοάνῳ. V. ταῦτα ὡς πρὸς σύγκρισιν τοῦ Ἅιδου. θέλει γὰρ εἰπεῖν ὅτι ἐκ τοῦ Ἅιδου εἰς τὰ φωτεινὰ διήλθομεν. ἠοῦς δὲ εἶπεν, ἐπὶ τὰ ἀνατολικὰ δηλονότι μέρη τῆς νήσου προσορμίσαντο. B. ἢ ὡς ἐπὶ ἀνατολικὰ μέρη τῆς νήσου προσορμισάντων, ἢ ὅτι ἐξ Ἅιδου ἐλθόντες πρώτην αὐτὴν φωτεινὴν ἐθεάσαντο. ἔνιοι δὲ βιαιότερον ὑπερβατῶς κολλῶντες τὸ ὠκεανοῖο τῷ "ὅθι τ' ἠοῦς ἠριγενείης," οἵ, φασὶν, οἰκεῖ ἡ ἡμέρα· ἐξ αὐτοῦ γὰρ ἀνατέλλει καὶ εἰς αὐτὸν δύνει. οὐ μόνον δέ ἐστι βίαιον, ἀλλὰ καὶ ἐναντίον τῷ ποιητῇ. οὐ γὰρ παραδίδωσιν ὁ Ὅμηρος τοὺς ἥρωας ἐπισταμένους ὅτι ἐξ ὠκεανοῦ αἱ ἀνατολαὶ τοῦ ἡλίου, ἀλλ' αὐτὸς ἐκ τοῦ ἰδίου προσώπου τὸ τοιοῦτον παρέδωκεν· "ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας ἐξ ἀκαλαρρείταο βαθυρρόου ὠκεανοῖο" (Il. η, 421.)· καὶ "ἐν δ' ἔπεσ' ὠκεανῷ φάος ἠελίοιο" (Il. θ, 485.). οἱ δὲ ἥρωες ἄλλως λέγουσιν· "οὐδ' ὅπη ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν" (Od. κ, 191.). Q. παρεγένετο ὅπου ἐμέριζεν ὁ ἥλιος. P.

4. χοροί] χῶραι, τόποι, ὡς καὶ εὐρύχορον λέγει γῆν τὴν εὔχωρον καὶ μεγάλην. V. ἀντὶ τοῦ χῶροι· ὅθεν καὶ εὐρύχορος. B.

7. ἀποβρίξαντες] ἀπὸ τοῦ βαρύνεσθαι τὴν κεφαλὴν ὑπὸ τοῦ ὕπνου. B.T.

9. δὴ τότ' ἐγὼν] πρὸ πάντων ἐσπούδακε τὸ ἀποδοῦναι τῷ φίλῳ τὰ νομιζόμενα, μήτε ὑπὸ τοῦ φόβου τῶν ἐν τῷ Ἅιδῃ δεινῶν τὴν μνήμην ἐκταραχθεὶς μήτε τοῖς προφητευθεῖσιν ὑπὸ τοῦ Τειρεσίου ἐκθαμβηθείς. Q.T.

10. Ἐλπήνορα] οὗτος ἦν ὁ τοῦ Ὀδυσσέως φίλος, ὃς πρὸ τοῦ ἐξελθεῖν τῆς νήσου ταύτης, ἤγουν τῆς Αἰαίας, τὸ πρὶν κατεκρημνίσθη τοῦ στέγους, καὶ ἐθλάσθη τοὺς ἀστραγάλους τοῦ αὐχένος αὐτοῦ. H.

11. φιτροὺς] παχέα ξύλα. B. κορμούς. V.

1. ἐπιτελλούσης] Rectius ἀνατελλούσης apud Eustath. p. 1705.
9. ἐλθόντες—αὐτὴν Buttm. pro ἐλθόντων—αὐτὴν τὴν —.
10. κολλῶντες H. κολλῶντο Q.
11. φασὶν, οἰκεῖ Buttm. pro φησὶν οἰκεῖν.
12. εἰς αὐτὸν] εἰς ἑνιαυτὸν H.
19. ἐμέριζεν] Sic P., si recte lego. BUTTM.
20. γῆν additum ex Eustathio p. 1705, 42.

www.libtool.com.cn

12. θάπτομεν] ἐκαίομεν. V.

14. τύμβον χεύαντες] γῆν ἐπιχέαντες, ὃ ἦν αὐτὸς τύμβος. B.

ἐρύσαντες] νῦν, στήσαντες. P.V.

15. Ζηνόδοτος γράφει, ἀκροτάτῳ τύμβῳ ἵνα σῆμα πέλοιτο. H.

18. ἐντυναμένη] εὐτρεπίσασα τὰ πρὸς τροφήν. B.H.

19. οἶνον ἐρυθρόν] τὸν ποιοῦντα τὰ ἐρυθρὰ, ἢ τοιοῦτον κατὰ τὴν χροιάν. B.

22. δισθανέες] ὥσπερ τὸ διώνυμος καὶ δισώνυμος, οὕτω καὶ τὸ διθανέες δισθανέες. τίθεται γὰρ τὸ σ καὶ εἰς ἀμφότερα, καὶ ὅταν μετὰ τὸ δι φωνῆεν ᾖ, καὶ ὅταν σύμφωνον. B.

δὶς θανέες] οὕτως ἐν δυσὶ μέρεσι λόγου. φησὶ γὰρ Ἀπολλώνιος ὡς ὅτι δίς καὶ τρίς ἐν ταῖς συνθέσεσιν ἐκβάλλει τὸ σ, δίπους, τρίπους. Q.

ὅτε] τὸ ὅτε ἀντὶ τοῦ ἐπειδή, ὡς ἐκεῖ "ὅτε με βροτοὶ οὔτι τίουσιν" (Od. ν, 129.). B.H.

26. σημανέω] λέγω ὑμῖν τὴν ὁδὸν, ἵνα μὴ διὰ τὸ ἀμφιβάλλειν καὶ ἀγνοεῖν τὴν ὁδὸν τῇ ἀλλήλων κακοτεχνίᾳ καὶ ἀπειρίᾳ ἀλγήσητε. Ἄλλως. ἵνα μὴ τῇ ἀπειρίᾳ τοῦ πλοῦ εἰς βάρβαρον ἐλθόντες τόπον τῇ τῶν ἐνοικούντων κακοτεχνίᾳ ἀλγήσητε. B.H.Q.T.

Ἀπορία. διὰ τί ἡ Κίρκη τοσούτων ὄντων τῶν κινδύνων τῷ Ὀδυσσεῖ ἐν τῷ οἴκαδε παρ' αὐτῆς ἀπόπλῳ οὐχὶ πάλιν τὸν αὐτὸν ἐκέλευε πλοῦν ὅπερ ἦλθεν ἀποπλεῖν, ἀλλὰ κατὰ τὰς Σειρῆνας καὶ τὴν Σκύλλαν καὶ τὴν Χάρυβδιν συνεβούλευε ποιεῖσθαι τὸν πλοῦν καὶ παρὰ τὴν νῆσον ἐν ᾗ αἱ Ἡλίου βόες ἦσαν; ῥητέον οὖν ὅτι τῶν δύο ἀπόπλων χειρίστων ὄντων οὐδὲν ἡμάρτανεν ἡ Κίρκη συμβουλεύουσα τοῦτον ποιεῖσθαι τὸν πλοῦν ἐν κακῶν ἐκλογῇ αἱρετώτερον ὄντα. οὐ γὰρ ἐξ

4. Ad versum 15. Cramerus ex H. attulit hæc corrupta, *ἵνα στήλης σημεῖον ᾖ ἔσται δὲ παρακούω τοῦ Ἐλπήνορος εἰπόντος "πῆξαί τ' ἐπὶ τύμβῳ ἐρετμόν."*

10. ὅταν μετὰ τὸ Buttm. pro ὅτε πρὸ τοῦ.

11. Ἀπολλώνιος] Ἀπολλόδωρος bis apud Eustath. p. 1706, 1.

12. ὡς ὅτι] Eædem particulæ conjunctæ sunt in schol. φ, 27. et frequenter in scholiis Iliadis Herodianeis, quorum exempla collegit Lehrs. Arist. p. 34. Alia scholiastarum exempla vide in Indicibus ad scholia Demosthenis p. 849. et Æschinis p. 131. Temere illatum ab librariis Xenophonti Hellen. 3, 2, 14. notavit Castalio.

14. τίουσιν] τίσουσιν H.

18. Ἄλλως Buttm. pro ἀλλ'.

20. διὰ τί —] In H. nota tachygraphica præscripta, Ἀπορία significans, ut videtur Cramero. Hoc igitur præfixi, ut α, 8. et alibi.

22. κατὰ T. καὶ H.Q.

www.libtool.com.cn

ὧν ἀπειθήσαντες αὐτῇ ἠτίχησαν ἀποκτείναντες Ἡλίου βοῦς αἰτιᾶσθαι χρὴ, θεωρεῖν δὲ ὅτι, εἰ ἐπείσθησαν αὐτῇ, οὐδὲν ἂν παθόντες δεινὸν οἴκαδε ἀπῆλθον. H.Q.T.

27. ἀλγήσετε] ὅτι συνέσταλκεν ἀντὶ τοῦ ἀλγήσητε. H.

33. ἡ δ' ἐμὲ] ἀντιδιασταλτικὴ ἡ ἐμέ. H.

34. εἷσέ τε καὶ προσέλεκτο] παρέκλινεν ἑαυτὴν καὶ προσηγάγετο. P. προσέκλινεν ἑαυτῇ καὶ προσηγάγετο. ἢ καὶ προσδιελέξατο, ὃ καὶ ἄμεινον. προσέλεκτο ἀντὶ τοῦ ἐκοίμησε. B.Q. προσέλεκτο] προσεῖπεν. V.

38. μνήσει δέ σε καὶ θεὸς αὐτός] ἔνιοι τὸν Ποσειδῶνα, ὃς διὰ τῶν ἔργων ὑπομνήσει αὐτόν. H. τὸν Ποσειδῶνά φησι. διὰ τῶν ἔργων ὑπομνήσει περὶ τῶν ὑπ' ἐμοῦ λεγομένων ὅτι ἀληθῆ εἰσι. B.Q.

39. Σειρῆνας] κατὰ μὲν τοὺς πολλοὺς Ἀχελῴου καὶ Στερόπης τῆς Πορθάονος αἱ Σειρῆνες, κατ' ἐνίους δὲ Ἀχελῴου καὶ Τερψιχόρης μιᾶς τῶν Μουσῶν. ἑλόμεναι δὲ παρθενίαν ἐμισήθησαν ὑπὸ Ἀφροδίτης καὶ ἔχουσαι πτερὰ ἀπέπτησαν εἰς τὸ Τυρρηνικὸν κλίμα, καὶ νῆσον κατέσχον Ἀνθεμοῦσσαν ὀνομαζομένην. ὀνόματα δὲ αὐτῶν Ἀγλαοφήμη, Θελξιέπεια, Πεισινόη καὶ Λίγεια. κατὰ δὲ Ὅμηρον δύο· Σειρήνοιν γὰρ λέγει. V. τὰς Σειρῆνας Ἀχελῴου καὶ Τερψιχόρης μιᾶς τῶν Μουσῶν, οἱ δὲ Στερόπης τῆς Πορθάονος, ἀγαπησάσας τὴν παρθενίαν ἀπεστύγησεν Ἀφροδίτη καὶ ὠρνίθωσεν. αἱ δὲ ἀπέπτησαν εἰς τὴν Τυρρηνίαν περὶ νῆσον Ἀνθεμοῦσσαν. ὀνόματα δὲ αὐτῶν Ἀγλαοφήμη καὶ Θελξιέπεια. φασὶ δὲ ὡς Ὀδυσσέως φυγόντος αὐτὰς ὀργισθεῖσαι καθῆκαν ἑαυτὰς εἰς θάλασσαν. Ὅμηρος δὲ οὔτε γένος αὐτῶν παρίστησιν οὔτε πτερωτὰς αὐτάς φησιν εἶναι. H.Q.T.

αἱ Σειρῆνες ἢ ὄρνιθες κέλαδοι ἦσαν ἐν λειμῶνι, ἢ γυναῖκες θελκτικαὶ καὶ ἀπατητικαὶ, ἡ αὐτὴ ἡ κολακεία. πολλοὺς γὰρ θέλγει καὶ ἀπατᾷ καὶ ὡσανεὶ θανατοῖ. B.

40. ὅτι σφέας] ὅτε ἡ διὰ τοῦ σφ ἀντωνυμία ἐπιφέρεται, ἐγείρει τὴν πρὸ αὐτῆς ὀξεῖαν καὶ ἐπὶ σπονδείου καὶ ἐπὶ πυρριχίου καὶ ἐπὶ ἰάμβου. διὸ ἐπιστατέον τῷ "οὐ γάρ τ' οἶδ' εἴ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις" (Il. ζ, 367.) H.

42. τῷ δὲ οὔτι γυνὴ] τοῦτο λέγει διὰ τὸ τοὺς ἀκούοντας τοῦ μέ-

18. Πεισινόη scripsi pro Πισινόη.
19. γὰρ addidit Barnesius.
20. πορθάονος H. παρθάνας Q. ἀμνθάονος T. cum Eustath. p. 1709, 39.
23. ὀδυσσέως φυγόντος T. ὀδυσσεὺς φυγὼν H.Q.
26. κέλαδοι] δυσκέλαδοι Buttm.
29.—31. Conf. schol. Il. ζ, 367.

λους τῶν Σειρήνων μὴ δύνασθαι κινηθῆναι ἐπὶ τοῦ πρόσω τῇ ἀρρήτῳ τῆς ἀοιδῆς ἡδονῇ, ἄλλα θνήσκειν ταύτης ἀκούοντας. Q.

43. οἴκαδε νοστήσαντι] ὁ μὲν Ἀριστοφάνης φησὶ κατατηκομένους τῇ ᾠδῇ καὶ αἰφνιδίως ἐκλείποντας ἀπολέσθαι, ὁ δὲ Ἀρίσταρχος διὰ τὴν τῶν ἀναγκαίων σπάνιν. Q.

46. περὶ δὲ ῥινοὶ μινύθουσι] περὶ δὲ τὰ ὀστέα τὰ δέρματα σήπονται. Q.

47. ἀλεῖψαι] περισπωμένως, ἵν' ᾖ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ τοῦ ἄλειψον. H.

οὐκ ἄρα ἐπτέρωνται, ἐπεὶ καὶ προσεπέτοντο τοῖς παραπλέουσιν. H.

51. ὀρθὸν ἐν ἱστοπέδῃ] ὀρθὸν ξύλον ἐκ τῆς τρόπιδος, ᾧ προσδέδεται ὁ ἱστὸς, ἐν ᾧ δεσμεῖται τὸ ἄρμενον. Q. τῷ τόπῳ ἐν ᾧ ὁ ἱστὸς ἐντίθεται. V.

52. Σειρήνοιιν] ὅτι δύο καθ' Ὅμηρον αἱ Σειρῆνες, οὐ τρεῖς. Q.

53. κελεύσῃς] γρ. κελεύεις. H.

53, 54. ἀθετεῖ Ἀριστοφάνης. πρὸς τί γὰρ ἅπαξ δεδεμένον πάλιν δῆσαι κελεύει; H.

54. δεόντων] Ἀρίσταρχος γράφει διδέντων, ὡς τιθέντων. H.

56. διηνεκέως] διαρρήδην. ἔνιοι δὲ ῥᾳδίως. H. οἷον κατὰ μίαν παραγγελίαν, ἢ δι' ὅλου. V.

57. ὁππότερη] ἀντὶ τοῦ, διὰ ποίας. V.

58. ἀμφοτέρωθεν] ἐκ θατέρου μέρους ἀμφοτέρας τὰς ὁδούς. B.H. ἐκ τοῦ ἑνὸς μέρους. B. ἑκατέρωθεν. V.

59. ἐπηρεφέες] πυκναὶ, ἢ ἐπικρεμάμεναι, ὑψηλαὶ καὶ ἐπίστεγοι. Q.V.

προτὶ δ' αὐτάς] οὕτως Ἀρίσταρχος προτί. H.

61. Πλαγκτὰς] Πλαγκτὰς, διὰ τὸ προσπλήσσεσθαι αὐταῖς τὰ κύματα· οἱ δὲ νεώτεροι πλανηθέντες, Πλαγκτὰς ἤκουσαν παρὰ τὸ

1. τοῦ Buttm. pro τῷ.

18. διδέντων] διδόντων H. Lege διδέντων Attice pro διδέτωσαν a δίδημι, quod fluit a δέω ut τίθημι a θέω. Impf. δίδη ipse Homerus usurpat Il. λ, 105. Suid. et Hesych. δίδημι, (τὸ) δεσμεύω. In Xenoph. Anab. 5, 8, 24. legendum ex cod. Paris. διδέασι pro δεσμεύουσι, quod in δεδείασιν corrupit Hesychius. Idem e nostro loco διδέντων· δεσμευόντων. Sic MS. lectionem διδόντων recte correxit Musurus. PORS. Adde Schæfer. ad Greg. Cor. dial. Æol. § 55. BUTTM.

19. ἔνιοι] ἔνι H.

22. ἐκ θατέρου H. ἑκατέρου B.

26. οὕτως] Nam alii ποτί scripserunt, quod in textu habet M.

27. Πλαγκτὰς] πλακτὰς H.

www.libtool.com.cn

πλάζεσθαι εἰς ὕψος καὶ βάθος. H. ὁ μὲν Κράτης, ὅτι πλάζεται περὶ αὐτὰς τὸ κῦμα, οἱ δὲ ὡς τὴν Δῆλον κινεῖσθαι καὶ φέρεσθαι. V. ἀπὸ τοῦ προσπλήσσεσθαι ἐν αὐταῖς τὰ κύματα. B.

θεοὶ μάκαρες καλέουσιν] ἄνθρωποι δὲ οὐδέν. κἀκ τούτου δῆλον ὅτι πέπλακεν. V.

62. οὐδὲ πέλειαι — — φέρουσιν] τινὲς φυσικῶς ἀναλύοντές φασιν ὡς κατ' ἐκεῖνο γινομένης τῆς Πλειάδος εἷς ἐκ τῶν ἑπτὰ ἀστέρων ἀφανὴς ἐγένετο ἐκ τοῦ καπνοῦ. H.Q. ἤτοι μυθικῶς φησι τὰς περιστερὰς διὰ τῶν Πλαγκτῶν πετομένας ἀποκομίζειν Διὶ ἀμβροσίαν, ἢ φυσικῶς τοῦτο εἴρηκεν. ὅταν γὰρ ἕκαθεν τῶν Πλαγκτῶν γένηται τὸ ἄστρον τὸ λεγόμενον Ταῦρος, τότε συμβαίνει τῶν ἐπὶ τῆς οὐρᾶς αὐτοῦ κειμένων ζ' ἀστέρων, οἳ Πλειάδες λέγονται, ἕνα ἀμαυροῦσθαι ἐκ τῆς ἀναφορᾶς τοῦ καπνοῦ. φέρουσι δὲ τροφὴν ὕδωρ θαλάσσιον τῷ ἡλίῳ, ὃν καὶ Πλάτων ἐν Φαίδρῳ Δία προσηγόρευσεν "ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνει." H.Q.V.

Ἄλλως. ἔδει τὰς περιστερὰς ὡς ἀκεραίους καὶ ἀκάκους καὶ ὀξείας τῇ πτήσει λέγεσθαι φέρειν τῷ Διὶ τὴν τροφήν, ἥτις ἐστὶν ἀμβροσία. H.Q.

64. ἀλλά τε καὶ τῶν] ἀλλὰ καὶ ἀπὸ τούτων τῶν πελειῶν ἀφαιρεῖται μίαν λὶς, ἀντὶ τοῦ λισσή, πέτρη. B.

65. ἀλλ' ἄλλην ἐνίησι] τὴν πλάνην τῶν διερχομένων ἐκεῖσε ζῴων ταῖς Πλαγκταῖς φησι πέτραις ἐναρίθμιον εἶναι, ἤτοι συγκατατεταμένην καὶ ἀχώριστον. H.Q.

66. ἥτις] γρ. ὅστις. H.

69. οἵη δὴ κείνη γ' ἐπέπλω ποντόπορος ναῦς Ἀργὼ πασιμέλουσα] Τυρὼ ἡ Σαλμωνέως ἔχουσα δύο παῖδας ἐκ Ποσειδῶνος, Νηλέα τε καὶ Πελίαν, ἔγημε Κρηθέα. καὶ ἴσχει παῖδας ἐξ αὐτοῦ τρεῖς, Αἴσονα καὶ Φέρητα καὶ Ἀμυθάονα. Αἴσονος δὲ καὶ Πολυμήλας καθ' Ἡσίοδον γίνεται Ἰάσων, κατὰ δὲ Φερεκύδην ἐξ Ἀλκιμέδης. τελευ-

1. πλάζεται Buttm. pro πελάζεται.

6. πέλειαι] Quæstionem διὰ τί ὁ ποιητὴς πελειάδας ἐποίησε τῆς τροφῆς τῶν θεῶν διακόνους καὶ τίνα Ἀλέξανδρος ὁ βασιλεὺς καὶ Ἀριστοτέλης εἰς τοῦτο εἶπον ex Ptolemæo Hephæstione memorat Photius Bibl. p. 147, 3.

9. Πλαγκτῶν] πλακτῶν H. hic et paullo post, ut p. 532, 27.

10. ὅταν correxi pro ὅτε.

11. τὸ λεγόμενον] ὁ λεγόμενος V.

14. τῷ addidi ex H.

Φαίδρῳ] P. 246 E. Loco Platonico utitur etiam Eustathius p. 1713, 13.

20. μίαν Buttm. pro μία.

22. Πλαγκταῖς] Hic quoque πλακταῖς H.

τῶν δὲ οὗτος καταλείπει τοῦ παιδὸς ἐπίτροπον τὸν ἀδελφὸν Πελίαν, ἐγχειρίσας αὐτῷ καὶ τὴν βασιλείαν, ἵνα αὐξηθέντι τῷ υἱῷ παράσχῃ. ἡ δὲ τοῦ Ἰάσονος μήτηρ Ἀλκιμέδη δείσασα δίδωσιν αὐτὸν τρέφεσθαι Χείρωνι τῷ Κενταύρῳ. τραφεὶς δὲ καὶ ἡβήσας ἔρχεται εἰς Ἰωλκὸν ἀπαιτῶν τὴν πατρῴαν ἀρχὴν τὸν Πελίαν. ὁ δὲ ἔφασκε χρῆναι αὐτὸν πρότερον διακομίσαι τὸ χρυσοῦν δέρος ἀπὸ Κόλχων καὶ τοὺς πυριπνόους ἀνελεῖν ταύρους. ἀκούσας δὲ ταῦτα ὁ Ἰάσων λέγει τῷ Χείρωνι. καὶ αὐτῷ ὁ Χείρων συνεκπέμπει τοὺς ἡϊθέους. κατασκευάζει δὲ ἡ Ἀθηνᾶ τὴν Ἀργώ. πλέοντες δὲ ἀφικνοῦνται ἐπὶ τὴν τῶν Βιθυνῶν χώραν, καὶ ὁρῶσι τὸν Φινέα πηρὸν διὰ ταύτην τὴν αἰτίαν. ἔχων γὰρ παῖδας ἐκ Κλεοπάτρας τῆς Βορέου καὶ ἐπιγήμας Εὐρυτίαν δίδωσιν αὐτοὺς τῇ μητρυιᾷ διαβληθέντας πρὸς ἀναίρεσιν. Ζεὺς δὲ χαλεπήνας λέγει αὐτῷ πότερον βούλεται ἀποθανεῖν ἢ τυφλὸς γενέσθαι. ὁ δὲ αἱρεῖται μὴ ὁρᾶν τὸν ἥλιον. ἀγανακτήσας δὲ ὁ Ἥλιος Ἁρπυίας ἐπιπέμπει αὐτῷ, αἵτινες, εἴ ποτε μέλλοι ἐσθίειν, αὐτοῦ διέπρασσον ἐμβάλλουσαι φθοράν τινα. καὶ οὕτω Φινεὺς ἐτιμωρεῖτο. τοῦτον οὖν τὸν Φινέα θεωρήσαντες οἱ περὶ τὸν Ἰάσονα παρεκάλουν ὑποθέσθαι πῶς δεῖ διαπλεῦσαι τὰς Πλαγκτὰς λεγομένας πέτρας. ὁ δὲ εἶπεν, ἐὰν τὰς Ἁρπυίας ἀπαλλάξωσι τῆς πρὸς αὐτὸν ὁρμῆς. θέντες δὲ συνθήκας ἐπαγγέλλονται αὐτῷ τοῦτο δρᾶσαι. ὁ δὲ λέγει αὐτοῖς, πόσον δύναται ἔχειν τάχος ἡ Ἀργώ; φάντων δὲ πελειάδος, ἐκέλευσεν ἀφεῖναι περιστερὰν κατὰ τὴν συμβολὴν τῶν πετρῶν, κἂν μὲν μεσολαβηθῇ, μὴ πλεῖν, ἐὰν δὲ σωθῇ, τότε περαίνειν τὸν πλοῦν. οἱ δὲ ταῦτα ἀκούσαντες ποιοῦσι. κατασχεθείσης δὲ τῆς περιστερᾶς διὰ τῆς οὐρᾶς, προσβάλλουσι τῇ Ἀργοῖ δυοῖν . . . . πλαγάδες πέτραι

8. ἡϊθέους] Barnesius corrigit ἡμιθέους; et revera infra schol. ξ, ultimo de Argonautis legitur ἡμιθέων, pro qua voce ibi Sturzius corrigit ἡϊθέων. Cf. schol. λ, 321. (de Theseo); sed ibi μετὰ τῶν ἡϊθέων de juvenibus in Cretam missis, quorum tam diversa ratio ut ob id ipsum fere Barnesii correctioni faveam. BUTTM.

11. Εὐρυτίαν] Εἰδοθέαν τὴν Κάδμου ἀδελφήν schol. Soph. Antig. 992. Ἰδαίαν Δαρδάνου Apollod. 3, 15, 3. et al. Appono hæc in similitudinem horum feminæ nominum digitum intendens. BUTTM.

15. μέλλοι Buttm. pro μέλλει.

αὐτοῦ διέπρασσον] Barn. pro αὐτοῦ διέπρασσον scribit τὰ αὐτοῦ δ. πάντα, quibus parum juvamur. Eustath. ad h. l. ex eodem ut apparet fonte hæc referens, ita: αἱ λιμώττειν ἐποίουν τὸν ἄνθρωπον ἀφαρπάζουσαι δαινυμένου τὰ βρώματα. Hinc in nostro emendo—ἐσθίειν, τὰ βρώματα αὐτοῦ διήρπαζον ἐμβάλλουσαι φθοράν τινα· BUTTM.

18. διαπλεῖσθαι Buttm. pro πλεῦσαι.

25. . . . . πλαγάδες] Tam manifesta

www.libtool.com.cn

συνελθοῦσαι τῆς νεὼς συμμύουσιν, αὐτοὶ δὲ σώζονται. οἱ δὲ Βορεάδαι Ζήτης καὶ Κάλαϊς ἀποδιώκουσι τὰς Ἁρπυίας ἀπὸ τῶν Φινέως δείπνων. καὶ οὕτω παραγίνονται εἰς Κόλχους. ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ. V.

70. Ἀργὼ] ἡ ἀργὴ κατ' ἀντίφρασιν. ἢ ὅτι τοὺς Ἀργείους εἶχε. B.

πασιμέλουσα] ἐπίθετον τῆς Ἀργοῦς ἀπὸ τοῦ πᾶσιν ἐν ἐπιμελείᾳ εἶναι διὰ τὸ κλέος. ἢ πᾶσι μέλουσα θεοῖς. V. πᾶσι τοῖς ἀπὸ τῆς Ἑλλάδος ἐν φροντίδι οὖσα. ἐκ πάσης γὰρ τῆς Ἑλλάδος εἶχεν ἥρωας. ἢ παρὰ πάντων οὖσα διὰ φροντίδος ὡς ταχεῖα. Q.

ὑφ' ἓν πασιμέλουσα. νεωτερικὸν δὲ τὸ γράφειν φασιμέλουσα, ἡ τοῖς ἐν Φάσιδι πολλὴν φροντίδα ποιήσασα. H.Q.

73. οἱ δὲ δύο σκόπελοι] ἐν θατέρῳ πλευρῷ τῶν Πλαγκτῶν· οὐ γὰρ δύο πορθμούς φησι. H.

75. τὸ μὲν οὔποτ' ἐρωεῖ] τὸ μὲν, ἤτοι τὸ νέφος, οὔποτε ἐρωεῖ, ἤτοι οὐδέποτε ὑποχωρεῖ, λήγει· ὡς τὸ "ὑπερώησαν δέ οἱ ἵπποι" (Il. θ, 122.)· νεφέλην γὰρ εἰπὼν ἀπέδωκε τὸν λόγον πρὸς τὸ νέφος καὶ οὐ πρὸς τὴν νεφέλην. διὰ τοῦτο εἶπε, τὸ μὲν οὔποτ' ἐρωεῖ. B.Q.

ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει] πρὸς τὸ συνώνυμον ἀπήντησε τὸ οὔποτ' ἐρωεῖ. νέφος] νεφέλη. τὸ μὲν] τὸ νέφος. τὸ μὲν οὔποτ' ἐρωεῖ] σχῆμα τῶν σημαινομένων ἀκόλουθον. ἐρωεῖ] ἀποχωρεῖ. V.

sunt in his lacunæ vestigia ut ejus signum apponere non dubitaverim. Eustathius p. 1712, 20. ita: ἀπολυθείσης οὖν τῆς περιστερᾶς καὶ συσχεθείσης, οὐ πάσης, ἀλλὰ κατὰ τὸ οὐραῖον, εἰσβάλλουσι τοῦ λοιποῦ διὰ τῶν Συμπληγάδων. αἱ δὲ συμβύσασαι τὴν ἄκραν πρῷραν (Barn. recte em. συμμύσασαι —πρύμναν) τῆς Ἀργοῦς ἔκλασαν κατὰ τὸ ἐν τῇ περιστερᾷ σύμβολον. Huic sensui quam parum apte accommodarint scholii verba Barnesius et ad Hygin. 19. Muncker, apud ipsos vide. Ego contentus sum in verbo προσβάλλουσι (quod Eustathius, qui lacunosum et ipse præ oculis habuit scholium, in εἰσβάλλουσι mutabat) et in illo δυοῖν indicia monstrare sensus hujus: *Argonautas addidisse navi aplustre* δυοῖν ὀργυιῶν, *idque a Symplegadibus commissis abscissum fuisse.* In simili autem periculo, vocis Συμπληγάδες prora in nostro scholio comminuta est, non minus integro manente vocabulo quam illa Argo, nisi quod poeticum nunc in scholiastæ prosa miramur. BUTTM.

5. Ἀργείους Buttm. pro ἀργούς.

14. Brevius in H. ἐρωεῖ] λήγει, ὑποχωρεῖ, ὡς τὸ ὑπερώησαν. περιστατέον τὸ ἐρῶ καὶ κολῶ.

18—20. In his magna confusio. Primum Barnesius jam vidit scholium subjectum lemmati ὁ μὲν οὐρανὸν ε. ι. spectare ad v. 75. Nimirum oscitantia librarii ab uno lemmate ad alterius scholium aberrantis periit scholium ad v. 73. quod sine dubio spectabat schema illud οἱ δὲ δύο σκόπελοι, ὁ μὲν —: cf. Eust. De altero autem schemate scholiastes ait, "verba, οὔποτ' ἐρωεῖ, ἀπαντῆσαι πρὸς τὸ συνώνυμον (cf. schol. V. ad γ, 184.) h. e. pro νεφέλη subjectum habere genere neutro τὸ νέ-

www.libtool.com.cn

Ἀρίσταρχος οὐ λέγει πρὸς τὸ νέφος τὴν ἀπότασιν εἶναι, ἀλλά φησιν ὅτι τοῦτο οὐδέποτε λήγει, τὸ κεκαλύφθαι τὸν σκόπελον τῷ νέφει. H.Q.

77. οὐ καταβαίη] λείπει ὁ δέ. ἤτοι, οὐδὲ καταβαίη, ἀντὶ τοῦ, ὅλως ἀνέλθοι. B.Q. ἤγουν ὅλως ἀνέλθοι. Ἀρίσταρχος γράφει, οὐδ' ἐπιβαίη, τὸ ἄβατον αὐτῆς ὅλως παριστῶν. H.

οὐδέ κεν ἀμβαίη] οὐ δυνηθῇ ἀνελθεῖν. οὐδ' ἐπιβαίη] οὐδὲ κατέλθῃ. V.

78. οὐδ' εἴ οἱ χεῖρές τε] ὅτι ὁμοία ἡ προφορὰ τῆς ὑπερβολῆς τῷ "οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι" (Il. β, 489.). H.Q.

81. εἰς ἔρεβος τετραμμένον] εἰς τὰ πρὸς δύσιν μέρη νεῦον. πιθανῶς δὲ, ἵνα μὴ προϊδόντες οἱ ἑταῖροι παύσωνται τῆς κωπηλασίας. V. ἴσως πρὸς ἔρεβος ἦν ἀπεστραμμένον, ὥστε ἀεὶ ἀπεστράφθαι ἐξ αὐτοῦ τὴν αὐγὴν τοῦ ἡλίου. H.Q.

84. ἀφίκοιτο] ἀντὶ τοῦ καταλάβοι. V.

σχεδὸν ἔδειξε τὸ μῆκος τῶν δειρῶν [πετρῶν] πηλίκον ἦν· ἡ δὲ μέση δεδυκυῖα τοῦ σπηλαίου ἐφικνεῖται τῶν παραπλεόντων τοσοῦτον ἀπεχόντων ὡς μηδὲ τόξευμα ἀφικνεῖσθαι ἀπὸ τῆς νεὼς εἰς αὐτάς. H.

85. Σκύλλη] Σκύλλα Φόρκυνος θυγάτηρ καὶ Ἑκάτης, ἔχουσα

φος, cujus ulterioris explicationis fragmina sunt hæc: ΝΕΦΟΣ. νεφέλη. Mox aliud de eadem re scholium cum eodem lemmate τὸ μὲν οὔποτ' ἐρωεῖ, additum, in quo scribendum σχῆμα τῶν σημαινομένων ἀκόλουθον pro σχημάτων σ. ἀ. Ita nimirum vocat hoc schema grammaticus quoniam *sensum* nominis, non formam sequitur. Nescio tamen an hic etiam rectius scribendum, τῶν συνωνύμων ἀκόλουθον. Barnesius duo hæc scholia conflare conatus est pessime. BUTTM.

1. οὐ λέγει] οὐ φησὶ H.

2. φησιν ὅτι om. Q.

5. ὅλως ἀνέλθοι] ὅλως ἀνέλθῃ B.Q.

ἀνέλθοι] ἀνέλθῃ H.

οὐδ' ἐπιβαίη] οὐκ ἐπιβαίη H. Correxi ex M. in quo annotatum γρ. οὐδ' ἐπιβαίη. "Eustath.: τὸ δὲ γράφειν οὐδ' ἐπιβῆναι (ἐπιβαίη), οὐκέτι ἀφελὲς, ἀλλὰ γελοῖον. Et sic est in lemmate schol. vulg., ubi quoniam male hodie hæc scriptura explicata est (vid. supra), Barnesius audacter reposuit ἀποβαίη." BUTTM.

9. χεῖρές τε] Recepit hoc Wolfius pro vulgato χεῖρές γε. Sed utrumque, ni fallor, olim junctum erat, χεῖρές γέ τ' ἐείκοσι καὶ πόδες. Nam fœdissimus profecto est hiatus etiam in cæsura, quando accidit in pleonastico ε. Ne quis enim objiciat e. g. Il. γ, 197. ἔγωγε ἴσκω, meminerit in quibusdam verborum formis reduplicationem esse qua digamma quoque reduplicatur, illaque ἔοικα, ἴσκω respondere his δέδοικα, δεδίσκω: contra in talibus qualia sunt ἐείκοσι, ἴση, ἔεδνα, nullum reduplicationis usquam vestigium esse. BUTTM.

προφορὰ Buttm. pro προσφορά.

13. ἴσως πρὸς H. εἰς Q.

17. τοῦ σπηλαίου] Fort. κατὰ τοῦ σπηλαίου, ut ap. Eustath. p. 1715, 29.

www.libtool.com.cn

πρὸς ταῖς πλευραῖς σκύλακας, κατέχουσα τὸν περὶ Σικελίαν πορθμόν. "ἔνθεν μὲν Σκύλλη, ἑτέρωθι δὲ Χάρυβδις" (235.). V. Σκύλλα θυγάτηρ μὲν ἦν Φόρκυνος καὶ Ἑκάτης, τὸ μὲν μέγεθος θαυμαστή. εἶχε δὲ πόδας μὲν δώδεκα, κεφαλὰς δὲ ἓξ, ἐν ἑκάστῳ δὲ τῶν στομάτων τρεῖς στίχους ὀδόντων, ὀφθαλμοὺς δὲ πυροειδεῖς. καὶ τὸ μὲν ἄλλο σῶμα ἐκρύπτετο αὐτῆς ἔν τινι σπηλαίῳ κατὰ βυθοῦ βεβλημένον, συμφυὴς οὖσα τῇ πέτρᾳ. τὰς δὲ κεφαλὰς αὐτῆς εἶχεν ἔξω περιμήκεις ὥστε δύνασθαι ἀπὸ τῆς πέτρας εἰς τὴν ναῦν φθάνειν. ταύτην λέγεται τὸν Ἡρακλέα, ὁπότε τὰς Γηρυόνου βοῦς ἦγεν, ὡς εἶδεν ἀπληστευομένην, ἀνελεῖν, τὸν δὲ πατέρα διὰ πυρὸς ἀναγκάσαι πάλιν αὐτὴν ἀναζῆσαι. ἡ δὲ ἱστορίᾳ παρὰ Διονυσίῳ. V.

λελακυῖα] ἤτοι ὑλακτοῦσα, ἢ οἰκτρὸν ἦχον ἀποτελοῦσα. V. ὑλακτοῦσα. Ἰακῶς συνεστάλη. ἡ δὲ Σκύλλα Φόρκυνος καὶ Ἑκάτης θυγάτηρ. H.

86. νεογιλῆς] νεογνῆς, γάλακτι τρεφομένης. V.

ἔνθεν αὐτῇ κυνῶν μὲν κεφαλὰς οἱ νεώτεροι περιέπλασαν. ἀθετοῦνται δὲ στίχοι τρεῖς. πῶς γὰρ ἡ δεινὸν λελακυῖα δύναται νεογνοῦ σκύλακος φωνὴν ἔχειν; δύναται δὲ τὸ ὅση ἀντὶ τοῦ οἵα κεῖσθαι, ἵνα μὴ πρὸς τὸ μέγεθος, ἀλλὰ πρὸς τὴν ὁμοιότητα εἴη ἡ παραβολή. H.Q.

88. οὐδ' εἰ θεὸς ἀντιάσειε] εἰς ὅρον ὑπερβολῆς ἀεὶ τὸ θεῖον παραλαμβάνει ὁ ποιητής. καὶ ἐπὶ τῶν ἡδέων· "ἔνθα δ' ἔπειτα καὶ ἀθάνατός περ ἐπελθὼν γηθήσειεν ἰδών" (Od. ε, 74.). καὶ ἐπὶ πολέμου "οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθών" (Il. ν, 127.). καὶ ἐπὶ τῶν φοβερῶν, "οὐδ' εἰ θεὸς ἀντιάσειεν," ἤτοι ἐναντίον ἐπέλθοι. H.Q.

89. πάντες ἄωροι] ψιλωτέον τὰς δύο συλλαβάς. ἔστι γὰρ, οὓς οὐκ ἄν τις ὠρήσειεν, ὅ ἐστι φυλάξειεν. οἱ δὲ καὶ μὴ δυναμένους ὁρμῆσαι, ὡσπερεὶ παρειμένους. ἐν τοῖς τραχήλοις γάρ ἐστιν ἡ πᾶσα ὁρμή. οἱ δὲ νεώτεροι, τοὺς ὀρούειν μὴ δυναμένους μηδὲ ὁρμᾶν, ἅτε τῇ

2. ἔνθεν μὲν — Χάρυβδις] Sic editiones antiquæ, nisi quod in illis versus ἔνθεν μὲν in lemmatis forma positus est; fortasse quod olim sequens narratio cum hoc lemmate versui 235. ascripta et inde mox huc translata est. Edd. recentiores versum textui edito conformant, postque eum inserunt Ἄλλως. BUTTM.

11. Διονυσίῳ] Διονύσῳ V. Est haud dubie Dionysius ille Mythicorum multorum auctor, de quo vid. Heyn. ad Apollod. in indice scriptorum. BUTTM.

21. ὅρον H. ὅρος Q.

25. ἐπέλθοι] ἐπέλθῃ H.

26. οὓς habet H., om. Q.

www.libtool.com.cn

πέτρᾳ προσπεφυκυίας αὐτῆς, ἐπεὶ κἂν τὸν Ὀδυσσέα καὶ τὰ θηρώμενα ἐπεδίωκεν. οἱ δὲ, κωλῆν μὴ ἔχοντες· ὥρα γὰρ ἡ κωλῆ κατ' Ἴωνας λέγεται, ἐπεὶ πλεκτάναι εἰσίν. οἱ δὲ, ἄνισοι κατὰ μέγεθος, ἢ πολύποδες. ἢ σκληροὶ παρὰ τοὺς ἀώρους καρπούς. ἢ λεπτότατοι καὶ πλεκτανώδεις. οἱ δὲ, ἄωροι, ἤτοι ὠμοὶ, ἢ ποικίλοι. ἢ κατὰ μεταφορὰν τῶν ἄκρων ἀφύλακτοι καὶ δεινοί· ὠρεῖν γὰρ τὸ φυλάσσειν. Ἀρίσταρχος δὲ ἀκώλους· τοὺς γὰρ Ἴωνας λέγειν φασὶ τὴν κωλῆν ὥρην καὶ ὡραίαν· οὐκ ἔχοντας οὖν ὁστᾶ ἀκώλους καὶ ἀνάρθρους λέγεσθαι. ὑποκεῖσθαι γάρ φησι τῇ Σκύλλῃ πετραῖόν τι θηρίον προσπεφυκὸς τῷ σκοπέλῳ καὶ κοχλιώδες πόδας τε ἔχον πλεκτανώδεις, ὥστε λέγειν οὕτως τὸν ποιητὴν, Σκύλλην πετραίην (231.). κατὰ δὲ τὴν ἄνωθεν φαντασίαν τῇ Τδρᾳ προσεοικέναι καὶ τοὺς αὐχένας αὐτῆς ἰσομεγέθεις εἶναι τῷ σκοπέλῳ. καθιεῖσαν δὲ τὴν Σκύλλαν τὰς κεφαλὰς οὕτως ἀνασπᾶν τοὺς ἁρπαζομένους. "φέρει δέ τε κρατὶ ἑκάστῳ φῶτα ἁρπάζουσα" (99.). ὡς ἂν οὖν ὀλισθηρῶν ὄντων τῶν ποδῶν καὶ οὐκ ἐχόντων ἀντίληψιν, ἀώρους ἄν τις δέξαιτο τοὺς ἀκώλους. Κράτης δὲ ἐν τοῖς περὶ διορθώσεως ἀφυλάκτους ἀκούει, οὕτως περὶ τῆς εἰκόνος διαλεγόμενος· τοιοῦτον γάρ τι ὑπόκειται ζῷον ἓξ μὲν ἔχον κεφαλὰς καὶ δειρὰς οὐκ ἐλάττονας, πρὸς δὲ τὴν θάλατταν ἀπὸ τοῦ κατὰ τὸ σπήλαιον ὕψους καθειμένους δώδεκα πόδας, οἵους ἂν θαλάττιον ζῷον ἔχοι, πλεκτάναις ὁμοίους τῷ ὄγκῳ καὶ τῷ μήκει, μείζονας τῶν αὐχένων καὶ τῷ ἀριθμῷ διπλασίους. H.Q.

λεπτοί. ἔνιοι δὲ ἀπέδοσαν, παραιωρούμενοι καὶ ἀσθενεῖς. τινὲς δὲ, δυσφύλακτοι, οὓς οὐδεὶς ἄν τις δυνηθείη φυλάξασθαι διὰ τὴν περὶ αὐτοὺς δεινότητα· ὠρεῖν γὰρ τὸ φυλάσσειν, ἔνθεν καὶ ὁ πυλωρός. ἔνιοι δὲ δασέως ἀνέγνωσαν ἄωροι, ὠμοὶ, ἄγριοι, ἐκ μεταφορᾶς τῶν

2. κωλῆν—κωλῆ] Scribebatur κωλὴν—κωλή, pariterque infra.

3. ἄνισοι H. ἄνεισι Q.

5. ἤτοι ὠμοὶ addidi ex H.

7. φασὶ] φησὶ Buttm.

9. τῇ Σκύλλῃ—ἔχον] Hæc re ipsa clamante ita reposui: nam in Q. ita—τὴν Σκύλλαν πετραῖον τὸ θηρίον—πόδας τε ἔχειν —. BUTTM. τὴν Σκύλλαν et πόδας τε ἔχειν etiam ex H. annotatum.

19. Quæ post ἐλάττονας leguntur solus habet H.

21. ἔχοι scripsi pro ἔχῃ.

23. Similia apud Eustath. p. 1715, 17. Ex Epaphrodito Etym. M. p. 117, 10. Ἄωροι: "τῆς ἤτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι" Ὀδυσσείας μ', λεπτοὶ καὶ ἀσθενεῖς· ἢ δυσφύλακτοι, διὰ τὴν δεινότητα· ἢ ὠμοὶ καὶ ἄγριοι, ἐκ μεταφορᾶς τῶν ἀώρων καὶ μὴ πεπείρων καρπῶν· ἢ οὐδεμιᾶς φροντίδος ἄξιοι· ἢ δυσόρμητοι· οὐ γὰρ χρῶνται αὐτοῖς εἰς πορείαν — — — οὕτως Ἐπαφρόδιτος ἐν ὑπομνήματι τῆς μ' Ὀδυσσείας. ἔνιοι δὲ ἀπέδοσαν ἄμωροι, ἀντὶ τοῦ ἰχθυοφόροι, ἰχθῦς φέροντες.

www.libtool.com.cn

ἀώρων καὶ μὴ πεπείρων καρπῶν. τινὲς, οὐδεμιᾶς φροντίδος ἄξιοι· ὥρα γὰρ ἡ φροντίς. ἔνιοι δὲ ἀώρους τοὺς ἐμπροσθίους, ὡς καὶ παρὰ τῷ κωμικῷ "οὐ τοὺς ἀώρους εἶπά σοι, μαστιγία, πόδας κομίζειν; σὺ δὲ φέρεις ὀπισθίους." ἄμεινον δὲ ἀποδιδόναι τοὺς χαλεπούς καὶ δυσφυλάκτους παρὰ τὸ ὠρεῖν, ὅ ἐστι φυλάσσειν. ἢ τοὺς δυσορμήτους, παρὰ τὸ ὀρούειν· οὐ γὰρ χρῆται αὐτοῖς ἡ Σκύλλα εἰς πορείαν. V.

ἢ δυσφύλακτοι, οὓς οὐδεὶς ἂν δυνηθείη φυλάξασθαι διὰ τὴν περὶ αὐτοὺς δεινότητα. ἢ ὠμοί. ἢ οὐδεμιᾶ φροντίδος ἄξιοι. ἢ ἀνόρμητοι, οἱ μὴ δυνάμενοι ὀροῦσαι. Ἄλλως. ἄωροι, σκληροὶ παρὰ τοὺς ἀώρους καρπούς. ἢ κρεμαστοὶ, ἀπὸ τοῦ αἰωρῶ, τὸ κρεμῶ. B.

90. δειραὶ περιμήκεες] ἀντισταδιαίους τῷ μήκει. Q.

91. σμερδαλέη κεφαλὴ] κατὰ μὲν τοὺς πολλοὺς κυνός· πιθανώτερον δὲ δράκοντος· καὶ γὰρ μόνος δράκων τρεῖς στίχους ἔχει ὀδόντων. V.

92. πυκνοὶ καὶ θαμέες] ἐκ παραλλήλου ἔταξε τὰς λέξεις ἰσοδυναμούσας. V.

94. ἐξίσχει κεφαλὰς] τινὲς ἐξίσχει κακῶς στίζουσιν. H.

βερέθρου] γρ. βαράθρου. H.

95. περιμαιμώωσα] ὑπὸ τοῦ λιμοῦ ἐνθουσιῶσα καὶ κινουμένη. B.

97. κῆτος] ὡς καὶ τῶν δελφίνων καὶ τῶν κυνῶν κητῶν ὄντων. H.

ἀγάστονος] μεγάλους ψόφους ἀποτελοῦσα· ἢ μεγάλους στεναγμοὺς ἐπιφέρουσα διὰ τοὺς ἐν τοῖς ναυαγίοις ἀπολλυμένους. V.

98. τῇ δ'] Ἀριστοφάνης, τήνδε. ὑφὲν δὲ τὸ πώποτε. H.

ἀκήριοι] ἀβλαβεῖς, ἄνευ κηρὸς, ὅ ἐστι θανάτου. H.V.

102. πλησίον ἀλλήλων] μετὰ τὸ στίξαι τελείως εἰς τὸ Ὀδυσσεῦ, τὸ "πλησίον ἀλλήλων" ὡς ἀπὸ ἄλλης ἀρχῆς προφερόμεθα καὶ στίζομεν εἰς τὸ ἀλλήλων. λείπει δὲ τὸ εἰσί, πλησίον ἀλλήλων εἰσίν. εἶτα σαφηνίζει τὸ διάστημα. ἐγὼ δὲ εἰς τὸ πλησίον στίζων οἶμαι μηδὲν λείπειν. Q. Ἀριστοφάνης πλησίον γράφει. H.

2. παρὰ τῷ κωμικῷ] Non Aristophani, ut alias, sed Philemoni; vid. Lex. Seguer. in Bekk. Anecd. p. 476. ubi pro κομίζειν est πρίασθαι. In nostro scholio erat olim μάστιγι et σοὶ δέ. BUTTM.

3. εἶπά σοι] εἶπας Eustathius, omisso μαστιγία.

18. θαράθρου] Hoc in textu habet N.

23. τήνδε] τὴν δ' scripserat Aristophanes.

24. ἀβλαβεῖς—θανάτου H. νῦν ἄνευ κηρὸς καὶ θανάτου, ἀβλαβεῖς V.

27. λείπει δὲ τὸ] ἅδε τοι Q. Correxit Friedlaender. in libro de Nicanore p. 25.

29. Ἀριστοφάνης πλησίον γράφει] Duplex igitur scriptura exstitit, altera quæ nunc est in libris πλη-

www.libtool.com.cn

δὴ οἰστεύσειας] γρ. διοϊστεύσειας. M. οἴστῳ καταλάβοις ἀπὸ σκοπέλου εἰς σκόπελον. B.Q.

103. τῷ δ' ἐν ἐρινεός ἐστι] οἰκονομικῶς, ἵν' εἰς τοῦτον ἐκκρεμασθῇ ὁ Ὀδυσσεύς. διὸ καὶ τὸ μέγας πρόσκειται, ἵνα δυνηθῇ βαστάξαι τὸν κρεμάμενον ἥρωα. παρατετηρημένως δὲ οὐκ ἐλαίαν ἢ ἄλλο δένδρον, ἀλλ' ἐρινεὸν παρέλαβεν, ὅσπερ εἴωθε καὶ ἐν κρημνοῖς φύεσθαι. Q.

104. δῖα Χάρυβδις] ἡ φοβερὰ, παρὰ τὸ δέος. θαλάσσης δὲ βάθος ἀναποτικόν ἐστι μεταξὺ τοῦ Ἀδρίου καὶ τοῦ Τυρρηνικοῦ πελάγους. B.Q.V. οὐκ ἐδήλωσέ γε μὴν ὁ Ὅμηρος πότερον θηρίον ἐστὶν ἢ ἄμπωτις. ὑποπτεύει δ' αὐτὸν Καλλίστρατος ὡς μαχόμενον τοῖς ἔπειτα. B.Q.

ἀναρροιβδεῖ] περισπωμένως· τινὲς δὲ τὴν λέξιν περὶ τοῦ ἀναρριπτεῖ ἔταξαν. οὐκ ἀναστρεπτέον δὲ τὴν ὑπό πρόθεσιν. H.

105. τρὶς μὲν γάρ τ' ἀνίησιν] τινὲς τὸ τρίς ἀντὶ τοῦ πολλάκις. ἄμεινον δὲ τῷ "ἐπ' ἤματι" ἀντὶ τοῦ νυχθημέρῳ. δι' ὀκτὼ γὰρ ὡρῶν γίνεται ὁ σπασμὸς τοῦ ὕδατος, ὡς Ὀδυσσεύς φησιν. καὶ ἀλλαχοῦ "ἔνδεκα δ' ἤματα θυμὸν ἐτέρποντο" (Il. φ, 45.), ἀντὶ τοῦ νυχθήμερα. Q.

τρὶς δ' ἀναροιβδεῖ] ἄμπωτις δέ τις, ἀνάπωσίς τις καὶ ἀναρρόφησις. ὑπονοστεῖ γὰρ τὸ ὕδωρ ἔν τισι κοιλώμασι τῶν πετρῶν καὶ πάλιν ῥήγνυται, διὸ τὸ ὕδωρ καλεῖται ῥαχία. ἦν δὲ οὗτος ὁ τόπος τοῖς πλέουσιν ἐπικίνδυνος, θανάτου μεστὸς, ὅτι τὸ πλοῖον ἐν τούτῳ τῷ τόπῳ ὑποβρύχιον ἐγίνετο. H.Q.

ἡ κατὰ τὴν Σκύλλαν ἐστὶν ἱστορία αὕτη, ὡς ἦν γυνὴ περικαλλὴς μέχρι ὀμφαλοῦ. ἔνθεν καὶ ἔνθεν κυνῶν προσεπεφύκεσαν κεφαλαὶ αὐτῇ ἓξ. τὸ δ' ἄλλο αὐτῆς σῶμα ὀφιοειδές. ὃ θηρίον τοὺς παραπλέοντας τὰ πελάγη ταῦτα κατήσθιεν ἀφειδῶς ἢ θηριωδῶς. ἡ δὲ Χάρυβδίς

σίον, altera, ni fallor, πλησίοι. Utram utri substituerit Aristophanes incertum est, quum πλησίῶν γράφει errore librarii scriptum esse possit pro πλησίοι γράφει.

1. Scripturam vitiosam δὴ ὄϊστεύσειας in textu habet M. videnturque habere B.Q. ex quibus loco lemma posuit Maius.

8. ἀναποτικόν om. B.Q.

10. ὑποπτεύει — ὡς μαχόμενον τοῖς ἔπειτα] Quum in sequentibus nihil sit quod huic versui repugnet, Duentzer. p. 192. hanc notationem ad v. 107. rettulit οὐ γάρ κέν ῥύσαιτό σ' ὑπὲκ κακοῦ οὐδ' ἐνοσίχθων, qui repugnare videatur vers. 430 seqq. ubi Ulixes e Charybdi servatur.

16. φησιν] Conf. ad v. 439.

21. διὰ Buttm. pro ὅτι. Ex H. enotatum ὅ.

25. προσεπεφύκεσαν] προσπεφύκεσαν H. προσπεφύκεισαν Q.

αὐτῇ H. αὐτῆς Q.

www.libtool.com.cn

ἐστι τόπος τις κοίλος περὶ τὴν θάλασσαν, καὶ ἵσταται ἐν τούτῳ ὕδωρ ὥστε τὸν πυθμένα τῆς θαλάσσης συστρεφομένου βιαίως τοῦ ὕδατος φαίνεσθαι, καὶ ἀναρροφᾶται καὶ πάλιν ἀποπτύεται τρὶς τῆς ἡμέρας. H.Q.

107. ὑποβολή. εἰκότως ἐπιταράττει αὐτὸν ἐπὶ τούτῳ, ἵνα θάτερον ὑποστῇ. H.

111. ἀτυζόμενος] λυπούμενος, ταρασσόμενος, τεταραγμένην ἔχων τὴν καρδίαν. M. ἐκπληττόμενος. V.

112. ἐνίσπες] γρ. ἔνισπε. M.

116. καὶ δ' αὖ τοι] ὁ μὲν αὖ σύνδεσμος, ἡ δὲ τοι ἀντωνυμία. ὁ δὲ λόγος, καὶ ἐκεῖ πολεμήϊά σοι ἔργα μέμηλεν, ὦ σχέτλιε. B.Q.

117. θεοῖσιν—ἀθάνατον] διαφέρει παρ' Ὁμήρῳ ἀθάνατος καὶ θεός· καὶ γὰρ οἱ Ἀχιλλέως ἵπποι ἀθάνατοι, οὐ μέντοι θεοί. H.

120. οὐδέ τις ἔστ' ἀλκή] εἰς τὸ ἀλκὴ ἀνάπαυσις· εἶτα γνωμικώτερον τὸ ἑξῆς. H. ἐνταῦθα στικτέον. ὁ δὲ λόγος, οὐδὲ ἔστι κατὰ Σκύλλης ἀλέξησις. φεύγειν δὲ ἀπ' αὐτῆς κρεῖττον. ἀλκὴ γὰρ ἡ βοήθεια καὶ ἀλέξησις. V.

124. Κραταιίν] Κραταιὶς καλεῖται ἡ μήτηρ τῆς Σκύλλης. μάγοι δὲ Ἑκάτην αὐτὴν καλοῦσιν. V. Κράταιϊν Σῆμός φησιν Ἑκάτης καὶ Τρίτωνος, Κραταΐδος δὲ καὶ Δείμου Σκύλλαν. Στησίχορος Λάμιάν φησι τῆς Σκύλλης μητέρα. H.

ἄμεινον γράφειν, κραταιίς, ἀντὶ τοῦ ἰσχυρῶς, ὡς ἀλλαχοῦ "τότ' ἀποστρέψασκε κραταιίς" (λ, 597.), ἵνα λέγῃ, κραταιῶς ἐπιβοῶ τὴν μητέρα τῆς Σκύλλης. καὶ ὀξύνεται. ἐὰν δὲ ᾖ κύριον, προπαροξύνεται. B.H.Q.

2. βιαίως om. Q.

7. ἀτυζόμενος] Vulgatam nunc scripturam ἀμειβόμενος etiam M. et Vindob. 50. in textu habent, sed uterque annotato in margine γρ. ἀτυζόμενος. "Perbona autem lectio. Nam ἀμειβόμενος non commode adhibetur nisi finito alterius sermone. At Ulysses Circen interpellat." BUTTM.

12. διαφέρει—] Hanc observationem excerpsit Eustath. p. 1717, 23.

15. ὁ δὲ λόγος, οὐδὲ ἔστι Barnesius pro οὐδὲ ἐστὶ λόγος.

18. Κραταιΐς] Eustath. p. 1714, 32. οἱ μάγοι Ἑκάτην, φασὶν, αὐτὴν καλοῦσιν. εἰσὶ δὲ οἳ Τρίτωνά φασιν εἶναι πατέρα τῇ Σκύλλῃ. Στησίχορος δὲ Λάμιαν αὐτῆς μητέρα ποιεῖ.

19. Σῆμος Cramerus pro σχῆμος. Apud Mueller. Fragm. Hist. vol. 4. p. 495.

Ἑκάτης καὶ Τρίτωνος] Φόρκυνος καὶ Ἑκάτης p. 536, 19. Et sic Acusilaus apud schol. Apoll. Rh. 4, 828.

20. Στησίχορος] ἐν τῇ Σκύλλῃ, ut annotavit schol. Apoll. Rh.

22. γράφειν] γράφε B.Q.
ἰσχυρῶς] κραταιῶς B.

www.libtool.com.cn

ἀθετοῦνται γ', ὅτι διὰ τούτων σημαίνει μὴ εἶναι τὴν Σκύλλαν συμφυτον τῇ πέτρᾳ. H.

127. Θρινακίην] νῆσός ἐστιν ἐν ὠκεανῷ ἱερὰ Ἡλίου. Q.V.

128. ἠελίοιο βόες] ἦλιον ἐνταῦθα τὸν χρόνον λέγουσιν εἶναι, βόας καὶ μῆλα τὰς ἡμέρας. αἱ ἑπτὰ γὰρ ἀγέλαι, ὧν ἑκάστη ν', τν' γίνονται. γόνος δὲ οὐ γίνεται αὐτῶν. καὶ γὰρ αἱ ἡμέραι τοῦ χρόνου οὔτε πλείονες γίνονται οὔτε ἐλάττονες, ἀλλ' ἀεὶ αἱ αὐταί. B.

129. ἑπτὰ βοῶν ἀγέλαι] Ἀριστοτέλης φυσικῶς τὰς κατὰ σελήνην ἡμέρας αὐτὸν λέγειν φησὶ τν' οὖσας. τὸν γὰρ πεντήκοντα ἀριθμὸν ἑπταπλασιάσας εἰς τὸν τριακοστὸν πεντηκοστὸν περιεστάναι εὑρήσεις. Q. Vind. 56.

τόσα δ' οἰῶν πώεα] οἶμαι λέγειν τὰς τοσαύτας νύκτας. καὶ αἵτται γὰρ τν' ἑπταπλασιαζομένου τοῦ ν'. H.Q.

130. πεντήκοντα δ' ἕκαστα] ἕκαστα βουκόλια καὶ ποίμνια, ἤτοι μία ἑκάστη τούτων ἀγέλη ἀνὰ πεντήκοντα φέρει. Q.

131. θεαὶ δ' ἐπιποιμένες εἰσί] θεαὶ δὲ αἱ ὧραί εἰσι. B.

οὐ κωλύουσιν αὗται εὐδυῖαι κολασθησομένους αὐτούς. V.

133. Ὑπερίονι] τῷ ὑπεράνωθεν ἡμῶν ἰόντι. H.

Νέαιρα] Νεαίρη σύνεστιν ὁ Ἥλιος, ἐπειδὴ νέος ὁ θεός. V.

138. ἦ τ' ἂν] γρ. καὶ κεν. M.

149. ἴκμενον οὖρον] διὰ τί ἐν μὲν τοῖς ἀκινδύνοις μέρεσι τοῦ πλοῦ παρέχει αὐτῷ πνοὴν οὔριον παραπλέοντι Σειρῆνας, καὶ Σκύλλην οὐκέτι; τάχα οὖν καὶ τοὺς ἀνέμους ἔθελγεν. H.T. ἐπιτήδειον πρὸς τὸ ἱκέσθαι. B.

152. ἥμεθα] δημοτικῶς εἰς μέσον παρατίθησι τὰ ἀπόρρητα. κοινὸς γὰρ ὁ κίνδυνος. Q.T.

157. ἐν ἀμφοτέροις πλεονάζει ὁ κεν, ἢ ἑλώμεθα τὸν θάνατον, ἢ τὰ πρὸς σωτηρίαν παρασκευασώμεθα. H.

1. γ'] Versus 124—126.

3. Ἡλίου] νείλου V.

8. Ἀριστοτέλης] Hunc nominat etiam Eustathius.

9. τν' οὖσας] Q. mendose, τῶν ν' οὖσας. Vulg. sermone mutilo, Ἀριστοτέλης φυσικῶς φησι. λέγει γὰρ τὰς καθ' ἡμέρας πεντήκοντα πρὸς ταῖς τριηκοσίαις.—Barnesius affert Luciani locum Astrol. 22. in quo verissime, sed ad hoc usque tempus incassum, pro βολάς emendat, βίας: καὶ τοῦ ἡελίου τὰς βίας, τὰ δὴ ἐγὼ ἤματα συμβάλλομαι εἶναι. BUTTM.

10. εὑρήσεις] εὕρηκε Q.

12. καὶ αἵτται—τοῦ ν' om. Q. Addidi ex H. correcta codicis scriptura τοῦ ν μεταπλασιαζομένου τοῦ μ.

18. Post versum 133. in cod. Vindob. 133. hic est insertus, αὐτοκασιγνήτη Θέτιδος λιπαροπλοκάμοιο.

20. γρ. καὶ κεν] Hoc dicit, scribi etiam ἦ κεν.

21. πλοῦ (πλόου Cramerus) correxi pro πλοίου.

26. Ante v. 154. in H. et Vind.

158. Σειρήνων] τὰ κατὰ μέρος οὐ λέγει, ὅτι θέλγουσιν ἡδονῇ, ἵνα μὴ τῆς μελῳδίας ἐπιθυμήσαντες ἀμελήσωσι τῶν παραγγελμάτων. Q.

160. ἀλλά με δεσμῷ] εἰ μὲν καταφρονήσει τῆς ᾠδῆς, οὐδὲν ἠδίκει ὁ δεσμός· εἰ δὲ ἐθέλγετο δεθείς, ἐσώζετο. φιλομαθὴς δὲ καὶ ἐγκρατὴς, ὥστε τοῦ μὲν λωτοῦ οὐκ ἐθέλησε, τῶν δὲ Σειρήνων ἀνήκοος μεῖναι οὐκ ἐκαρτέρησιν. Q.

οἷον ἔμ' ἠνώγει] ἵνα πείρᾳ μάθῃ ὅτι ἀληθεύει. καὶ ἄλλως ἔδει τινὰ εἶναι τὸν μηνύσοντα ὅτι οὐκέτι ἐξακούονται αἱ Σειρῆνες. V. ἡ μὲν Κίρκη εἶπεν "ἀτὰρ αὐτὸς ἀκουέμεν αἴκε θέλῃσθα" (49.). ὁ δὲ τὸ ἂν θέλω οὐ προσέθηκεν, ἵνα μὴ δοκῇ πλεονεκτεῖν μετὰ ἀσφαλείας τὸ ἡδὺ θηρώμενος. H.

163. καὶ ἐνταῦθα οἱ δύο ὀβελίζονται ὡς ἀδικώτατοι. H.

164. ὑμεῖς δ' ἐν] γρ. ὑμεῖς μ' ἐν. Vind. 133.

167. ἀμύμων] γρ. ἀπήμων. H.

168. αὐτίκ' ἔπειτ' ἄνεμος] ἐντεῦθεν Ἡσίοδος καὶ τοὺς ἀνέμους θέλγειν αὐτὰς ἔφη. Q.V.

ἥδε] δασέως τὸ ἥδε. H.

169. κοίμησε δὲ κύματα δαίμων] κατ' ἐπιβουλὴν Ποσειδῶνος, ἵνα μᾶλλον αὐτῶν ἀκούσῃ ὁ Ὀδυσσεύς. τινὲς δὲ ὅτι καὶ τοὺς ἀνέμους ἵστασαν γοητεύουσαι τῇ φωνῇ. B.Q. ἴσως ἡ Κίρκη, ἵνα μὴ ἀπροφύλακτοι προσενεχθῶσιν, ἢ Ποσειδῶν, ἵνα ἀκούσῃ. V.

170. ἱστία μηρύσαντο] συνέστειλαν, ἀπὸ τῆς τῶν μηρυομένων ἐρίων συστολῆς. B.Q. συνέστειλαν διὰ τῶν κάλων. V.

171. ἐν νηὶ γλαφυρῇ θέσαν] καταθέντες δηλονότι τὸ κέρας. V.

172. λεύκαινον ὕδωρ] ἔτυπτον· ἀπὸ τοῦ παρακολουθοῦντος. λευ-

133. insertus est hic: κέκλυτέ μευ μύθων κακά περ πάσχοντες ἑταῖροι. Nimirum ut aliquoties in his scholiis observamus, erant qui tali γάρ, quale est in v. 154. offenderentur ubique. BUTTM.

1. Scholia v. 158. 160. in Q. adscripta versibus 154. 157. Correxit Buttmannus.

26. ἔτυπτον] ἤρεσσον V.

παρακολουθοῦντος] Frequens hic usus verborum παρακολουθεῖν et παρέπεσθαι in scholiis Homericis. Sic supra p. 167, 2. scholiastæ monent σεῖον ζυγόν (γ, 486.) dictum esse ἀντὶ τοῦ ὄδευον, ἀπὸ τοῦ παρεπομένου τὸ προηγούμενον. Brevius p. 300, 26. (ζ, 83.) αἱ δ' ἄμοτον τανύοντο: ἐκ τοῦ παρακολουθοῦντος ἔτρεχον (i. e. ἐκ τοῦ π. σημαίνει τὸ προηγούμενον, ἔτρεχον), ubi fortasse τὸ ἔτρεχον scribendum ut in scholio ad ο, 184. σεῖον ζυγόν: ἀπὸ τοῦ παρακολουθοῦντος τὸ ἔτρεχον. Porro schol. ad ν, 78. ἀνερρίπτουν: ἀπὸ τοῦ παρακολουθοῦντος· ἀναρρίπτεται γὰρ ὑπὸ τῶν κωπῶν τὸ ὕδωρ. Exempla ex scholiis in Iliadem v. apud Friedlaender. Ariston. p. 68.

www.libtool.com.cn

καίνεται γὰρ ὑπὸ τῶν κωπῶν τὸ ὕδωρ ἀπὸ τοῦ σφοδρῶς κωπηλατεῖν. B.Q.V.

ξεστῇς ἐλάτῃσιν] κώπαις ἐξ ἐλάτης ξύλου κατεσκευασμέναις. Q. ἀπὸ ἐλάτης δένδρου κατεσκευασμέναις κώπαις. V.

174. πίεζον] ἐμάλασσον. V.

175. ἰαίνετο] ἀπαλὸς ἐγένετο, διεχέετο. μεγάλη ἡ ἶς, ἡ θερμὴ δύναμις τοῦ πυρός. H.

177. πᾶσιν ἄλειψα] ἐπέπλασα ἐμφράττων τῶν ὤτων τοὺς πόρους. Q. ἐνέφραξα. V.

178. ὁμοῦ χεῖράς τε πόδας τε] ἀπὸ κοινοῦ τὸ ὁμοῦ, ὁμοῦ χεῖρας ὁμοῦ πόδας. Q.

179. πείρατ' ἀνῆπτον] γρ. πείρατ' ἀνῆψαν. M. τὰ πείρατα τοῦ δεσμοῦ, τὰ σχοινία ἐδέσμουν. H.

180. τύπτον ἐρετμοῖς] τὸ ἑξῆς, ἅλα τύπτον ἐρετμοῖς ῥίμφα διώκοντες. B.

181. ἀλλ' ὅτε τόσσον ἀπῆν] τὸ μὲν ἀπῆν ἐπὶ τῆς νηὸς, τὸ δὲ διώκοντες ἐπὶ τῶν ἐρετῶν. οὐ γὰρ εἴρηκεν ἀπῆμεν. B.H.

ἀπῆν ἡ ναῦς· νῦν δὲ οἱ ἐν τῇ νηΐ. προσεπάγει τὸ διώκοντες. ἀλλ' ἔθος ἔχει ἡ μετοχὴ τὸ αὐτὸ δύνασθαι τῷ ῥήματι μετὰ τοῦ ἐπειδή. Εὐριπίδης "μέλλων δὲ πέμπειν μ' Οἰδίπου κλεινὸς γόνος, ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλιν" ἀντὶ τοῦ ἐπειδὴ ἔμελλεν ὁ Οἰδίπου υἱὸς πέμπειν. οὕτω καὶ ἐνταῦθα, ἐπειδήπερ πάνυ ἐδίωκον, ἵν' ᾖ ὁ νοῦς οὕτως, ὅτε δὲ ἡ ναῦς ἀπῆν, ὅσον τε γέγωνε βοήσας· καὶ γὰρ ταχέως αὐτὴν ἤλαυνον. H.Q.

182. ῥίμφα διώκοντες] εὐκόλως ἐλαύνοντες. Q.

184. δεῦρ' ἄγ' ἰὼν] ἐν τούτοις ὁ ποιητὴς προσωποποιεῖται λέγων

17. οὐ γὰρ—εἴρηκεν ἀπῆμεν om. B.
18. προσεπάγει H. προσεπάγη Q.
19. τοῦ ἐπειδή correxi pro τούτου ἐπειδή.
20. Εὐριπίδης] Phœniss. 290.
γόνος om. Q.
22. ἐδίωκον H. ἐδίωκεν Q. male. "Nam scholiastæ ante oculos habentis lectionem ἀπῆν ὅσσον, mens est hæc: participium διώκοντες. de remigibus, verbo ἀπῆν de navi eodem modo subjungi quo in exemplo Euripideo participium μέλλων, de Eteocle, verbo ἐστράτευσαν de Achæis. Hinc mox istud ῥίμφα διώκοντες iterum explicat ita, καὶ γὰρ ταχέως ἤλαυνον. Nos si illo exemplo uti velimus, quod tamen hodie nemo, opinor, fecerit, ita hoc efferamus: sicut μέλλων ibi pro μέλλοντος, ita hic διώκοντες positum esse pro διωκόντων, sc. τῶν ἐρετῶν. Verum in eo ipso quod remiges hic silentur, Eteocles autem illic nominatur, magna sita est differentia. Homerus si revera junxit ἀπῆν—διώκοντες, *navem* et *nautas* tanquam synonyma cogitavit." BUTTM.

www.libtool.com.cn

τὸ ἄγε, ὡς ἐκ προσώπου τῶν Σειρήνων καλουμένων τὸν Ὀδυσσέα πρὸς ἑαυτὰς, ὅπως δῆθεν τέρποιτο τῇ τούτων ἀοιδῇ. ὁ δὲ νοῦς τῆς προκλήσεώς ἐστι τὸ χρηματίσαι τοῦτον καὶ τοὺς φίλους αὐτοῦ βρῶμα ταῖς Σειρῆσιν οἶκτου ἄξιον. Q.

πολύαιν' Ὀδυσεῦ] μαντικαί τινες αἱ Σειρῆνες, ὅθεν γνωρίζουσι τοὔνομα. Q.V. πῶς οὖν ὅτε οὐκ ἀκούουσιν, οὐ γνωρίζουσιν; ὅτι θεοὶ οἷς ἂν μὴ ἐπιστήσωσιν οὐκ ἴσασιν. V.

185. νωϊτέρην ὅπ'] δύο φαίνονται καὶ ἐντεῦθεν. H.

188. νεῖται] ἐπανέρχεται. Q. ἀπέρχεται. V.

193. λῦσαι δ' ἐκέλευεν] μαρτυρία τῆς ἡδονῆς ὅτι καὶ ὁ ἐγκρατέστερος ἥττηται. B.H.V.

196. μᾶλλον δὲ πιέζευν] γρ. μᾶλλόν τε πίεζον. H.

ἐπιέζευν] γρ. πίεζον. Vind. 133.

197. καὶ μὲν οἵεται, οὐδὲ πρότερον ἤκουον. σημαίνει δὲ οὖν ἔξω τοῦ δύνασθαι ἀκούειν ἐγενόμεθα. H.

202. καπνὸν καὶ μέγα κῦμα] εἰκότως καπνόν. ἐν ἡμέρᾳ γὰρ οὐ φαίνεται πῦρ. V. καπνόν] ἐκ τῆς συγκρούσεως καὶ παρατρίψεως τῶν Πλαγκτῶν· δοῦπον δὲ ἐκ τῆς ἐκρήξεως. B.Q.

205. προήκεα] ὡς ταναήκεα. δηλοῖ δὲ τὰ προβεβηκυῖαν τὴν ἀκμὴν ἔχοντα, ἢ τὰ προήκοντα τῆς νεώς. B.H.Q. προέχοντα καὶ προτεταμένα τῆς νεώς. V.

209. ἔπι] ἐπέρχεται. V.

οὐ μὲν δὴ τόδε μεῖζον ἔπι κακὸν] περιέχει, ὡς "Τρῶες ἕπον πολλοί τε καὶ ἄλκιμοι" (Il. λ, 483.), ἢ ἐνεργεῖ, ὡς "τὸν δέρον, ἀμφὶ δ' ἕπον" (Il. η, 316.). Q. Vind. 133.

ἔπει] ῥῆμά ἐστιν ἕπω, ἕπεις, ἕπει, ἀντὶ τοῦ περιέπει. δασέως οὖν. Ζηνόδοτος δὲ ἔχει. H. Vind. 133.

2. τέρποιτο scripsi pro τέρψοιτο.

8. δύο] Conf. schol. ad v. 52.

10. λῦσαι δ' ἐκέλευεν] Sic ed. ant. cum δ' pro edito in textu τ', et verbo singulari, nimirum ob præcedens κῆρ. BUTTM.

ἡδονῆς] φωνῆς ὁ ποιητὴς H.

12. τε πίεζον correxi pro τ' ἐπιπίεζον. In M., qui in textu μᾶλλόν τε πιέζευν habet, in marg. annotatum γρ. πίεζον.

14. καὶ μὲν—οὖν] Corrupta.

16. εἰκότως—πῦρ] Similiter Eustath. p. 1718, 4.

19. ὡς ταναήκεα] καταναήκεα B.Q. Correxi ex H.

23. ἔπι] Sic lemma in ed. Mediol. Scholium tamen spectat lectionem ἔπει, et sic est in textu Vind. BUTTM.

ἕπον Buttm. pro ἕποντο.

26. ἔπει] ἔπι in ἔπει mutatum in textu H., annotato in marg. γρ. ἔτι (id est ἔπι). ἔπει M., sed a cor-

www.libtool.com.cn

212. καί που τῶνδε μνήσεσθαι οἴω] τῶν ἐνεστώτων κακῶν οἶμαι ποιήσασθαι μνείαν εἰς τὸ ἐκφυγεῖν ἡμᾶς τὸν ἀπὸ τούτων κίνδυνον. B.

214. ἁλὸς ῥηγμῖνα] νῦν τὸ ἐπιπολάζον. παρὰ τὸ ῥήγνυσθαι ταῖς κώπαις. V.

ῥηγμῖνα βαθεῖαν] εἶπε τὴν προσκρουομένην τοῖς σκοπέλοις θάλασσαν· ἡ γὰρ τῶν αἰγιαλῶν ἐπιπολαία ἐστίν. B.Q.

217. κυβερνῆθ'] τοῦτον Μάνδρωνά τινες λέγουσιν. H.

218. οἰήϊα] αὐχένια. Q. πηδάλια. V. πηδάλια, αὐχένια. P.

220. σκοπέλων] ἐνικῶς σκοπέλου, τῆς Σκύλλης. H.

ἐπιμαίεο] ἐπιμέμνησο. Q. ἐφάπτου. V.

223. Σκύλλην δ' οὐκέτ' ἐμυθεόμην] εἰπὼν περὶ τῆς Χαρύβδεως καὶ τῆς ἀμπώτιδος τοῖς ἐμοῖς φίλοις, οὐκέτι καὶ περὶ τῆς Σκύλλης εἶπον αὐτοῖς, μή πώς με καταλείπωσιν αὐτὸν ἄπρακτον ἐν τῇ θλίψει καὶ τῷ φόβῳ αὐτῶν. H.Q.

ἄπρηκτον ἀνίην] πρὸς ἣν πράξασθαί τι καὶ μηχανήσασθαι οὐκ ἐδυνάμεθα. ἢ τὴν ἀνίαν τὴν ἀπραξίας αἰτίαν· οὐδὲν γὰρ ἐκ τοῦ λυπεῖσθαι ἐδύναντο πρᾶξαι. B.Q.

225. συγκλείεσθαι αὐτοὺς ἐκέλευον. H.

226. καὶ τότε δὴ] γρ. καὶ τότ' ἐγώ. N.

227. λανθανόμην] νῦν, ἑκὼν ἡμέλουν. V.

228. αὐτὰρ ἐγὼ καταδὺς] καὶ γὰρ οἱ θεοὶ τιτρώσκονται καὶ εἴκουσι. V. καὶ πῶς οὐ μᾶλλον ἐξεπλάγησαν οἱ ἑταῖροι; ἤτοι οὖν ἀπεστραμμένοι καὶ ἐρέσσοντες ὁπλιζόμενον οὐκ εἶδον, ἢ οἴονται τεθαρρηκέναι αὐτὸν ὡς καὶ μόνον ἀμύνεσθαι τὸν ἐπερχόμενον. Q.

229. ἴκρια] τὰ καταστρώματα τῆς νηός. H.

ἔβαινον] ἐπέβαινον, ἱστάμην. V.

233. πρὸς ἠεροειδέα πέτρην] τὴν ζοφώδη διὰ τὴν πυκνότητα τῶν περὶ αὐτὴν νεφῶν. B.Q. γρ. πόντον. M.

237. ὅτ' ἐξεμέσειε] ὥσπερ δὲ ὅτε πλήμμυραν ποιήσει ὁ ὑπὸ πυρὸς ζέων λέβης, οὕτως πᾶσα ἀνεκινήθη ἡ Χάρυβδις. H. ἀντὶ τοῦ πλήμμυραν ἐποίησεν, ἀνέβραζεν. B. ἐξεράσειεν. V.

rectore in ἔπει mutatum. Verbo ἔπει hic locum esse recte negat Ahrens. in Schneidw. Philol. vol. 4. p. 598. qui ἔπει probat pro ἔπεισι dictum, ut τίθει δίδοι φή pro τίθησι δίδωσι φησί.

7. Μάνδρωνα scripsi pro Μανδρῶνα.

9. σκοπέλων] σκόπελον H. in textu, sed correctum σκοπέλων, quæ vera est scriptura.

13. καταλείπωσιν H. καταλείψωσιν Q.

λέβης ὣς] τὰ ἐν τῷ καθόλου γινόμενα περὶ Χάρυβδιν λέγει. V.

238. ἀναμορμύρεσκε] ἀνεκινήθη. Q. ἀνεδίδου, ἀνέζει. V.

240. ἀλλ' ὅτ' ἀναβρόξειε] ταῦτα διὰ μέσου ἐξηγεῖται πρὸς τοὺς Φαίακας προληπτικῶς, ἅπερ ὕστερον μόνος ἐθεάσατο ναυαγήσας, ὁπότε τοῦ ἐρινεοῦ ἐξείχετο. οὐ γὰρ οἷόν τε νῦν, εἴ γε δι' ὀκτὼ ὡρῶν τὴν ἄμπωτιν καὶ πλήμμυραν ἀπεδίδου ἡ Χάρυβδις. Q.

ἀναβρόξειε] ἀναπίοι, ἀναρροφήσειεν. V. ἀνέπιε. ὃ θεασάμενοι οἱ ἑταῖροι ἔδεισαν. B.

242. βεβρύχει] ἦχον ἐποίει. V.

γαῖα φάνεσκε ψάμμῳ κυανέῃ] τὸ ἐξῆς, ἡ γαῖα ἡ κυανέη. ὥστε εἶναι καθολικὸν τὸ τῆς γῆς, ὡς καὶ ἀλλαχοῦ γαῖα μέλαινα. οὐκ ἔστιν οὖν μερικὸν τὸ ἐπίθετον, ἀλλὰ πάσης τῆς γῆς. Q.

243. ψάμμῳ κυανέῃ] ἀντὶ τοῦ κυανιζομένῃ, ὡς "φοίνικι φαεινός" (Il. ο, 538.). Q.

χλωρὸν δέος φησὶ τὸ νέον ἐκ μεταφορᾶς τῆς νεωστὶ χλοαζούσης πόας. H.

244. οἴομεν] νῦν, ἀπεβλέπομεν. M.V.

245. γλαφυρῆς] γρ. κοίλης. H.

246. τὸ ἔξ δασυντέον· ἀριθμητικὸν γάρ ἐστι. H.

οἳ χερσὶ βίηφί τε φέρτεροι ἦσαν] πάντες ἐπαινοῦμεν τοὺς τελευτήσαντες. Q.V.

247. σκεψάμενος] ἀντὶ τοῦ ἀποβλεψάμενος ἐπὶ τὴν ναῦν καὶ ἐπὶ τοὺς ἑταίρους· προείρηκε γὰρ ὅτι ἀλλαχοῦ εἶχον τοὺς ὀφθαλμοὺς πλανωμένους πρὸς τὸ ζητῆσαι ποῦ ἐστιν ἡ Σκύλλα. B.

249. ὑψόσ' ἀειρομένων] ὑψόθεν, διχῶς. H.

φθέγγοντο καλεῦντες] ἀντὶ τοῦ φθεγγόμενοι ἐκάλουν ἐξ ὀνόματος. B.

250. Καλλίστρατος ὑπονοεῖ τὸν στίχον λέγων ἐκλύεσθαι τὸ τάχος τῆς ἁρπαγῆς. H.

251. ἐπὶ προβόλῳ] προβεβλημένῳ τόπῳ εἰς θάλασσαν. B.Q. προβεβλημένῃ πέτρᾳ, ἢ τόπῳ ἐξέχοντι. V.

252. τοῖς ὀλίγοις] τοῖς μικροῖς τοὺς μεγάλους κυνηγοῦσι. V.

18. οἴομεν] In M. qui in textu τήνδ' ἴδομεν habet, in margine adscriptum γρ. ἴδομεν νῦν ἀπεβλέπομεν. Alii quidam codices ἴομεν.

21. πάντες] πάνυ Q.

26. ὑψόσ'] ὑψόθι superscriptum in H.

ὑψόθεν] Immo ὑψόθ'.

δόλον κατὰ εἴδατα βάλλων] καταβαλὼν εἴδατα δόλον ἰχθύσι. τὰ εἴδατα δέ φησι δόλον εἶναι. B.

εἴδατα] οὕτως Ἀρίσταρχος. ὁ δὲ Καλλίστρατος δείλατα. H.

253. βοὸς κέρας] κέρας Ἀρίσταρχος τὸ κεράτινον συρίγγιον, ὃ ἐπιτιθέασι πρὸς τὸ μὴ ἐσθίεσθαι ὑπὸ τοῦ ἰχθύος τὴν ὁρμιάν. ἔνιοι δὲ τὴν τρίχα. Q. οἷον βοείας τρίχας, αἱ ἐκκρέμανται τοῦ δόνακος. H.

βοὸς κέρας ἤτοι τὴν τρίχα λέγει, ἢ τὸ ἐπικείμενον τῇ ὁρμιᾷ κέρας. ἐπὶ κέρατος γὰρ ἡ ὁρμιὰ τρέχει καθιεμένη καὶ ἀνιεμένη. εἰώθασι δὲ οἱ ἁλιεῖς μεταξὺ τοῦ ἀγκίστρου καὶ τῆς σπάρτου κέρας βόειον προσάπτειν, ἵνα καταπιόντες τὸ ἄγκιστρον οἱ ἰχθύες μὴ τρώγωσι τὴν σπάρτον. B.Q.V.

256. κεκληγῶτας] ἐὰν διὰ τοῦ ω, προπερισπᾶται, ἐὰν δὲ διὰ τῶν ντ, ὡς λέγοντας. H.

257. οἱ ἀπολόμενοι ὑπὸ τῆς Σκύλλης Στήσιος, Ὀρμένιος, Ἄγχιμος, Ὄρνυτος, Σίνωπος, Ἀμφίνομος. οὕτως Φερεκύδης. H.

ἐν αἰνῇ δηϊοτῆτι] νῦν ἐν τῷ δεινῷ σπαραγμῷ. V.

265. αὐλιζομενάων] εἰς τὴν ἔπαυλιν εἰσιουσῶν. Q. εἰς κοίτην παραγενομένων. V. ἀπὸ κοινοῦ τὸ αὐλιζομενάων. P.

267. Τειρεσίαο] ὁ γὰρ Τειρεσίας Θηβαῖος μάντις ὢν προεῖπε τῷ Ὀδυσσεῖ μὴ τῶν τοῦ Ἡλίου βοῶν ἢ προβάτων καθάψασθαι, εἰ μὴ βούλοιτο ἰδεῖν τῶν φίλων αὐτοῦ πάντων ὄλεθρον. Q.

268. Αἰαίης] τῆς ἀπὸ τῆς Αἰαίης οὔσης νήσου. H.

ἐπέτελλον] ἐνετέλλοντο, προσέταττον. V.

269 et 274. τερψιβρότου] γρ. φαεσιμβρότου. H.

276. ἀλλὰ παρὲξ τὴν νῆσον] εἴωθεν ὁ ποιητὴς τὴν παρέξ πρόθεσιν αἰτιατικῇ συντάσσειν ἀντὶ γενικῆς. "παρὲξ ἄλα φῦκος ἔχευε" (Il. ι, 7.)· "παρὲξ περιμήκεα δοῦρα" (443.) H. Vind. 133.

3. δείλατα] Poeticum verbum ex δελέατα contractum, quo usus est Callim. fr. 458. PORSON.

15. Στήσιος] στίσιος H. Correxi ex Eustathio p. 1721, 8.

16. Σίνωπος] οἴνωπος H. Eustathius: Σίνωπος, οὗ πρὸς ὁμοιότητα ἡρωΐς Σινώπη, ἀφ' ἧς ὁμωνύμως ἡ κατὰ Σινώπην Χερρόνησος.

Φερεκύδης Cramerus. φερεκράτης H. Nomen omisit Eustathius.

24. ἐπέτελλον] Sic ed. ant. Nam recentt. lemma mutarunt scholio intacto. In H. hic et 273. textus ἢ—ἐπέτελλε, sed superscriptum utrobique οἳ — —ον. BUTTM.

26. τὴν παρέξ Buttm. pro τὴν ἐξ. Conf. p. 555, 18.

27. ἀντὶ γενικῆς addidi ex H.

www.libook.com.cn

279. σχέτλιος] καρτερικὸς, ἀνένδοτος· καὶ ἐν Ἰλιάδι (κ, 164.) "σχέτλιός ἐσσι, γεραιὲ, σὺ μὲν πόνου οὔποτε λήγεις." B.Q.

πέρι τοι μένος] περισσή σοι δύναμις. V.

281. καμάτῳ ἀδδηκότας] ἀηδισθέντας καμάτῳ καὶ ἀγρυπνίᾳ· "μὴ τοὶ μὲν καμάτῳ ἀδδηκότες ἠδὲ καὶ ὕπνῳ" (Il. κ, 98.). ἀγρυπνίᾳ κατ' ἀντίφρασιν, ὡς τὸ "ὕπνῳ καὶ καμάτῳ ἀρημένος" (Od. ζ, 2.). ὁ γὰρ ὕπνος οὐ βλάπτει. B.Q. ἀδηκότας] κεκμηκότας, κάμνοντας. V.

284. ἀλλ' αὕτως διὰ νύκτα] ἐκ νυκτῶν, ἢ ἐν νυξὶν, ἢ μετὰ τὰς νύκτας, ὅ ἐστιν ὄρθρου. ὡς τὸ "πίομεν ἐκ βοτάνης" (Il. ν, 493.), ἀντὶ τοῦ μετὰ τὴν βοτάνην. ἢ κατὰ τὰς νύκτας. B.Q.

Ζηνόδοτος, ἀλλ' οὕτως. καὶ ἔστιν ἠθικόν. H.

ἀλάλησθαι] ὁ Ἀσκαλωνίτης προπερισπᾷ, ἵν' ᾖ παρακειμένου χρόνου ἀπὸ τοῦ ἀλῶ, ὡς πεποιῆσθαι. δύναται προπαροξύνεσθαι ὡς Αἰολικὸν, ἵν' ᾖ ἀλάλησθαι ἐνεστῶτος χρόνου. τὸ θέμα ἄλημι ὡς τίθημι, ἄλεμαι ὡς τίθεμαι, καὶ διπλασιασμὸς μετ' ἐπιτάσεως Αἰολικῆς ἀλάλημαι, ἀλάλησαι, ἀλάληται. H.Q.

286. εἰς τὸ χαλεποί ἐστιν ἡ στιγμή. H.

289. Ζεφύροιο δυσαέος] ἤγουν Λιβὸς δυσπνόου. Gl. H. τινὲς Ζέφυρον δυσαέα τὸν Λίβα. H.

290. θέλουσι γὰρ ἡμᾶς οἱ θεοὶ ὁρμισθέντας—θεοὶ δωτῆρες ἐάων. H.

διαρραίουσι] διαφθείρουσι. V.

διαρραίσουσι] χωρὶς τοῦ σ, διαρραίουσι. Ζηνόδοτος δὲ γράφει "φίλων ἀέκητι ἑταίρων." H.

θεῶν ἀέκητι] ἄνευ θεῶν, ἐκ κακοβουλίας. Q.

294. ἐπῄνουν οἱ ἄλλοι Ἀχαιοὶ τὸν Εὐρύλοχον ὑπὲρ ὧν εἶπεν. H.

297. βιάζετε] Ζηνόδοτος, βιάζεσθ' οἷον ἐόντα, οὐ νοήσας ὅτι ποιητικῶς ἐσχημάτισται. H. Vind. 133.

βιάζεσθ' οἷον ἐόντα] μόνον ἐμὲ τῆς βουλῆς τῆς κακῆς ταύτης ἀντεχόμενον βιάζεσθε. M.

301. ἦ βοῦν, ἠέ τι μῆλον] Νυμφόδωρος ὁ τὴν Σικελίαν περιηγη-

4. ἀηδισθέντας Buttm. ἀηδησθέντας B. μὴ διαθέντας Q. ἀηδῶς ἔχοντας dixit Eustath. p. 1721, 56.

15. ἀλάλησθαι ἐ. χ. addidi ex H.

27. βιάζεσθ' οἷον Porsonus pro βιασθ' οἷον.

29. βιάζεσθ'] βιάζετε M., superscripto βιάζεσθαι, quod corruptum ex βιάζεσθ'.

31. Νυμφόδωρος Ebertus Dissert. Sic. vol. 1. p. 95. μεμψόδωρος H. et Vind. μεμψήδωρος Q.

www.libtool.com.cn

σάμενος καὶ Πολύφαινος καὶ Πανύασις φύλακα τῶν Ἡλίου βοῶν Φάλακρόν φησι γενέσθαι, ὃν Φιλοστέφανος Αἰολιδοῦν εἶναί φησι καὶ ἔχειν ἐν Μύλαις ἡρῷον. H.Q. Vind. 56.

303. οἱ δ' αὐτίκ' ἀπώμνυον] ὡς οὐ βλάψωσι βοῦν τῆς τοῦ Ἡλίου ἀγέλης ἢ πρόβατον. Q.

308. ἕντο] τὸ θέμα ἵημι, ἷεμαι, ἱέμην, ἱέμεθα, ἷεσθε, ἷεντο, καὶ ἀφαιρέσει τοῦ ι ἕντο. H.

312. τρίχα νυκτὸς] ἀντὶ τοῦ τρίτον μέρος τῆς νυκτός. B.Q. ἤτοι τρία μέρη, ἢ τρίτον μέρος τῆς νυκτός. V.

313. οὗτος μὲν κατὰ κοινὴν ἔννοιαν τὸν Δία· ἴσως δὲ μᾶλλον ὁ Ποσειδῶν. H.

ἔπι ζαῆν] οὕτως χωρὶς τοῦ δέ Ἀρίσταρχος γράφει, καὶ ἀναστρεπτέον τὴν πρόθεσιν. ἐὰν δὲ μετὰ τοῦ δέ, οὐκ ἀναστρέφεται. H. ἔδει χωρὶς τοῦ ν ζαῆ, ὡς "ἀκραῆ Ζέφυρον." (Od. β, 421.) ἔστιν οὖν Αἰολικὸν τὸ μετὰ τοῦ ν, καὶ ἔδει αὐτὸ Αἰολικῶς βαρύνεσθαι, ὡς τὸ "αἰνοπαθῆ πατρίδ' ἐπόψομαι" παρὰ Ἀνακρέοντι. ὁ δὲ Ἀρίσταρχός φησι περισπᾶσθαι, καὶ οὕτως ἔχει ἡ παράδοσις. H.

314. λαίλαπι] ὑετῷ μετὰ ἀνέμου. V.

318. θόωκοι] ἀντὶ τοῦ θῶκοι καὶ καθέθραι, ὡς ὕδατος γλυκέος ἐκεῖ ῥέοντος. Q.

319. μετὰ μῦθον ἔειπον] γρ. πᾶσιν. H.

320. ἐν γὰρ] τὸ γάρ ἀντὶ τοῦ ἐπειδή. H.

2. Φάλακρον] φυλάϊκον H. φυλάκιον Q. φύλαιον Vind. "Panyasis armentorum illorum custodem neque Phylacium neque Phylæum appellaverat, sed aut Phylacum aut, quod magis credo, Phalacrum." MEINEK. Anal. Alex. p. 370.

αἰολιδοῦν Vind. αἰολιδοῦς H.Q. "Αἰολιδοῦς non nomen proprium est, sed plebeia, si quis ita velit, forma patronymici Αἰολίδης, comparanda illa cum ὑϊδοῦς, θυγατριδοῦς, τηθελλαδοῦς, ἐμπληκταδοῦς et id genus aliis, de quibus dixit Lobeckius ad Phrynich. p. 299. De Phalacro Æoli filio vide schol. Od. ν, 6, Eum a Mylensibus pro heroe cultum esse non mirum est, quum de Æolidarum in Siciliæ oris imperio satis constet ex Diodoro Sic. 5, 8." MEINEK. l. c.

12. 14. ἔπι ζαῆν] ἐπιζαὴν H. et sic M. quoque in textu. ζαῆν ab Aristarcho περισπᾶσθαι infra dixit scholiasta et annotavit Eustathius p. 1723, 37. Porro schol. Il. μ, 157. ἅς τ' ἄνεμος ζαής· ὡς ὑγιής. οὕτως καὶ ὁ Ἀσκαλωνίτης. παραιτητέον δὲ τοὺς βουλομένους βαρύνειν ἴσως πλανηθέντας ἐκ τῆς αἰτιατικῆς τῆς εἰς ν περατωθείσης. ῥηθήσεται δὲ ἐν τῇ Μ τῆς Ὀδυσσείας περὶ τῆς προσῳδίας.

16. αἰνοπαθῆ πατρίδ'] Teum, ubi natus erat Anacreon.

21. γρ. πᾶσιν in H. supra μῦθον scriptum est et Porsono glossema potius esse videtur quam varia lectio, quoniam supra μετά minutissimis litteris scriptum sit ἐν πᾶσι.

www.libtool.com.cn

323. ὃς πάντ' ἐφορᾷ] φεύγοντες οὐκ ἂν λάθοιμεν τὸν πάντα ἐφορῶντα, καθὰ καὶ Ἀγαμέμνων πρὸ τῶν ὁρκίων ἐκφοβεῖ τοὺς Τρῶας τοῖς ἐπιμαρτυρουμένοις (Il. γ, 276.). H.Q.

329. ἧϊα] βρώματα δηλονότι. V.

330. ἄγρην ἐφέπεσκον] ἐπὶ ἄγραν ἐξίεσαν. λείπει ἡ ἐπί. B. 5 ἐφέπεσκον] ἐνήργουν. V. γρ. ἐφέφρεσκον. H.

ἐπ' ἄγρην. λείπει γὰρ ἡ ἐπί. H.

335. ἤλυξα ἑταίρους] ἐξέκλινα. V. ἐκτὸς ὄψεως αὐτῶν ἐγενόμην. B.Q.V.

336. ἐπὶ σκέπας ἦν ἀνέμοιο] ἔνθα ἦν σκέπη πρὸς τὸ μὴ ἀνεμί- 10 ζεσθαι. V.

347. θεῖμεν ἀγάλματα] θείημεν, θεῖμεν, ὡς τὸ δοίημεν δοῖμεν. θεῖμεν ἀντὶ τοῦ ἀναθείημεν. ἀγάλματα δὲ ἀναθήματα. B.Q.

349. ἕσπωνται] ἀκολουθήσωσιν. V.

350. βούλομ' ἅπαξ] βούλομαι ἅπαξ ἀπολέσαι τὸν θυμὸν πρὸς τὸ 15 τῆς θαλάσσης κῦμα χανών. Q.

351. στρεύγεσθαι] κατὰ στράγγα φθείρεσθαι, ἤγουν κατ' ὀλίγον. H. κατὰ στράγγα ἐκρεῦσαι, ὅ ἐστι κατ' ὀλίγον στραγγίσαι καὶ ἀποθανεῖν. B. κατὰ στράγγα, ὅ ἐστι κατ' ὀλίγον ὑπορρεῖν. V.

στρεύγεσθαι] γρ. στρέγγεσθαι. H. 20

353. αὐτίκα δ' Ἠελίοιο βοῶν] βόας Ἡλίου λέγουσιν ὅτι ἦσαν ἐκεῖ βόες ἀνατεθειμένοι τῷ Ἡλίῳ. καὶ διὰ τὸ ἅψασθαι τοὺς ὑπὸ τὸν Ὀδυσσέα τούτων ἱερῶν ὄντων ἀπεδιώχθησαν ὑπὸ τῶν ἐγχωρίων παρὰ καιρὸν καὶ οὕτως ἀπωλέσθησαν. ἢ νόμος ἦν μὴ σφάζεσθαι τοὺς ἐργαζομένους βόας, ἀλλὰ καὶ γήρως καταλαβόντος τούτους 25 ἠλευθέρουν αὐτοὺς μέχρις ἂν τελευτήσωσιν. οἱ δὲ τοῦ Ὀδυσσέως ἑταῖροι ἀπὸ τούτων τινὰς ἁρπάσαντες καὶ σφάξαντες ἐκεῖθεν παρὰ τὸν προσήκοντα καιρὸν ἐδιώχθησαν, καὶ τοιούτῳ κινδύνῳ ὑπέπεσαν. ἢ λέγουσιν ἀλληγορικῶς βόας Ἡλίου τὰς ἡμέρας, τούτων δὲ κατανα- λωσάντων ἐκεῖσε τὰς πρὸς τὸν πλοῦν ἐπιτηδείας ἡμέρας καὶ μὴ ἐξελ- 30 θόντων, ὅτε ἦν ἐνδεχόμενον, ἔπαθον ἄτινα ἔπαθον. B.

357. δρεψάμενοι] λαβόμενοι. ἐρεψάμενοι] στεφανωσάμενοι. V.

1. λάθοιμεν] λάθοιεν H.

6. ἐφέφρεσκον] Corruptum. Separavi autem hoc ab sequentibus ἐπ' ἄγρην, quocum conjunctum est in H. Nam ἄγρην scholiasta explicat per ἐπ' ἄγρην.

32. δρεψάμενοι—ἐρεψάμενοι] Similiter duplex scriptura in V. explicatur κ, 249. ξ, 82. Quos locos comparavit Buttmannus.

www.libtool.com.cn

360. μηρούς τ' ἐξέταμον] ἤγουν ἐσχισμένους ποιήσαντες. μετὰ γὰρ τὸ τοὺς μηροὺς ἀπὸ τῶν στεάτων κατακαλύψαι, ἃ κνίσσην καλεῖ ὁ ποιητὴς, ἔσχιζον. τοῦτο γὰρ δηλοῖ τὸ δίπτυχα. Q.

363. ἔγκατα] κυρίως σπλάγχνων ὁ σπλήν· δῆλον δὲ ἐκ τοῦ ὀνόματος. B.H.

370. οἰμώξας δὲ θεοῖσι] μετὰ βοῆς διὰ τὴν ἔκπληξιν ἐφθεγγόμην. B.Q.

372. εἰς ἄτην] Ἀττικῶς ἀντὶ τοῦ ἐπὶ ἄτῃ. Q. ἐποιήσατέ με κοιμηθῆναι ἐς βλάβην. H.

374. ὠκέα δ' Ἠελίῳ] ἐναντίον τοῦτο τῷ "Ἠέλιος δ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις" (Il. γ, 277.). ἀφ' ἑαυτοῦ γὰρ ἐχρῆν ἐγνωκέναι τὸν πάντα ἐφορῶντα. λύοιτο δ' ἂν ἡ τῇ λέξει· τὸ γὰρ πάντα δηλοῖ τὰ πλεῖστα, ἄλλως τε οὐκ ἠγνόει τὸ πεπραγμένον Ἥλιος, ἀλλ' ἔδει ὡς ποιμαίνουσαν καὶ ταύτην ἀπαγγεῖλαι· ἢ τῷ καιρῷ λύεται, ὡς νυκτὸς ἐπιθεμένων τοῖς βουσὶ τῶν ἑταίρων. B.Q. καὶ πῶς πάντα ἐφορᾷ ὁ ἥλιος; πάντα μὲν, οὐχ ἅμα δέ. H. πῶς ὁ πάντα ἐφορῶν οὐκ οἶδε πάντα; ὁρᾷ, ἀλλ' οὐχ ὑπὸ τὸ αὐτό. V.

ἐν πολλοῖς, ὠκὺς δ' Ἠελίῳ, ἵν' ᾖ ὠκὺς ἄγγελος. H.

375. ἔκταμεν ἡμεῖς] οὕτως αἱ Ἀριστάρχου. H.

378. τῖσαι δὴ ἑτάρους] ταῦτα ὁ Ἥλιος πρὸς τὸν Δία ἀρώμενος λέγει, ὅπως ἀντιβλάψῃ τοὺς ἑταίρους τοῦ Ὀδυσσέως, ὑπὸ ὧν τὰς αὐτοῦ βοῦς καὶ τὰ πρόβατα ἔκτεινόν τε καὶ ἔφαγον. Q.

379. ὑπέρβιον] βιαστικῶς, ἄγαν βιαίως. B.Q.

383. φαείνω] τὸ φαείνω ἐνεστῶτός ἐστιν ἀντὶ τοῦ μέλλοντος. H.

387. ἀργῆτι] λευκῷ, ἢ τεφρώδει. V.

388. Ζηνόδοτος, τριχθὰ βαλών. Vind. 133.

κεάσαιμι] σχίσαιμι, ἢ καύσαιμι. V.

390. διακτόρου] τοῦ διάγοντος τὰς ἀγγελίας. Q.

392. ἐπισταδὸν] ἐφεστῶτες. V.

394. τέραα] σημεῖα προεσήμαινον ἐπὶ τῇ ὀργῇ ἡμῖν. B.Q.

4. ὁ σπλήν H. ὁπλήν B. quod corruptum esse ex ὁ σπλήν patet ex Eustathio p. 1725, 40. qui ad ἔγκατα ita: ἃ δὴ καὶ σπλάγχνα—εὐθὺς ἐρεῖ, ὡς ἀπὸ τοῦ σπλάν ἤτοι ὁ σπλήν κατὰ τοὺς παλαιούς. Hinc jam, cui lubet, sensum scholio nostro affigito. BUTTM.

10. Eadem fere in schol. Il. γ, 276.

19. οὕτως αἱ Ἀριστάρχου] Nam in aliis libris ἔκταν ἑταῖροι legitur, quod M. in textu habet superscripto ἡ ὑμεῖς, corrupte pro ἦ, ἔκταμεν ἡμεῖς. Versibus autem 375—389. in M. obeli appicti sunt.

30. τέραα] τέρεα Q.

www.libtool.com.cn

398. ἐλάσαντες] γρ. ἐλόωντες. H.

ἐλόωντες] ἀπελάσαντες. V.

400. λαίλαπι] λαῖλαψ ἐστὶν ἡ μετ' ὄμβρου σφοδρότης τοῦ πνεύματος. Q.

403. οὐδέ τις ἄλλη] πλὴν τῆς νήσου ἐκείνης ὅθεν ἐξωρμήσαμεν. H.

406. ἤχλυσε] ἀχλύϊ καὶ σκότῳ περιειλήφει, ἐπληρώθη. V. ἀχλύος ἐπλήσθη καὶ σκότους. H.

408. ζέφυρος] ζέφυρον τὸν θρασκίαν λέγει, ὡς καὶ ἐν ἄλλοις. B.

409. πρότονους] τὰ σχοινία τὰ κατέχοντα τὸν ἱστόν. V.

410. ἱστὸς δ' ὀπίσω πέσεν] πρὸς τῇ πρύμνῃ· διὸ καὶ ἔπληξε τὸν κυβερνήτην. B.

411. εἰς ἄντλον κατέχυνθ'] εἰς τὸν τόπον τῆς ἀντλίας. B.H. ἄντλον] τὴν ἀντλίαν εἰς ἣν ἐγχέεται τὸ κατηθιζόμενον εἰς τὴν ναῦν ὕδωρ. V.

413. ἀρνευτῆρι] ἤτοι ἐπὶ κεφαλῆς νηχομένῳ κολυμβητῇ, παρόσον τὸ ἀρνίον πάντοτε ἐπὶ κεφαλῆς περιπατεῖ καὶ πηδᾷ. B. κυβιστητῆρι, ὀρχηστῇ. V.

415. Ζεὺς δ' ἄμυδις βρόντησε] ἅμα τῷ ταῦτα γενέσθαι ἐβρόντησε. Q.

417. θεείου] θεαφίου. Gl. H. θείου πυρός. εἴ γε ἀπὸ τοῦ θείου διαίρεσις, διὰ τί τὸ θεείου διὰ διφθόγγου; φαμὲν ὅτι πλεονασμός ἐστι τοῦ ε, ὡς εἷς, ἕεις. Q. ἐνέπλητο δὲ θείου, ἤτοι τεαφίου. B. θεείου] θείου. καταστρέφει δὲ εἰς τὸ πυρὸς κεραυνίου. V.

πέσον δ' ἐκ νηὸς ἑταῖροι] ἔρριψαν ἑαυτοὺς εἰς τὴν θάλασσαν. B.

418. κορώνῃσιν] κορώνη λέγεται εἶδος ὀρνέου θαλασσίου. H.

421. τρόπιος] τρόπις τὸ κατώτατον ξύλον, περὶ ᾧ σχίζεται τὸ κῦμα. V.

422. ἱστὸν ἄραξε] συνέρρηξεν αὐτὸν πρὸς τὴν τρόπιν τὸ κῦμα. B. αἱ Ἀριστάρχου καὶ αἱ πλείους ἄραξε. Ζηνόδοτος δὲ ἔαξεν. H.

423. ἐπίτονος] ὁ ἱμὰς, ὃς ἧρτηται μὲν τοῦ ἱστοῦ, διὰ δὲ αὐτοῦ

21. θείου—θεείου Buttm. pro θεῖου —θεῖου.

23. τεαφίου] τεσφίου B. Idem vitium ad ξ, 307. Dixit de hoc vocabulo, quod θεάφιον et τεάφιον scribitur, Ducangius s. v. τεάφη.

24. καταστρέφει δὲ εἰς τὸ —] *Eo redit ut significet* —. Sic schol. δ, 367. et Il. ψ, 531. Vid. Friedl. Ariston. p. 261. Ceterum conf. Apollon. Lex. s. v. θεείου.

30. ἔαξεν] Sumtum ex Od. ε, 316.

www.libtool.com.cn

ἑλκόμενον τὸ κέρας ἀνάγεται πρὸς τὸν ἱστόν. Ἄλλως. ὁ συνέχων τὸ κέρας κάλως. Q. ὁ ἀνέλκων τὸ κέρας ἱμὰς πρὸς τὸ ὕψος τοῦ ἱστοῦ. B.P. ἱμὰς, ἤτοι ὁ τῶν κεράτων δεσμός. ἢ ὁ ἱμὰς ὁ πρὸς ἄκρῳ τῷ ἱστῷ, δι' οὗ τὸ ἄρμενον ἀνέλκεται. V.

425. ὀλοοῖς ἀνέμοισιν] δύναται καὶ ἀντὶ τοῦ ἐνικοῦ τοῦ ὀλοῷ ἀνέμῳ, ὁμοίως τῷ "στήθεά τ' ἠδ' ἀπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα." (Il. τ, 285.). H.

426. θῦε] ὥρμα. V.

427. ἦλθε δ' ἐπὶ νότος] οὐχ ὡς ἐναντίος τῷ ζεφύρῳ, ἀλλ' ὡς χειμάσαι δυνάμενος. Q. ἢ κατὰ βούλησιν Ποσειδῶνος τοῦτο συνέβη, ἢ συνήθως ὁ ποιητὴς τὸ κατὰ τύχην συμβὰν ὡς ἐκ προνοίας φησί. H.

428. ὄφρ' ἔτι τὴν ὀλοὴν] ὅπως καὶ ταύτην τὴν ὀλοὴν Χάρυβδιν ἀναμετρήσω καὶ διέλθοιμι, καὶ εἰς νοῦν λάβοιμι, καὶ ἀναθεωρήσαιμι. B.Q.

431. ἐν ὅσῳ ἀνερρόφει, ἐγὼ εἰς τὸν ἐρινεὸν ἐπήδησα. H.

432. ποτὶ μακρὸν ἐρινεόν] πρὸς τὴν μακρὰν συκῆν, ἣν εἶδον πρὶν εἰς τὸ τῆς Σκύλλης σπήλαιον, ἐπαρθεὶς καὶ κρατήσας ταύτης, ὅπως μὴ καταπνιγῶ ὑπὸ τοῦ θαλασσίου ὕδατος. Q.

435. ῥίζαι γὰρ ἑκὰς ἦσαν] γρ. εἶχον. H.

εἶχον] ἀντὶ τοῦ ὑπῆρχον. V.

ἀπήωροι] ἀπηωρημένοι, ἀπηρτισμένοι ἔξω τοῦ σκοπέλου. ἔδειξε δὲ ἐναργῶς τὸν κρεμάμενον. ἢ πολὺ ἀλλήλων διεστηκότες, ἢ ἄποθεν. B.Q. ἤτοι ἀπηρτισμένοι, ἢ πολὺ ἀλλήλων διεστηκότες. οἷον παραιωρούμενοι. ἢ ἄποθεν. V.

436. μακροί τε] τὸ μακροί πρόσκειται, ἵνα σημαίνῃ τὸ ἀπήωροι. ὡς γὰρ μακροὶ ὄντες πόρρωθέν εἰσι τοῦ σκοπέλου. τὸ δὲ μεγάλοι πρὸς πίστιν τοῦ δύνασθαι βαστάξαι τὸν ἥρωα· τὰ γὰρ μακρὰ τῶν ξύλων ῥᾳδίως κάμπτεται, εἰ μὴ ὦσι παχέα. Q.

438. ἐελδομένῳ] ἐπιθυμοῦντι σωτηρίας ἦλθεν ἀνὴρ βραδέως εἰς δεῖπνον, ἤτοι τὸ δειλινὸν, καὶ ἀνέστη ἀπὸ τῆς ἀγορᾶς. H.

439. ἦμος δ' ἐπὶ δόρπον] ὡς δὲ δικασπόλος ἀνὴρ κρίνων πολλὰ νείκεα νέων δικαζομένων, ὀψὲ ἀπὸ τῆς ἀγορᾶς ἀνέστη ἐπὶ δεῖπνον ἐλθὼν, τῆμος, ἐν τοσούτῳ δὴ, τὰ ξύλα τῆς νηὸς, ἤτοι ἡ τρόπις καὶ ὁ ἱστὸς, ἐφάνησαν ἐξεμηθέντα τῆς Χαρύβδεως. Q. ἐπὶ τὴν δειλινὴν ὥραν. V.

1. Ἄλλως Buttm. pro ἀλλά. Verba ὁ σ. τὸ κέρας κάλως habet etiam H.

6. ἀνέμῳ addidi.

29. ἀνὴρ Cramerus pro ἀνήρ.

www.libtool.com.cn

ἐν πολλοῖς ἐδιστάχθησαν οἱ στίχοι διὰ τὸ "τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι" (105), καὶ ἐδείχθη ἑαυτῷ τὰ ἐναντία λέγων ὁ ποιητής. νῦν γὰρ ἅπαξ μόνον καὶ ἀναβάλλει καὶ ἀναρροφεῖ. ἡμεῖς φαμὲν, ἦμαρ λέγει τὸ νυχθήμερον, ὥστε δι' ὀκτὼ ὡρῶν τρεῖς γενέσθαι τὰς ἀναδόσεις. H.Q.

ἤτοι ἀπὸ τῆς πρωΐας ἐκρατοῦντο ἔνδον τὰ δοῦρα ἕως τοῦ γεύματος. Καὶ ἄλλως. ἐν τόσῳ ἐφάνησαν τὰ δοῦρα ἀπὸ τῆς Χαρύβδεως, ὡς ὅτε ἐστράφη τις ἀνὴρ ἐπὶ δόρπον κρίνων κατὰ τὴν ἀγοράν, τουτέστιν ἐν τῷ καιρῷ τοῦ γεύματος. B.

441. τῆμος δὴ τάδε δοῦρα Χαρύβδιος ἐξεφαάνθη] οὕτως Ἀρίσταρχος. H.

443. μέσσῳ δ' ἐνδούπησα] τὸ ὅλον, περὶ τὰ μακρὰ ξύλα πεσὼν ψόφον ἀπετέλεσα. B.V.

παρὲξ] ἀντὶ τοῦ ὀλίγῳ ἄπωθεν τῶν ξύλων· εἴωθε γὰρ ὁ ποιητὴς τὸ παρέξ ἐπίρρημα αἰτιατικῇ συντάττειν· "παρὲξ ἅλα φῦκος ἔχευαν" (Il. ι, 7.) ἀντὶ τοῦ ὀλίγον ἔξω τῆς ἁλός. καὶ ἡ μὲν παρά σημαίνει ὅτι πλησίον τῶν ξύλων καὶ παρ' αὐτὰ ἔπεσεν, ἡ δὲ ἐξ ὅτι οὐκ ἐπάνω τῶν ξύλων· ἐπεὶ κἂν ἐπλήγη τὸ σῶμα· ἀλλ' ὅτι μικρὸν ἔξω αὐτῶν. ἔστιν οὖν ἀντὶ τοῦ ἔπεσον πλησίον μὲν τῶν ξύλων, ἐκτὸς δὲ αὐτῶν, εἶτα ἐπινηξάμενος ἐγγὺς αὐτῶν ἐγενόμην καὶ κατέσχον. B.Q.

444. διήρεσα] τὰ ὁρμισθέντα τῆς νηὸς ξύλα, ἤγουν ἡ τρόπις καὶ ὁ ἱστός. H. ἀπεσπασάμην ταῖς χερσὶ τὸ ὕδωρ. ὥσπερ κώπαις ταῖς χερσί μου διενηξάμην. V.

445. Σκύλλην δ' οὐκ ἔτ' ἔασε] νοθεύονται δύο. τί γὰρ εἰ εἶδεν ὅπου οὐ δύναται ὁρμᾶν ἡ Σκύλλα, ἀλλ' ἐνίδρυται τῷ σπηλαίῳ; ὡς ἐκ τῶν λόγων τῆς Κίρκης ἔστι μαθεῖν. εἰ γὰρ ἐβούλετο διὰ τῆς Χαρύβδεως πλεῖν ὁ Ὀδυσσεὺς, οὐκ ἂν ἠδικήθη ὑπὸ τῆς Σκύλλης, ὡς ἀνημμένης τῷ σπηλαίῳ. ἢ τάχα, ἐμὲ οὐκ εἴασεν εἰς αὐτὴν ἰδεῖν, ἀλλὰ διεξεπέρασα. Q. εἰσιδέειν] ἰδεῖν, συντυχεῖν. V.

1. στίχοι] Versus dicit 439—441. Vanam autem esse hanc veterum quorundam criticorum opinionem ostendit Nitzschius vol. 3. p. 409.
τρὶς] τρεῖς H.
3. ἡμεῖς] Exspectes ἡμεῖς δέ.
4. λέγει addidi ex H.
τὸ νυχθήμερον] Conf. schol. ad 105. et Eustath. p. 1729, 28.
7. ὅτε] ὅταν B.
10. τάδε] Nunc τά γε legitur. Apud Strabon. 1. p. 44. καὶ τότε δή μοι δοῦρα etc.
15. αἰτιατικῇ] Vid. schol. ad 276.
ἔχευαν] ἔχευον B. ἔχευεν Q.
24. νοθεύονται δύο] Sic etiam in H.
27. ἀνημμένης Buttm. pro ἂν ἡμμένης.

www.libtool.com.cn

447. δεκάτῃ δέ με] οὐ δεῖ ζητεῖν πῶς διακαρτερεῖ ὁ ἥρως εἰπούσης τῆς Ἀθηνᾶς "αὐτὰρ ἐγὼ θεός εἰμι διαμπερὲς ἥ σε φυλάσσω ἐν πάντεσσι πόνοισι" (υ, 47.) H.V.

453. ἀριζήλως] ἀριδήλως. οὐ γὰρ ἐκτέταται ὁ ζῆλος. δῆλον οὖν ὅτι αἱ παρ' Ὁμήρῳ διασολογίαι κατὰ τέχνην καὶ χρείαν προέρχονται. Q. ἐκδήλως. V.

Ν.

ΥΠΟΘΕΣΙΣ.

Κοιμώμενον Ὀδυσσέα μετὰ τῶν δώρων ἐκτιθέασιν οἱ Φαίακες εἰς τὴν γῆν τῶν Ἰθακησίων. καὶ τὴν μὲν ναῦν αὐτῶν ὑποστρέφουσαν λίθον ποιεῖ ὁ Ποσειδῶν, Ἀθηνᾶ δὲ ἐπὶ τῷ αἰγιαλῷ ὄντι Ὀδυσσεῖ συμβουλεύει περὶ τῆς μνηστηροφονίας. καὶ τὰ χρήματα ἔν τινι σπηλαίῳ ἀποκρύπτει, καὶ εἰς γέροντα μεταμορφοῖ τὸν Ὀδυσσέα. P.Q.V. Ὀδυσσέως ἀπόπλους παρὰ Φαιάκων καὶ ἄφιξις εἰς Ἰθάκην. H.

---

2. κηληθμῷ] τῇ δι' ἀκοῆς ἡδονῇ. B. θέλξει, τέρψει. κήλησις γάρ ἐστιν ἡ δι' ᾠδῆς τέρψις καὶ ἡδονή. V. κηλήσει ἐν τῇ τῆς ἀκοῆς ἡδονῇ. τρισυλλάβως δὲ τὸ ἔσχοντο. H.

4. χαλκοβατὲς δῶ] νῦν κυρίως κεῖται ἡ λέξις. τοιαῦτα γὰρ τὰ τοῦ Ἀλκινόου βασιλέως· "χάλκεοι μὲν γὰρ τοῖχοι ἐληλέδατο" (η, 86.), καὶ τὰ ἑξῆς. H.Q. χαλκοβατὲς] ἤτοι χαλκοῦν ἔδαφος ἔχον, ἢ χαλκοῦς ἔχον τοὺς βαθμοὺς τῶν θυρῶν. V.

5. τῷ σ' οὔτι] ἀντὶ τοῦ διὰ τό σε, ὅ ἐστι διὰ τοῦτό σε. H. ἐπειδὴ τὸ ἐμὸν οἴκημα κατέλαβες, διὰ τοῦτο νομίζω σε οὐκέτι πλανηθέντα ἐπανελθεῖν εἰς τὸν οἶκον, ἀλλὰ χωρὶς πλάνης, εἰ καὶ πρότερον κακὰ ἔπαθες. B.Q.

παλιμπλαγχθέντα] ὀπισθόρμητον γενόμενον. V.

6. εἰ καὶ μάλα πολλὰ] τοιοῦτόν ἐστιν ὃ λέγει, εἰ καὶ ἀγνωμόνως ἡ τύχη σοι κέχρηται, καὶ ἐπὶ τὸ πλεῖστον ἐναντιοῦται, ἀλλ' οὐ νῦν οἶομαί σε ἁμαρτεῖν τῆς πατρίδος ἡμῶν προπεμπόντων. Q.

1. οὐ δεῖ—διαμπερὲς] Brevius in H. οὐδὲν θαυμαστὸν Ἀθηνᾶς λεγούσης διαμπερὲς —.

12. καὶ τὰ—Ὀδυσσέα om. Q. Habet Eustathius p. 1730.

www.libtool.com.cn

7. ἐφιέμενος τάδε εἴρω] ἀνδρὶ ἑκάστῳ εἴρω ὅσοι πίνετε οἶνον ἐν τοῖς ἐμοῖς οἴκοις. H. μετὰ προθυμίας τάδε λέγω. V. ἐφιέμενος] ἐναλλασσόμενος, ἐντελλόμενος. V.

8. γερούσιον οἶνον] τὸν ἐντίμοις ἀνδράσι διδόμενον. H.V. γέρας γὰρ ἡ τιμή· ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν εἴληφεν. H. τὸν τοῖς ἐντίμοις διδόμενον. V.

10. εἵματα μὲν δὴ ξείνῳ] μέλλων δωρεὰς δώσειν ἑτέρας αὐτῷ, καὶ τῶν ἤδη δεδομένων μνημονεύει ἀθροίζων ἅπαντα καὶ μεγαλύνων τὴν διὰ τῶν δώρων τιμήν. εὐπρεπῶς δὲ τὸν λόγον ἐξήνεγκεν οὐκ ἄντικρυς φήσας ὅτι ἔλαβες μὲν καὶ ἐσθῆτα καὶ χρυσὸν καὶ ἄλλα δῶρα, νῦν δὲ καὶ τρίποδά σοι καὶ λέβητα κατ' ἄνδρα προθήσομεν. Καὶ ἄλλως. περὶ τῶν δώρων διαλεγόμενος ὅτι ἐν ἀσφαλεῖ ἀπόκειται ὑπέμνησεν αὐτῷ τῶν ἤδη δεδομένων. Q.

11. πολυδαίδαλος] ὁ ποικίλος καὶ μετὰ τέχνης κατεσκευασμένος· ἢ εἰς τὸ δαιδάλλεσθαι καὶ ποικίλλεσθαι εὔθετος. B.V.

12. δῶρ' ὅσα Φαιήκων] ἀντὶ τοῦ ὑμεῖς. οὐ γὰρ ἄλλοι τινὲς ἦσαν οἱ δόντες. B.

14. ἀνδρακὰς] κατὰ ἄνδρα. V.

ὁ λόγος, κατὰ ἄνδρα νῦν προδῶμεν, ὕστερον δὲ ἐκ τοῦ δήμου ἀναπραξώμεθα. B.Q. Vind. 133.

τινὲς γράφουσιν, ἄνδρα κάτα. ὁ δὲ Φρύνιχος ἀνδρακάδα φησὶ τὴν τῶν ἀνδρῶν δεκάδα. ἔστι δὲ ἐπίρρημα ὡς ἑκάς καὶ ἐντυπάς. H. Vind. 133. τὸ δὲ προικός γενικὴ ἐστιν ἀντὶ αἰτιατικῆς. ὁ γὰρ νοῦς, χαλεπὸν γὰρ καὶ ἀδύνατον ἕνα τοσαύτην δωρεὰν χαρίσασθαι. B.V.

ἀγειρόμενοι] ἀγείραντες κατὰ μέρος παρ' ἑκάστου λαμβάνοντες. H.

15. τισόμεθ'] εἰσπράξομεν, ἀποτῖσαι τὸν δῆμον τὸ μέρος τοῖς νῦν δοῦσιν ἀναγκάσομεν. τὸ δὲ προικός γενικὴ ἐστιν ἀντὶ αἰτιατικῆς, ὥς φησιν Ἡρωδιανός. B.H.Q. εἰσπραττόμεθα, ἢ ἀπολησόμεθα. V.

ἀργαλέον γὰρ ἕνα προικὸς] ἀντὶ τοῦ προῖκα, δωρεάν. B.

14. ὁ—ἡ om. B.

21. κάτα] Hoc est κάθ'.

Verba ὁ Φρύνιχος — δεκάδα habet etiam B. legitque Eustath. p. 1731, 43. Alia grammaticorum commenta vide apud Apollon. Lex. s. v. ἀνδρακάς et Etym. M. p. 102, 17.

22. ἔστι — ἐντυπάς] Non habet hoc loco H., sed separatim ἀνδρακὰς· ὡς ἑκάς καὶ ἐντυπάς.

23. τὸ δὲ—ὁ] ἡ προικὸς γενικὴ ἀντὶ τοῦ προῖκα. ὁ V.

ὁ γὰρ τοὺς V. ὁ δὲ νοῦς B.

24. τ. δωρεὰν] δωρεὰν τ. V.

27. τὸ μέρος addidi ex H.

28. δοῦσιν H. δοκοῦσιν B.Q.

www.libtool.com.cn

τὸ μὲν μὴ αὐτὸν πάντα δοῦναι ἀπαρηγόρητον, τὸ δὲ φάσκειν ἐπιτιθέναι καὶ τῷ δήμῳ τὴν εἰσφορὰν μικροπρεπές. ἀνακτέον δὲ αὐτὰ εἰς τὰ παλαιὰ ἔθη. εἰκὸς δὲ καὶ τὸ τάλαντον εἶναι τοῦ χρυσοῦ βαρὺ, καὶ τὴν ἐσθῆτα ἀξίαν πολλοῦ. Q.

19. νῆ' ἄρ'] Ἀρίσταρχος, νῆάδε. H. ἐπὶ τὴν ναῦν ἐπεσσεύοντο. H. εὐήνορα χαλκόν] τὸν κοσμοῦντα τὸν ἄνδρα. Q.

20. καὶ τὰ μὲν εὖ κατέθηχ' ἱερὸν μένος Ἀλκινόοιο] ὅρα τὴν κατ' ὀλίγον προκοπήν. τὰ μὲν γὰρ πρῶτα ὡς ἱκέτης δέδεκται, καὶ οὐδὲ ἀφ' ἑαυτοῦ ἤγειρεν ὁ βασιλεὺς αὐτόν. ἀμέλει καὶ ὀνειδίζεται ὑπὸ Ἀρήτης "Ἀλκίνο', οὐ μέν τοι τόδε κάλλιον οὐδὲ ἔοικε ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ' ἐσχάρῃ" (η, 159.). μαθὼν δὲ τὴν σύνεσιν ὁ βασιλεὺς δώροις τετίμηκεν αὐτόν. νῦν δὴ καὶ ὑπηρετεῖν οὐκ αἰσχύνεται. Q.

εὖ κατέθηχ'] κατατεθῆναι παρὼν ἐποίησεν, ὡς τὸ "λοῦσέ τε καὶ ἤλειψε." B.

22. βλάπτοι] ἐμποδίζοι. V.

23. οἱ δ' εἰς Ἀλκινόοιο] ἴσως οἱ βασιλεῖς μόνον. B.

25. Κρονίδῃ] ὅτι ἐπόπτης τῶν ξένων. ὅτι οἱ ἑστιώμενοι τοῖς ἑστιῶσι προπίνουσι παρὰ τῷ ποιητῇ. H.

26. μῆρα δὲ κήαντες] οὕτως Ἀρίσταρχος. H. κήαντες] καύσαντες. V.

31. ὡς δ' ὅτ' ἀνὴρ] ἤγουν γεωργός. H.

πανῆμαρ] ὁ Ἀριστοφάνης οὐκ ἐν συνθέσει φησὶ τὸ πανῆμαρ, ἀλλὰ πᾶν, εἶτα κατ' ἰδίαν τὸ ἦμαρ. H.

32. πηκτὸν] τὸ μὴ ἔχον ἐξ αὐτοῦ τὸν γύην. B.V.

33. ἀσπασίως] γρ. ἀσπάσιος, εὐκταῖος καὶ προσφιλής. M.

34. βλάβεται] βλάπτεται δὲ γούνατα, ἤγουν κωλύεται τὴν βάδισιν διὰ τὸν πολὺν κόπον. H.Q.

13. λοῦσέ τε καὶ ἤλειψε] Esse puto κ, 450. ubi de Circe, λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ. Vid. schol. BUTTM.

19. κήαντες] In textu M. legitur κήσαντες, adscripto γρ. κήαντες.

22. ἀλλὰ πᾶν, εἶτα κατ' ἰδίαν (κατιδίαν H.) τὸ ἦμαρ] Legere tum debebat ᾧ πᾶν ἦμαρ. PORSON. Non accedo. Grammaticus usum correpti α in voce πᾶν epicis tribuit: idque persimile vero videbitur reputanti semel tantum apud poetam occurrere πανῆμαρ et semel Il.σ,453. πᾶν δ' ἦμαρ; item πᾶν nunquam ante vocalem legi nisi ante ἔργον et εἴρητο, quarum vocum illius digamma certum, hujus admodum probabile est. Videtur itaque πάν sicut ἅπαν, πρόπαν antiquorum Ionum, πᾶν autem, ἅπᾶν, πρόπᾶν Atticorum proprium fuisse. Vid. Bekk. Anecd p.416. et Gramm. m. ampl. §. 62. Obs. 5. not. BUTTM.

26. βλάπτεται δὲ γούνατα om. Q. ἤγουν] ἤτοι Q.

www.libtool.com.cn

35. Ὀδυσῆ] τὸ πλῆρες Ὀδυσῆϊ, ὡς ἥρωϊ Λαομέδοντι" (Il. η, 453.). H.

36. πιφαυσκόμενος] φανεροποιῶν. V.

39. χαίρετε δ' αὐτοί] ὅτι οἱ παλαιοὶ καὶ ἐν τῷ ἀφίστασθαι τὸ χαῖρε ἔλεγον, ὥσπερ νῦν τὸ σώζου φαμέν. B.M.

42. ὄλβια ποιήσειαν] ἄλλο ὄλβος, ἄλλο πλοῦτος, ὡς καὶ ἐν ἄλλοις "ὄλβῳ τε πλούτῳ τε" (Od. ξ, 206.). εὔχεται οὖν τὰ δῶρα ἐπὶ εὐδαιμονίᾳ αὐτῷ γενέσθαι· οὐ γὰρ ἐν πλούτῳ μόνῳ τὴν εὐδαιμονίαν ὁρίζεται. Q.

ἀμύμονα] ἄμεινον τὸ συναμφότερον ἀκούειν, καὶ τὴν ἄκοιτιν εὖροιμι ἀμύμονα καὶ ἀνεπιμώμητον. H.

43. σὺν ἀρτεμέεσσι φίλοισι] σώοις, ἀρτίοις, ἀνελλιπέσιν, ὑγιῶς ἔχουσιν. B. τοῖς πιστοῖς καὶ ἀκεραίοις. ἐκ γὰρ τῆς ἀρτιότητος τὴν ἐπωνυμίαν ταύτην ἀπεκληρώσατο. Q. ὑγιέσι καὶ πιστοῖς. V.

45. κουριδίας] τὰς ἐκ παρθενίας γεγαμημένας. V.

θεοὶ δ' ἀρετὴν ὀπάσειαν] νῦν τὴν εὐδαιμονίαν, ὡς τὸ "ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ" (Od. τ, 114.). B.Q.

54. ἐπισταδόν] ἐπιστημόνως, ἐμπείρως. B.V.

57. Ἀρήτη δ' ἐν χειρὶ τίθει] καὶ ταύτην πρώτην ἱκέτευσε, καὶ οἶδεν ὅτι κατεδεδούλωτο αὐτῇ ὁ Ἀλκίνους. H.Q. ὅτι οἱ ἑστιώμενοι παρ' Ὁμήρῳ τοῖς ἑστιῶσι προπίνουσιν, ὡς Ὀδυσσεὺς Ἀχιλλεῖ καὶ Εὐμαίῳ ὁ αὐτός. H.

δέπας ἀμφικύπελλον] τὸ περιφερὲς, τὸ πανταχόθεν κεκυφός. B.

59. διαμπερὲς] διόλου, ἕως οὗ τὸ γῆρας ἵκοιτο. B.H.

61. χώρῳ] γρ. οἴκῳ. H. Vind. 5.

65. ἡγεῖσθαι ἐπὶ νῆα] δῆλον οὖν ὅτι φθάνουσιν οἱ ἐρέται παρὰ τῇ νηὶ ὑπάρχοντες. H.

66. ἔπεμπε νέεσθαι] ἤγουν τὰς γυναῖκας. Gl. H. ἔπεμπε γυναῖκας] ἡ ἑτέρα τῶν Ἀριστάρχου, νέεσθαι, εἶχε. καὶ ἄμεινον τὸν μὲν κήρυκα διηγεῖσθαι, τὰς δὲ δουλίδας νέεσθαι. H.

1. Ὀδυσῆ] ὀδυσσῆ H. in textu: sed scholion refertur ad Ὀδυσῆ pro Ὀδυσῆϊ habitum. Hoc igitur restitui. Conf. schol. ο, 157.
Ὀδυσῆϊ] ὀδυσσῆϊ H.
ἥρωϊ] Hoc nunc ἥρῳ scribitur.
4. ὅτι addidi ex M.
5. νῦν post σώζου habet B.
11. ἀνεπιμώμητον Cramerus pro ἀνεπιμέμητον.
18. ἐπιστημόνως] ἐπισταμένως, ἐπιστημόνως V.
19. χειρὶ] Sic H. in textu et in scholio. χερσὶ Q. ut vulgo.
20. κατεδεδούλωτο correxi pro κατεδούλωτο.
ὅτι οἱ ἑστιώμενοι] Conf. p. 558, 17.

www.libtool.com.cn

67. φᾶρος τὸ ἄνωθεν τῶν ἄλλων ἱματίων φορούμενον, χιτῶνα δὲ τὸ ὑποκάτω. Η.

68. χηλὸν] τὴν ἔχουσαν τὴν ἐσθῆτα κιβωτόν. Η.

πυκινὴν] συνετήν. V.

69. ἡ δὲ ἄλλη σῖτον ἔφερε καὶ οἶνον ἐρυθρὸν, οὐ τῷ Ὀδυσσεῖ, προῄδεσαν γὰρ ὅτι μέχρι τῆς Ἰθάκης κοιμηθήσεται· ἴσως οὖν ἵνα οἱ παραπέμποντες αὐτὸν Φαίακες ἔχωσιν ὑποστρέφοντες· ἀμέλει οἱ δὲ συνεκτιθέασιν αὐτῷ ἐν τῇ Ἰθάκῃ τὰ ἐδώδιμα. Η.

71. πομπῆες ἀγαυοὶ] οἱ Φαίακες οἱ μέλλοντες εἰς Ἰθάκην τὸν Ὀδυσσέα διασῶσαι. Q.

72. πόσιν] λείπει ὁ καί. σὺν γὰρ τοῖς ἄλλοις καὶ τὴν πόσιν καὶ τὴν βρῶσιν ἐδέξατο. Η.

73. βαπτὸν περιβόλαιον καὶ σινδόνα, ἵνα κοιμῷτο. Η.

74. νηὸς ἐπ' ἰκριόφιν] ἐπὶ τὰ σανιδώματα τῆς πρύμνης. Η.

νήγρετον] ἀνέγρετον, βαθύν· ἢ δι' ἡδονὴν βραδύν. V.

76. τοὶ δὲ] γρ. τὸ δέ. Η.

77. τρητοῖο λίθοιο] εἰώθασιν ἐπὶ τῶν λιμένων τρυπᾶν τοὺς λίθους. V.

78. ἀνερρίπτουν] ἀπὸ τοῦ παρακολουθοῦντος· ἀναρρίπτεται γὰρ ὑπὸ τῶν κωπῶν τὸ ὕδωρ. B.V.

79. καὶ τῷ νήδυμος ὕπνος] φυσικῶς αἱ νῆες τῶν Φαιάκων μετὰ τοῦ πλεῖν ὅπου βούλονται ἔσχον καὶ τὸν ὕπνον παρέχειν τοῖς πλέουσιν. ὁ μὲν Ἀλκίνους "αὔριον ἐς τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνῳ λέξεαι, οἱ δ' ἐλόωσι γαλήνην" (η, 318.)· ἡ δ' Ἀρήτη "αὐτὸς νῦν ἴδε πῶμα, μή τίς τοι καθ' ὁδὸν δηλήσεται, ὁππότ' ἂν αὖτε εὕδῃσθα γλυκὺν ὕπνον ἰὼν ἐν νηὶ μελαίνῃ" (θ, 443.). τοῦτο δὲ γράφεται, ἵνα μὴ ὁρῶσι τὴν ἐνέργειαν τῶν νεῶν οἱ ἐμπλέοντες. Η.Q.

81. ἡ δ' ὥστ' ἐν πεδίῳ] εὖ τῇ παραβολῇ κέχρηται. ὥσπερ γὰρ οἱ ἵπποι τρέχοντες ἐκ τῶν ὀπισθίων μερῶν διεγείρονται, οὕτω καὶ ἡ ναῦς ἐλαυνομένη ἐκ τῆς πρύμνης κουφίζεται. B.V.

τετράοροι] τετράσειροι, τέσσαρες ἐζευγμένοι ἵπποι. B. τέσσαρες ἵπποι ἐζευγμένοι. τετράοροι, τὸ ο μικρόν. V.

84. κῦμα δ' ὄπισθε] πάλιν ἐπανέλαβε τὸν λόγον. Q.

4. συνετήν] στεγνήν Barnesius.

16. Supra τοὶ δὲ, ut videtur, scriptum in H. γρ. τὸ δέ. PORSON. Nihili est τὸ δέ.

24. γαλήνην] γαλήνη H. quod est γαλήνῃ.

26. ἰὼν] ἐὼν H.

86. ἡ δὲ μάλ' ἀσφαλέως] ἀσφαλῶς, κυρίως ἐπὶ τῶν μὴ σφαλλομένων, ἐμπέδως δὲ ἐπὶ τῶν ἐν τῷ πεδίῳ ἐρριζωμένων. ἡ δὲ ναῦς οὔτε ἄσφαλτός ἐστιν, οὔτε ἐν τῷ πεδίῳ ἐρρίζωται. εἴληπται οὖν εἰς ἔμφασιν τῆς ἀκλινοῦς καὶ μὴ σφαλλομένης ἐν τῷ πλῷ. B.Q.

87. κίρκος] οἶμαι ὃν λέγουσι νῦν ὀξύπτερον. H.

ὁμαρτήσειεν] ἀκολουθήσειεν. V. πετεηνῶν] γρ. πετεεινῶν. H.

88. ἔταμνεν] ἔκοπτεν. V.

93. εὖτ' ἀστὴρ ὑπερέσχε] ἕως οὗ ὑπερανέτειλεν. Q.

96. Φόρκυνος] λιμὴν Ἰθάκης, ἐφ' ᾧ λιμένι Φόρκυνός ἐστιν ἱερὸν τοῦ θαλασσίου δαίμονος. V.

ἐδείχθη σαφῶς ὅτι θαλάσσιος θεὸς ὁ Φόρκυν. κακῶς ὁ Ἀριστοφάνης ἔγραφεν ἐκεῖ (Od. α, 72.) "Φόρκυνος θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος." ἀντὶ γὰρ τοῦ, μέδοντος, φησὶν, ἵν' ᾖ ἐπὶ τοῦ Ποσειδῶνος καὶ συνάπτηται τῷ ἑξῆς. H.Q. ὁ λιμὴν οὗτος ἔκ τινος Φόρκυνος θεοῦ ποτε γέγονε κἀκ τούτου τὴν κλῆσιν ἔσχεν. H.Q.

Φόρκυν δαίμων θαλάσσιος, τὸ πρότερον διατρίβων πρὸς τῷ Ἀρυμνίῳ λεγομένῳ ὄρει τῆς Ἀχαΐας, οἰκῶν τε τὴν Φόρκυνος ἀπ' αὐτοῦ καλουμένην βῆσσαν. κἄτα φανὲν αὐτῷ καταλιπεῖν τὰς τρίβους ταύτας ἀφίκετο εἰς τὴν Κεφαλληνίαν, καὶ τόπον ἐκλεξάμενος ἐπιτήδειον αὐτῷ ἐνταῦθα ᾤκησεν. λέγεται δὲ Ἄμμος ὁ τόπος. προσορμίσας δὲ εἰς τὸν τῆς Ἰθάκης λιμένα ἠξίωσεν αὐτὸν ἀφ' ἑαυτοῦ προσαγορεύεσθαι Φόρκυνος. ἡ δὲ ἱστορία παρὰ Ἡροδώρῳ. V.

97. προβλῆτες] ἔξω τοῦ λιμένος προβεβλημέναι. H.

98. ἀκταὶ ἀπορρῶγες] προπερισπαστέον τὸ ἀπορρῶγες. σημαίνει δὲ τὰς μὴ ἐρριζωμένας, ἀλλ' ἀποπεσούσας. τὸ δὲ, λιμένος ποτι-

5. λέγουσι νῦν ὀξύπτερον correxi pro λέγουσιν ἐνεξίπτερον. Quod in H. additur θείη τῇ νηΐ videtur esse ἀκολουθήσειε τῇ νηΐ ad ὁμαρτήσειεν adscriptum.

11. ὁ Ἀριστοφάνης] Distinxit Aristophanes post θυγάτηρ, et sequentia cum versu sequenti conjunxit. PORSON. Hæc si fuit sententia Aristophanis, mirum est non scripsisse eum μέδοντι, quod recte conjecisse puto Nauckium Aristoph. p. 52., licet genitivum agnoscat schol. ad α, 72.

13. μέδοντος." ἀντὶ — ἵν' ᾖ] Hæc plane absurda. Videtur scholiasta hoc dicere voluisse, μέδοντι," ἀντὶ τοῦ μέδοντος, ἵν' ᾖ etc. Nam ἔγραφεν indicio est Aristophanem non interpunctionem tantum, sed etiam scripturam mutasse.

14. συνάπτηται H. συνάπτεται Q.

15. κἀκ—ἔσχεν om. Q.

16. Ἀρυμνίῳ Barnes. ex cod. Ἀρυηνίῳ V.

18. καταλιπεῖν Mueller. Fragm. Hist. vol. 2. p. 41. pro καταλιπών.

20. προσορμίσας—Ἡροδώρῳ Buttmannus pro προσορμήσας—Ἡροδότῳ. δὲ post π. addidit Muellerus.

πεπτηυῖαι, οἷον πολὺ προήκουσαι τοῦ λιμένος, ὥστε καὶ σκέπην αὐτῷ ποιεῖν. B.Q.

ἀπορρῶγες] διερρωγυῖαι, οὐχ ὡς μέντοι τῶν ῥιζῶν ἀποτετμῆσθαι. V.

ποτιπεπτηυῖαι] ἔσω νενευκυῖαι. V.

101. ὅρμου μέτρον] ὅταν πρὸς τὸ ὁρμισθῆναι ἀφίκωνται. τὸ μέτρον, ἢ τὸ πλῆρες τῆς καταγωγῆς. V.

102. ἐπὶ κρατὸς λιμένος] ἐπὶ τῆς ἀρχῆς. V. ἄνω, ἐν ἀρχῇ τοῦ λιμένος. ἀρχὴ γὰρ τοῦ σώματος ἡ κεφαλή. B.

103. ἄντρον ἱρὸν Νυμφάων] ἀλληγορικῶς λέγει ἄντρον τὸν κόσμον, νύμφας τὰς ψυχὰς, τὰς αὐτὰς καὶ μελίσσας, καὶ ἄνδρας τὰ σώματα. δύο δὲ θύρας τὴν τῶν σωμάτων ἔξοδον, ἤτοι τὴν γένεσιν, καὶ τὴν τῶν ψυχῶν εἴσοδον, ἐν ᾗ οὐδὲν τῶν σωμάτων εἰσέρχεται, μόναι δὲ αἱ ψυχαί. ἀθάνατοι γάρ εἰσι. ὅθεν καὶ ἐλαίαν φησὶν, ἢ διὰ τὸν νικητικὸν στέφανον, ἢ διὰ τὸ . . . ὅ ἐστι τὴν τροφὴν . . . B.

ἠεροειδὲς] ἀντὶ τοῦ μέγα καὶ ἀναπεπταμένον. Q.

104. νηϊάδες] αἱ τῶν ναμάτων σύντροφοι· οὐ γὰρ ἀπὸ Νηΐου ὄρους. H. αἱ τῶν ναμάτων νύμφαι, ἢ ἀπὸ τοῦ Νηΐου ὄρους. B. ἀπὸ τοῦ Νηΐου ὄρους. ἢ ναΐδες νύμφαι εἰσὶ τῶν ὑδάτων. V.

105. ἀμφιφορῆες] εἶδος κεράμων ἀμφώτων. V. καὶ τὰ αὐτὰ ἀναθήματα ὡς οἱ κρατῆρες καὶ ἀμφιφορεῖς. H.

106. τιθαιβώσσουσι μέλισσαι] τὴν βόσιν, τὴν τροφὴν, ἀποτιθέασιν, ὅ ἐστι τὰ κηρία. Q. ἀποτίθενται τὴν βόσιν, ὅ ἐστι τὸ μέλι, οἷον θησαυρίζουσι τὰ κηρία καὶ νεοττοτροφοῦσιν. V.

108. φάρε' ἁλιπόρφυρα] ἐοικότα τῇ θαλάσσῃ πορφυριζούσῃ. Q.

109. δύω—θύραι—αἱ μὲν—αἱ δὲ—] πῶς ἐπὶ τῶν δύο θυρῶν ἐν τῷ διαιρεῖν φησιν αἱ μὲν, αἱ δέ; ἐνδεχέται τὴν μίαν ἑκάστην θύραν δίθυρον εἶναι. B.H.Q.

110. καταιβαταὶ ἀνθρώποισι] βάσιμοι, δι' ὧν κατάβασίς ἐστιν ἀνθρώποις. V. ὀξυτόνως ἐπὶ τῷ καταιβαταί. H.

14. Sequuntur in B. duo scholia futilia et ab hoc loco plane aliena, alterum, σχοῖνος τὸ βροῦλον (cf. schol. ε, 463.)· σχίνος δὲ τὸ θαμνῶδες φυτόν. βάτος κατ' ἀντίφρασιν ἡ ἄβατος. alterum, τὸ ἴσαν, τὸ ἐγίνωσκον, κανονίζεται οὕτως· ἴσημι, καὶ ὁ παρατατικὸς ἴσην, ἴσης, ἴση, ἴσατον, ἰσάτην, ἴσαμεν, ἴσατε, ἴσασαν καὶ ἴσαν κατὰ συγκοπήν.

15. Habet etiam V., addito εὔσκιον.

25. Addidi πῶς. Est ἀπορία et λύσις ἀπορίας, quomodo de duabus januis αἱ μὲν—αἱ δὲ—pro ἡ μὲν—ἡ δὲ—dici potuerit. In H. esse dicitur λύσις ἐπὶ τῶν etc.

ἐπὶ] ἐπὶ δὲ B.Q. qui verba ἐπὶ δὲ τῶν — δίθυρον εἶναι infra collocant p. 563, 1. post ἄβατοι ἀνθρώποις.

29. ἐπὶ τῷ] Exspectes τό.

111. θεώτεραι] θειότεραι καὶ ἄβατοι ἀνθρώποις. B.H.Q. θειότεραι, δι' ὧν μόνοι θεοὶ εἰσέρχονται. V.

113. πρὶν εἰδότες] ἀντὶ τοῦ πρὶν εἰδῆσαι, ὡς τὸ "καρπῷ βριθομένη" (Il. θ, 307.). λείπει τὸ ὡς. οὐ γὰρ οἱ Φαίακες, ἀλλ' αἱ νῆες αὐτῶν μόναι τοὺς τόπους ἐπίστανται. H.

119. καδδ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν] οὐ διανιστᾶσιν αὐτὸν περὶ τοῦ μὴ δοκεῖν χάριν τῆς παραπομπῆς ἀπαιτεῖν· ἢ ἵνα μὴ κατασχεθῶσιν ὑπ' αὐτοῦ· ἢ οὕτως ᾠκονόμησε διὰ τὰ ἑξῆς. ἀνῄρητο γὰρ ὑπὸ τῶν μνηστήρων φανερῶς κατιών. V.

τὴν τῶν Φαιάκων ἀτοπίαν καθ' ἣν τὸν Ὀδυσσέα καθεύδοντα μὴ διυπνίσαντες εἰς τὴν γῆν κατέθεντο, τοῦ τε Ὀδυσσέως τὸν ἄκαιρον ὕπνον, διαλύειν πειρώμενος ὁ Ποντικὸς Ἡρακλείδης φησὶν ἀτόπους εἶναι τοὺς ἐξ ὧν εἴρηκεν ὁ ποιητὴς μὴ στοχαζομένους περὶ τοῦ παντὸς τρόπου τῶν Φαιάκων. συνειδότας γὰρ ἑαυτοῖς φιληδονίαν καὶ ἀπολαυστικὸν τρόπον, καὶ δεδιότας μή τις αὐτοὺς ἄλλος ἐπελθὼν ἐκβάλῃ ἀπὸ τῆς χώρας, δύο ταῦτα ὑποκρίνασθαι, φιλοξενίαν τε πρὸς τοὺς παρόντας, ταχεῖάν τε ἀπόπεμψιν πρὸς τοὺς ἐλθόντας, πάντα δὲ ἐργάζεσθαι ὅπως αὐτῶν ἡ οἴκησις λανθάνῃ, καὶ διάστημα ὅσον ἐστὶ μὴ γινώσκηται, νῆσον ἀγαθὴν οἰκοῦντας, πρὸς δὲ τὸν πόλεμον οὔτε γεγυμνασμένους οὔτε προαιρουμένους, ἀλλ' ἐναντίαν βιοτὴν τοῖς πολεμικοῖς ἐπιτηδεύμασιν ἔχοντας· "οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη" (ζ, 270.)· καὶ πάλιν φησὶν αὐτοῖς αἰεὶ δαῖτα μέλειν κίθαρίν τε καὶ ὠδάς (θ, 248.). τοιούτους οὖν ὄντας καὶ τοιαύτην γῆν ἔχοντας οὐδὲν ἀπεικὸς εὐλαβεῖσθαι μὴ κατοπτευθέντες ὑπό τινων πολεμῆσαι δυναμένων ἐκπέσωσι τῆς χώρας, καὶ ταχυτάτας ἀποπομπὰς ποιεῖσθαι τῶν ξείνων, οὐ διὰ φιλοξενίαν· "οὐ γὰρ ξείνους οἵγε μάλ' ἀνθρώπους ἀνέχονται, οὐδ' ἀγαπαζόμενοι φιλέουσιν ὅτε κέν τις ἵκηται" (η, 32.). οὐδὲν οὖν ἄλογον διά τινα τοιαύτην αἰτίαν αὐτοὺς ἀποστέλλειν ταχέως τοὺς ξένους, πρὶν ἐντὸς γενέσθαι τῶν παρ' αὐτοῖς

6. διανιστᾶσιν Buttm. pro διανίστησιν.

10. τὴν τῶν Φαιάκων ἀτοπίαν] Hanc quæstionem tractavit etiam Eustathius p. 1733.

14. συνειδότας—δεδιότας] συνειδότες —δεδιότες H. Nominativus συνειδότες est etiam apud Eustathium, oratione non obliqua, sed recta utentem.

18. ἐστὶ om. Q.

22. αἰεὶ—μέλειν κίθαρίν τε καὶ ᾠδάς H. nisi quod μέλλειν. ἀεὶ—μέλει κίθαρίς τε καὶ ᾠδαί Q.

23. οὖν om. Q.

25. ταχυτάτας ἀποπομπὰς correxi pro ταχυτάτους ἀποπόμπους. ταχεῖαν ἀπόπεμψιν dixit supra l. 17.

www.indool.com.cn

τοὺς ἐπιδημήσαντας. εὔλογον δὲ ἦν μάλιστα τὸν Ὀδυσσέα φοβηθῆναι. τούτῳ γὰρ συμβεβήκει τὰ μὲν περὶ πόλεμον δεινότατον τῶν θνητῶν εἶναι καὶ διὰ τὴν φύσιν καὶ διὰ τὴν ἐν τῇ Τροίᾳ γυμνασίαν. πρὸ τοῦ γνῶναι οὖν εὐκαταφρόνητον εἶναι νομίζοντες ἧττον ἔκρυπτον τὴν ἑαυτῶν διαγωγήν, ἀλλά τι καὶ παρεδήλουν· ἐπεὶ δὲ ᾔσθοντο ὃς ἦν, βουλόμενοι μήτε τὸν τόπον ὅπου τὴν νῆσον αὐτῶν εἶναι συμβέβηκε μήτε πόσος ἦν αὐτῷ ὁ πλοῦς ἐκ τῆς Ἰθάκης πρὸς αὐτοὺς γνῶναι, πρῶτον μὲν ἔφασαν αὐτῷ ὅτι δεῖ καθεύδειν αὐτὸν ἀναβάντα εἰς τὸ πλοῖον, εἶτα πολὺ τῆς Ἑλλάδος ἀπέχειν τὴν νῆσον αὐτῶν ὑπολαβεῖν τὸν Ὀδυσσέα θέλοντες παρενέβαλον ὡς αὐθημερὸν εἰδεῖεν αἱ νῆες κατανύειν εἰς ὃν ἂν οἱ ναῦται πρόθωνται τόπον (η, 326.). καὶ τὸ λέγειν ὅτι ῥᾳδίως αὐτὸν ἀπάξουσιν εἰς τὴν πατρίδα, εἰ καὶ μάλα πολλὸν ἑκαστέρω ἐστ' Εὐβοίης, ἥπερ τηλοτάτω φασὶν ἔμμεναι οἵπερ ἴδοντο ἡμετέρων προγόνων (η, 321.), συνῳδόν ἐστι τῷ προσποιεῖσθαι πόρρω τῆς Ἑλλάδος τὴν χώραν αὐτῶν εἶναι. τῷ γὰρ τὴν Εὔβοιαν τηλοτάτω λέγειν εἶναι παντελῶς φασιν ἑαυτοὺς κατοικεῖν πόρρω τῆς Ἑλλάδος. ἀλλὰ δῆλον ὅτι πάντα ταῦτα συνέτεινεν αὐτοῖς πρὸς τὸ μὴ γνωσθῆναι καθ' ὃν ᾤκουν τόπον. τοιαύτης δὲ αὐτῶν οὔσης τῆς προαιρέσεως, ἐπειδὴ καθεύδοντος τοῦ Ὀδυσσέως εἰς τὴν Ἰθάκην ἦκειν αὐτοὺς συνέπεσε, κάλλιστον, οἶμαι, τοῦτο ἡγήσαντο ὑπάρχειν αὐτοῖς καθεύδοντα αὐτὸν ἐκθεῖναι, πρὸς τὸ μηδὲ εἰς ὃν ἀποπλέουσι τόπον εἴτε πρὸς ἕω εἴτε πρὸς ἑσπέραν γνωσθῆναι. τό τε παθεῖν τι τὸν Ὀδυσσέα ὑπὸ τῶν περιτυχόντων τάχα μὲν ἴσως οὐδὲν αὐτοῖς διέφερεν, ἐπειδή γε αὐτοῖς συμβέβηκε μηδὲν εἰς αὐτὸν ἀσεβῆσαι, καθάπερ ὑπέσχοντο μετὰ τῶν σπονδῶν εἰς τὴν πατρίδα ἀπαγαγεῖν. οὐ μὴν ἀλλ' εἴ τινα φιλανθρωπίαν δεῖ αὐτοῖς ἀποδοῦναι πρὸς τὸν Ὀδυσσέα, ἔξεστι λέγειν ὡς ἐξ ὧν ἤκουσαν αὐτοῦ λέγοντος, οὓς ὁ Τειρεσίας αὐτῷ χρησμοὺς εἶπε, συνελογίσαντο ὅτι οὐδὲν παθεῖν αὐτῷ εἵμαρτο δεινὸν, ἀλλὰ τιμωρήσασθαι τοὺς ἐχθρούς. εἰδότες δὲ ἐκεῖνον οὐδὲν βλαβη-

2. συμβεβήκει] συμβέβηκε Q.
4. πρὸ τοῦ γνῶναι οὖν] πρό τ' οὖν (i. e. πρὸ τοῦ οὖν) γνῶναι H.
5. ἀλλά τι καὶ π. H. ἄλλα τε π. Q.
11. κατανύειν Buttm. pro κατανεύειν.
πρόθωνται] πρόθωνται H.
14. τῷ Buttm. pro τό.
15. τῷ γὰρ Buttm. pro τὸ γάρ.
16. φασιν correxi pro φησιν.
21. εἴτε πρὸς ἕω addidit Buttm.
23. διέφερεν] συνέφερεν Buttm.
24. ἐπειδή Buttm. pro ἐπεὶ δέ.
25. μὴν scripsi pro μέν.
28. συνελογίσαντο—εἵμαρτο] συνελογίζοντο—ἥμαρτο H.

σόμενον, αὐτοὶ δ' ἅπερ προετέθειντο ἀπεργασάμενοι, τὴν ἀγωγὴν ἐποιήσαντο, οὐκ ἐπεγείραντες αὐτόν. κἀνταῦθα μὲν δεῖ θεωρεῖν παρά τί ποτε τὴν ἀπολογίαν ποιούμεθα. οἱ μὲν γὰρ κατηγοροῦντές φασί τι πρᾶξαι τοὺς Φαίακας τοιοῦτον, ἐξ οὗ κίνδυνος ἦν ἀδοξίᾳ περιπεσεῖν, οὐ προσαποδεικνύουσι δὲ ὅτι διὰ τὴν πρᾶξιν αὐτοῖς ταύτην οὐδὲν ἀγαθὸν συνέβαινεν. ἔδει δὲ τοῦτο ποιῆσαι τοὺς μέλλοντας μὴ παραδώσειν ἀπολογίαν. πολλάκις γὰρ τῶν ἐν μιᾷ πράξει καὶ δυσχερὲς ὑπάρχει τι καὶ ἀγαθὸν, καὶ μᾶλλόν ἐστιν αἱρετὸν τὸ ἀγαθὸν ἢ τὸ κακὸν φευκτόν. διόπερ οὐκ ἀποδοκιμάζομεν τὰς τοιαύτας πράξεις· καὶ τοῖς Φαίαξι δὲ τοῦτο συμβαίνειν λέγομεν. οὐ γὰρ τὴν ἀπόδειξιν ἐφοβήθησαν, ὡς λαθεῖν ἐβουλήθησαν ἐν ᾧ τόπῳ κατοικοῦσιν. ἡ μὲν οὖν ἀφορμὴ τῆς ἀπολογίας ἐκ τούτου γέγονεν ἡμῖν· ἤδη δὲ πλάττομεν ἐκ τῶν ἐπῶν τι τοῖς Φαίαξιν αἱρετώτερον ἄλλο συμβαῖνον· διόπερ ἴδιον τρίτης ἀδοξίας κίνδυνος. H.Q.

123. Ἀρίσταρχος, μήπω, χρονικῶς. διὸ καὶ ἐπήγαγε, πρὶν Ὀδυσῆ' ἔγρεσθαι. H.

124. δηλήσαιτο] βλάψοι, ἀντὶ τοῦ ἀφέληται. V.

128. Ζεῦ πάτερ] ὅτι Ποσειδῶν, ὃς ἦν ἀδελφὸς, πατέρα προσαγορεύει τὸν Δία πρὸς τιμήν. H.

130. Φαίηκες, τοίπερ τοι ἐμῆς ἔξ εἰσι γενέθλης] ἐξ ἐμῆς ὑπάρχουσιν. "ἐξ ἐμῆς" ὡς τὸ "Μυρμιδόνων δ' ἔξ εἰμι" (Il. ω, 397.). H. τοῦτο ἐν ἤθει. Ποσειδῶνος γὰρ καὶ Κερκύρας. Q. ἐν ἤθει ταῦτα. ὁ γὰρ Φαίαξ Ποσειδῶνος καὶ Κορκύρας τῆς Ἀσωποῦ. τὸ δὲ ἀπηύρων ἀντὶ τοῦ ἀφειλόμην. V.

133. ἐπεὶ σὺ πρῶτον] χρονικῶς. V.

135. ἀγλαὰ] γρ. ἄσπετα. H.

137. ἐξήρατο] ἐξαίρετα ἔλαβεν. V.

138. ἀπὸ] οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἐξῆς ἐστιν, ἢ παρέλκει. H.

142. πρεσβύτατον] οὐ καθ' ἡλικίαν, ἀλλὰ τιμιώτατον· ὡς Ἥρα "καί με πρεσβυτάτην τέκετο" (Il. δ, 59.). B. τοῦτο μάλιστα

2. τί om. Q.
3. τι om. Q.
5. οὐ προσαποδεικνύουσι] οὕπως ἀποδεικνύουσι Q.
6. δὲ addidit Buttm.
14. τρίτης] ταύτης Q.
15. μήπω] Sic in textu H., sed mutatum in μήπως. Alii μή που. Mirum si μήπω probaverit Aristarchus.
26. ἄσπετα] Hoc in textu habet M., sed in margine γρ. ἀγλαά

www.hptool.com.cn

Ποσειδῶν αἰτιᾶται, τάχα δ' ὅτι καὶ περιπεμφθῆναι αὐτὸν ὑπ' ἄλλων, οὐχ ὑπ' ἐκείνων ἔδει. H.Q.

ἐντιμότατον. ἀλλαχοῦ γὰρ λέγει "ἀλλὰ Ζεὺς πρότερος ἐγεγόνει" (Il. ν, 355.). V.

ἰάλλειν] περιβάλλειν, διδόναι, ἐκτείνειν. V.

143. βίῃ καὶ κάρτεϊ εἴκων] νικώμενος ὑπὸ τῆς ἑαυτοῦ βίας καὶ τῆς ἰσχύος, ὥστε διὰ τοῦτο ἐξυβρίζειν. V.

144. τὸ ἐξῆς, οὔτι τίει βίῃ τῇ σῇ καὶ κάρτεϊ εἴκων—ἐν σοὶ ζῇ τιμωρία τοῦ ἀτιμάζοντός σε. H.

148. ὀπίζομαι] διὰ φροντίδος ἔχω, ἢ αἰδοῦμαι. B. φυλάττομαι, αἰδοῦμαι, ἐντρέπομαι. V.

152. μέγα δέ σφιν ὄρος] ἵνα μὴ ζητῶμεν νῦν ὅπου οἱ Φαίακές εἰσιν· φαίνεται γὰρ τὰ περὶ αὐτῶν. Q.

Ἀριστοφάνης δὲ γράφει, μὴ δέ σφιν. ἀντιλέγει δ' ἐν ὑπομνήμασιν Ἀρίσταρχος. H.

πόλει ἀμφικαλύψαι] οὕτως ἀμφικαλύψαι. καὶ ἀπὸ κοινοῦ τὸ ἐθέλω. B.H.

154. ὣς μὲν ἐμῷ] γρ. ᾗ. H. οὕτως. Gl. H.

156. θεῖναι λίθον ἐγγύθι γαίης] ποιῆσαι τὴν νῆα λίθον. H.

157. θαυμάζωσιν] ὁρῶντες ἐκπλήττωνται. V.

160. γεγάασι] καταχρηστικῶς ἀντὶ τοῦ οἰκοῦσιν· ἐκ γὰρ τῆς Ὑπερησίας μετεληλύθασιν. B.Q.

161. ἔμεν'] τὸ ἔμεν' ἀντὶ τοῦ ἔμενεν, ὅ ἐστιν, ἐκεῖ ἐκαρτέρει. H.

163. ὅς μιν λᾶαν ἔθηκε] ὃς τὴν ναῦν ἀπελίθωσεν. H.

170. οὐκ ἴσαν] οὐκ ᾔδεισαν. V.

173. ὃς ἔφασκε] ὅτι ἐκ τοῦ τόπου τούτου μετάκεινται εἰς τὰ κατ'

2. ὑπ' ἐκείνων ἔδει H. ὑπὲρ ἐκείνων Q., omisso ἔδει.

8. οὔτι τίει] οὔτι εἰ H. Quod etiam οὐ τίει esse potest.

14. δ' ἐν ὑπομνήμασιν Porsonus pro δὲ ν ὑπομνημάτων. Quod etiam δὲ διὰ ὑπομνημάτων esse potest, prælatum ab Nauckio Aristoph. p. 40. Aristarchus ἐν τοῖς κατ' Ἀριστοφάνους ὑπομνήμασιν citatur ab schol. Il. β, 133. Cum διὰ in schol. Il. φ, 131. Ἀρίσταρχος διὰ τῶν ὑπομνημάτων Ἀριστοφάνη φησὶ στίχους ἐξ ἠθετηκέναι.

16. πόλει] τόλεϊ H.M. in textu. Aristophanis scripturam fuisse μηδέ σφιν ὄρος πόλει ἀμφικάλυψον conjicit Nauck. l. c.

οὕτως—καὶ om. B., in quo hæc annotatio versui 149. adscripta.

20. ἐκπλήττωνται] ἐκπλήττονται V.

23. ἔμεν'] ἔμεν H. utrobique.

26. μετάκεινται] Versus 173—178.

εἰς τὰ κατ' ἀρχὴν] Significantur versus θ, 564—571.

www.libtool.com.cn

ἀρχὴν πρὸς Ὀδυσσέα ὑπὸ Ἀλκινόου λεγόμενα· οὐκ ὀρθῶς· εἰ γὰρ ἐμέμνητο τοῦ χρησμοῦ, οὐκ ἂν ἀπεκομίσθη ὁ Ὀδυσσεύς. Q.

ἀγάσασθαι] ἄγαν ὀργισθῆναι. V. διὰ τοῦ σ ἀγάσασθαι. H.

174. πομποὶ ἀπήμονες] ὅτι καὶ τῶν μὴ ἀναξίων ἀπήμονες, μὴ ἐῶντες αὐτοὺς πημαίνεσθαι. Q.

175. εὐεργέα] γρ. περικαλλέα. M.

177. βαρυντέον τὴν ἡμῖν. H.

180. παύεσθε] γρ. παύσασθε. M.

183. μὴ δ' ἡμῖν] ἐκ τοῦ προτέρου καὶ τὸ δεύτερον προσδοκῶσιν. οὐ γὰρ ἂν θῦσαι καιρὸν εἶχον. H.Q.

ἀπόλυτος ἡ ἡμῖν. H.

185. ὣς οἱ μέν ῥ' εὔχοντο] κατὰ τὸ σιωπώμενον, ἠφανίσθησαν. τὰ γὰρ κυρωθέντα ὑπὸ θεῶν ἐξ ἀνάγκης πληροῦται. V.

190. ὄφρα μιν αὐτόν] Ἀριστοφάνης "αὐτῷ" γράφει καὶ τὸ "μιν" ἐπὶ τῆς Ἰθάκης τίθησιν. H.

191. ἄγνωστον] ἀφανῆ. V.

195. ἀτραπιτοί τε] στεναί τε καὶ εὐθεῖαι ῥῦμαι, ἢ αἱ ἱππήλατοι. αἱ γὰρ τραχεῖαι καὶ ἐκτροπὰς ἔχουσαι παιπαλόεσσαι καλοῦνται παρ' αὐτοῦ. λέγει δὲ νῦν τὰς παρὰ τοὺς λιμένας, οὐχ ἧν μικρὸν ὕστερόν φησι τραχεῖαν ἀταρπόν. B.H.P.Q. ἀτραπιτοί] αἱ μὴ ἔχουσαι ἐκτροπὴν ὁδοί. V.

πάνορμοι] οἱ πᾶσαν ναῦν δεχόμενοι εἰς τὸ ὁρμισθῆναι. εἰσὶ γὰρ λιμένες μὴ ὑποδεχόμενοι μεγάλας ναῦς. ἢ ἐν παντὶ μέρει ὁρμισθῆναι δυνάμενοι καὶ ἰσοβαθεῖς πανταχόθεν. B.Q. σκέπην ἔχοντες παντὸς ἀνέμου. P.V.

196. πέτραι τ' ἠλίβατοι] τινὲς παρὰ τὸ ἁλιτεῖν τοὺς ἐπιβαίνοντας. B.Q.

τηλεθάοντα] ἄγαν θάλλοντα. V.

199. χερσὶ] τοὺς δύο μηροὺς ἔπληξε ταῖς δύο χερσίν. H.

ὀλοφυρόμενος δὲ προσηύδα] γρ. ὀλοφυρόμενος δ' ἔπος ηὔδα. H.

1. ὑπὸ Ἀλκινόου—ὁ (ὁ om. Q.) Ὀδυσσεύς hoc loco habet H. In Q. leguntur ut separatum scholion v. 172. cum lemmate ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει.

3. διὰ τοῦ σ] διὰ τοὺς H. Legendum videtur, διὰ τοῦ σ ἀγάσασθαι et ad variam lectionem ἀγάασθαι referendum. Nisi quis pertendat legendum διὰ τοῦ ε ἀγάεσθαι. PORSON.

19. νῦν om. B.H.Q.

20. ἀταρπόν] ἀτραπόν H. τραχεῖαν ἀταρπόν est ξ, 1.

30. γρ. ὀ. δ' ἔπος ηὔδα huc rettulit Porsonus. In H. legitur ad v. 221.

www.libtool.com.cn

204. πλάζομαι] γρ. πλάγξομαι. M.

πλάγξομαι] πλανηθῶ. V.

αἴθ' ὄφελον] τὸ ὄφελον πληθυντικόν ἐστιν ἐπὶ τῶν χρημάτων λεγόμενον· ἀντιδιαστέλλει γὰρ, ἐγὼ δέ κεν ἄλλον ἐξικόμην. H.Q. τὰ χρήματα δηλονότι. B.V.

206. ἐξικόμην] ἱκέτευσα. V.

211. ὑποπτεύει κατὰ τὴν ἐκείνων κέλευσιν ἐκτεθεῖσθαί που. H.

213. σφέας] ἀπόλυτος ἡ σφέας. H.

τίσαιτο] Ζηνόδοτος, τίσασθαι. H.

ἱκέσιος] ἱκετῶν ἐπόπτης. V.

214. ἐφορᾷ καὶ τίνυται] οὕτως τίνυται, τιμωρεῖ, κολάζει. H.

215. ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω] οὐχ ὡς μικρολόγος, ἀλλ' ἐκ τούτου τεκμαιρόμενος εἰ καὶ περὶ τὴν ἀγωγὴν τῆς πατρίδος ἠδίκησαν αὐτὸν, ἢ ὡς ἀναλωθέντων. H.Q. ἐκ γὰρ τῆς ἐκπλήξεως οὐ προσέσχε τῷ δεσμῷ τῆς Κίρκης "τόν ποτέ μιν δέδαεν φρεσὶ πότνια Κίρκη." (Od. θ, 448.). H. ἵνα τὴν γνώμην αὐτῶν καταμάθῃ. εἰ γὰρ μηδὲν ἔλιπε τῶν χρημάτων, ψευδὴς ἦν τὸ εἰς ἀλλοτρίαν γῆν αὐτὸν ἀφῖχθαι. οὐ πιστεύει δὲ τῷ δεσμῷ τῆς Κίρκης, ἤτοι διὰ τὴν ἔκπληξιν, ἢ οἰηθεὶς μεμαθηκέναι αὐτοὺς τὸν δεσμόν. V.

216. οἴχονται] ἀπεληλύθασι. V.

219. τῶν μὲν ἄρ' οὔτι πόθει] οὐδὲν τούτων ἐζήτει, πάντα γὰρ σῶα ἦν. B.Q.

πόθει] ἀπεζήτει. ὀδύρετο] ἀπεκλαίετο. V.

220. ἑρπύζων] κατὰ τὸν αὐτὸν τόπον ἀναστρεφόμενος, ἢ ἕρπων, ἢ βαδίζων. V.

222. ἀνδρὶ δέμας εἰκυῖα] ὅτι ὁ ποιητὴς ἄρρενας μὲν θεοὺς, θηλείας δὲ ἄρρεσιν οὐδέποτε εἰκάζει. H.Q.

ἐπιβώτορι] ποιμένι, ἐπὶ τῶν βοσκημάτων τεταγμένῳ. B.V. περισσὴ ἡ πρόθεσις, ὡς καὶ εἰς τὸ "βοῶν ἐπιβουκόλος ἀνήρ." B.

223. παναπάλῳ] πάνυ νέῳ, κατὰ παντὸς τοῦ σώματος ἁπαλῷ.

3. In lemm. schol. vulg. ed. ant. est ὄφειλον: quod ideo annoto, quoniam in text. Harl. quoque ει super ε verbi ὄφελον scriptum. Porsonus tamen e verbis scholii suspicabatur fuisse ὄφελε: ad χρήματα scilicet. BUTTM.

9. τίσαιτο] τίσαιθ' H. in textu ab correctore. Vera versus scriptura est Ζεὺς σφέας τίσαιτο ἱκετήσιος, non quod Wolfius ex Barnesii interpolatione edidit Ζεὺς σφείας τίσαιθ' ἱκετήσιος.

27. ἄρρεσιν om. Q.

www.libtool.com.cn

B.Q. τοιούτῳ ὁμοιοῦται πρὸς τὸ θαρσῆσαι τὸν Ὀδυσσέα. ὅθεν καὶ ἐπιφέρει, Ὀδυσσεὺς γήθησεν. παναπάλῳ δὲ, πάνυ ἁπαλῷ. V.

οἷοί τε ἀνάκτων παῖδες ἔασι] ὅτι καὶ οἱ βασιλεῖς ἔνεμον δῆλον δι' ὧν φησιν Ἀνδρομάχη "πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς βουσὶν ἐπ' εἰλιπόδεσσιν" (Il. ζ, 423.). H.Q. καὶ Αἰνείας περὶ Ἀχιλλέως "ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσιν" (Il. υ, 91.). H. τὸ παλαιὸν καὶ οἱ τῶν βασιλέων παῖδες πανάπαλοι ἐκαλοῦντο, καὶ ἐποίμαινον. V.

224. ἔχουσ'] οὐ γραπτέον, ἔχειν· εἴη γὰρ ἂν τοῦ ποιητοῦ ὁ λόγος. H.

λώπην] ἱμάτιον, ἤτοι περιβόλαιον. ἔνθεν καὶ λωποδύτης ὁ τούτων ἀφαιρέτης, λῃστής. V.

226. τὴν δ' Ὀδυσεὺς γήθησεν ἰδὼν] διὰ τὴν ἡλικίαν εἰκότως· οὐδὲν γὰρ δέδοικεν ὑπὸ τοῦ τοιούτου παθεῖν. H.Q.

228. ὀρθοτονητέον τὴν σέ, ὡς καὶ Ἡρωδιανός. H.

229. ἀντιβολήσεις] συναντήσεις. V.

233. τίς γῆ] ἡ γῆ ποία ἐστὶν, Ἀσία ἢ Εὐρώπη; ὁ δῆμος ποῖος, Λάκων ἢ Πύλιος; οἱ ἄνδρες τίνες, δίκαιοι ἢ ἄδικοι; B.Q.

234. ἐνθάδε ὁ ῆ ἐρωτηματικὸς, διὸ περισπασθήσεται· ἐπὶ δὲ τοῦ Κύκλωπος ἀποφαντικὸς, διὸ ὀξύνεται. H.

235. λείπει ἡ ἐξ. ἔγκειται οἷον χερσόνησος περιοριζομένη θαλάσσῃ. H.

κεκλιμένη] περιερχομένη. V.

241. μετόπισθε] εἰς τὰ ὀπίσω· πρόσωπον γὰρ εἶναι ὑποτίθεται τὴν ἀνατολὴν, νῶτα δὲ τὴν δύσιν. B.Q. εἰς τὰ ἐναντία μέρη. V.

242. ὅ ἤτοι πλεονάζει. H.

243. οὐδὲ λίην λυπρὴ, ἀτὰρ οὐδ' εὐρεῖα] πρὸς τὰ δύο τὰ ἄνω ἀπέδωκεν. ἐπεὶ γὰρ εἶπε τρηχεῖα μὲν, ἐπάγει, ἀλλ' οὐ λίαν ἄκαρπος· εἰπὼν δὲ, οὐχ ἱππήλατός ἐστιν, ἐπάγει, ἀτὰρ οὐδ' εὐρεῖα. ἐνδέχεται γὰρ πλατεῖαν μὲν εἶναι, μὴ δύνασθαι δὲ ὑπὸ ἵππων ἐλαύνεσθαι διὰ τὸ τραχύ. H.Q.

οὐκ εὐρεῖα] οὕτως, οὐδ' εὐρεῖα. H.

244. περὶ γὰρ τὸ γεῶδες τῆς Ἰθάκης εὔφορον. H.

6. περὶ Ἀχιλλέως] παρ' ἀχιλλεὺς H.
9. ἂν addidi.
13. εἰκότως om. Q.
17. Πύλιος] ἀττικός B.

www.libtool.com.cn

245. τεθαλυῖά τε] θάλλειν ποιοῦσα καὶ αὔξειν τὰ φυτά. V.

ἐέρση] δρόσος. V.

246. καὶ βούβοτος] ψεύδεται ἐγκωμιάζων τὴν νῆσον. τὰ γὰρ βουστάσια Ὀδυσσέως ἐν ἠπείρῳ ἦν. H. πῶς οὖν ἔνδροσος, εἰ ἐν ἠπείρῳ νέμονται; οὐδὲν κωλύει καὶ ἐν Ἰθάκῃ. ἢ βούβοτος, βοσκημάτων πλήρης. V.

247. ἀρδμοὶ] ποτισμοί, ἔνθα ποτίζουσι τὰ ζῷα. B.H.Q. ἀρδμὸς, ἐκτατέον τὸ α. ὁμοίως τὸ ἄρδω ὁ Ἀριστοφάνης. H.

254. πάλιν δ' ὅγε λάζετο] εἰς τὸ ἐναντίον ἔστρεφεν. H. εἰς τοὐναντίον τοῦ ἀληθοῦς, ὅ ἐστιν, ἐκ δευτέρου δὲ τὸν λόγον ἀνελάβετο. V.

258. χρήμασι σὺν τοίσδεσσι] προπαροξυτονητέον τὸ τοίσδεσσι. H.

259. φεύγω] Ἰδομενεὺς παῖς μὲν ἦν Δευκαλίωνος τοῦ Μίνωος, Κρὴς δὲ τὸ γένος, ἄριστος τὰ πολέμια. παρ' ἑκάστοις γοῦν ἀριστείαις σεμνὸς φαινόμενος, μέχρι τῶν νόστων ἄρραιστος διεφυλάχθη. οὗτος δὲ, ὡς λέγεται, γενομένου τοῦ κατ' Εὔβοιαν χειμῶνος ὑπὸ τῆς Ἀθηνᾶς, ᾤκειλε μετὰ τοῦ Κάλχαντος καὶ Σθενέλου εἰς Κολοφῶνα, καὶ ἐνταῦθα τὸν βίον κατέστρεψε. ἡ δὲ ἱστορία παρὰ Λυκόφρονι. V.

261. ἀνέρας ἀλφηστὰς] ἐφευρετάς· γίνεται δὲ ἐκ τοῦ ἀλφῶ τὸ ψηλαφῶ, ἀφ' οὗ καὶ τὸ ἄλφα. B.

262. οὕνεκά με στερέσαι τῆς ληΐδος] καὶ τοῦτο ἵνα δοκῇ τιμωρεῖσθαι τοὺς ἀποστερεῖν αὐτὸν ἐπιχειροῦντας, ὅς γε μήτε βασιλέως παιδὸς ἐφείσατο. Q.

265. οὐχ ᾧ πατρὶ θεράπευον] ἐπεὶ οὐκ ἤμην θεράπων τοῦ πατρὸς

2. In Vind. 133. est ὀπώρη, adscripto γρ. ἐέρση.

4. πῶς —] Confusum scholium; quod "bene explicari" dicit Barnesius his Eustathii verbis p.1740,43. φασὶ δὲ οἱ παλαιοὶ—μὴ λέγειν τὸν ποιητὴν οἷα ἐστὶν ἡ κραναὴ αὕτη νῆσος, ἀλλ' οἵαν εἶναι χρὴ νῆσον εὐδαιμόνως οἰκουμένην. δίχα οὖν τῶν ἄλλων οὐδὲ βούβοτος ἡ νῆσος, εἴγε τὰ τοῦ Ὀδυσσέως βουστάσια, φασὶν, ἐν Ἠπείρῳ ἦν. εἰ μὴ ἄρα συλληπτικῶς ἴσως τῇ Ἰθάκῃ συνεπινοητέον καὶ τὴν ἀντικρὺ αὐτῆς κειμένην Ἤπειρον. Correxeris fortasse scholium inducenda sola voce ἔνδροσος, ut nata ex male intrusa glossa ἔρση, δρόσος (cf. infra not. ad ω, 192.) BUTTM.

7. ποτίζουσι] ποτίζονται B.Q.

8. Ἀριστοφάνης] Non liquet utrum poetam an grammaticum dicat.

13. Hoc etiam schol. in ed. ant. collocatum in calce libri præcedentis. BUTTM.

22. δοκῇ Maius pro δίκῃ.

www.libtool.com.cn

αὐτοῦ Ὀρσιλόχου. οὕτως Ἀριστοφάνης, οὐχ, ᾧ πατρὶ, τῷ ἐκείνου· ὡς τὸ "αἱ μὲν ἔτι ζωὸν γόον ᾧ ἐνὶ οἴκῳ" (Il. ζ, 500.). Q.

χαριζόμενος θεράπευον] τὰ κεχαρισμένα ποιῶν ὑπηρέτουν. B.Q.

266. ἄλλων ἦρχον ἑταίρων] ἀντὶ τοῦ βασιλεύων τῷ Ἰδομενεῖ. H.

267. τὸν μὲν ἐγὼ κατιόντα] σκήπτεται τὸν Ἰδομενέως υἱὸν ἀνῃρηκέναι, ἵνα αὐτὸν πρόσωνται οἱ μνηστῆρες ὡς ἐχθρὸν τοῦ Ὀδυσσέως φίλου. ἑαυτῷ δὲ ἐν Κρήτῃ υἱούς φησιν εἶναι, ὅτι τοὺς τιμωρήσοντας ἕξει. καὶ τὸν Ὀρσιλόχου δὲ θάνατον λέγει διὰ τὴν λείαν, δεικνὺς ὅτι οὐδὲ ἐκείνῳ παραχωρήσει ἀναιμωτί. Φοίνιξι δὲ πιστεῦσαι λέγει, ἵνα μὴ ἀδικήσῃ, λογισάμενος ὅτι οἱ φιλοκερδέσταται αὐτοῦ ἐφείσαντο. V.

268. λοχησάμενος σὺν ἑταίρῳ] ἄμεινον ἐκεῖνον σὺν ἑταίρῳ νοεῖν, ἵνα φοβερώτερον ἑαυτὸν καταστήσῃ. Q.

270. λάθον δέ ἑ θυμὸν ἀπούρας] ἔλαθον πάντας ἐκεῖνον φονεύσας. οὐκ εἶπε δὲ σφέας. μᾶλλον οὖν εἷς ἐστιν ὁ ἀνῃρημένος ὑπὸ δυοῖν ἐνεδρευόντων. H.

273. ἀπὸ τῶν ἐξ Ἰλίου λαφύρων. Ἀριστοφάνης ἤϊα τὰ βρώματα. H.

274. Πύλονδε καταστῆσαι] ἀντέστραπται. ἐπιβιβάσαι γὰρ τῇ νηὶ καὶ καταστῆσαι ἢ εἰς Πύλον ἢ εἰς Ἦλιδα δῖαν. Q.

ἐφέσσαι] ἱδρῦσαι εἰς τὴν ναῦν. V.

ἡ Ῥιανοῦ, ἀποφάσσαι, ἀποπέμψαι. H.

276. ἐγκλιτικὴ ἡ σφέας· διὸ τὴν τοι συλλαβὴν ἐγερτέον. H.

277. οὐδ' ἤθελον ἐξαπατῆσαι] ἐπαινεῖ τοὺς Φοίνικας, ἵνα μὴ καὶ ὁ ἀκούων πονηρεύσηται. H.V.

279. προερέσσαμεν] οὕτως αἱ πᾶσαι. ἀπόλυτος δὲ ἡ ἡμῖν. H. καθειλκύσαμεν, ἀντὶ τοῦ εἰσήλθομεν. V.

282. ἐπέλαβε] κατέσχεν. V.

285. οἱ δ' ἐς Σιδονίην] ἐνταῦθα ἔδειξεν ὅτι οὐχ ἑκόντες ἔβλαψαν

6. πρόσωνται pro παρήσωνται correctum ex Eustathio.

17. ἤϊα] Hoc igitur Aristophanes pro λῆΐδα legit.

22. ἀποφάσσαι] Non potest quin pro ἐφέσσαι Rhianus voluerit ἀφῆσαι; quæ non mala foret lectio; unde tamen quomodo natura sit istud ἀποφάσσαι, equidem non dicam. BUTTM.

24. ἵνα—πονηρεύσηται H. ἵνα ὁ ἀκούων μιμήσηται V.

27. καθειλκύσαμεν] Hoc verbo explicatur altera lectio προερύσσαμεν, ut monet Buttm.

www.libtool.com.cn

οἱ Σιδόνιοι· καὶ γὰρ ἂν ἔλαβον αὐτοῦ καθεύδοντος τὰ χρήματα· ἀλλ' ὅτι σπεύδοντες εἰς τὴν πατρίδα κατέλιπον αὐτὸν, ἵνα μὴ ἀναστὰς ἀλλαχοῦ αὐτὸς παρακαλέσῃ λαβεῖν αὐτόν. H.Q.

Σιδονίην] τὴν τῆς Σιδῶνος χώραν, τὴν Φοινίκην. V.

288. δέμας δ' ἤϊκτο γυναικὶ] ὡμοίωσε γὰρ ἑαυτὴν γυναικὶ, ἵνα πιστώσηται αὐτὸν ὅτι θεά ἐστιν ἐκ τοῦ μεθομοιωθῆναι. Q. ἐντεῦθεν Ξενοφῶν τὴν Ἀρετὴν καὶ τὴν Κακίαν ἀνέπλασεν. V.

289. καλή τε μεγάλη τε] ἐκ τῆς κατὰ τὴν ὄψιν κοσμιότητος καὶ αἰδοῦς καὶ τοῦτο ὑπονοεῖν δίδωσι, καθὰ καὶ Ξενοφῶν καὶ Τελέσιλλα ἡ Ἀργεία διαγράφουσιν Ἀρετῆς καὶ Καλοκαγαθίας εἰκόνα. Q.

291. ὅς σε παρέλθοι] νικήσει, μεταφορικῶς. V. νικήσει. ὁμοίως "ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις" (Il. α, 132.). ὁ δὲ νοῦς, εἰ καὶ παρέλθοι θεός σε τοῖς δόλοις, δοξασθήσεται ὡς τοιοῦτον παρελθών. B.Q.

293. τινὲς δόλων ἄτερ, τοῖς ἑξῆς συνάπτοντες κακῶς αὐτό. H.

294. ὁ γὰρ ξένος διὰ τὸ εὐεπήραστον ἀναγκάζεται καὶ παραλογίζεσθαι ὡς ἐν ἀλλοτρίοις ὤν. H.

295. κλοπίων] τῶν κεκλεμμένων καὶ μὴ ἀληθῶν. V. πλοκίων] πεπλεγμένων. H.

οἵ τοι πεδόθεν φίλοι εἰσίν] μεταφορικῶς, οἷον ἐκ ῥίζης, ἐκ γενετῆς, ἀπὸ φυτῶν· ἢ ἀπὸ τοῦ τοὺς γεννωμένους ἐν τῷ πέδῳ πατεῖν. B.Q. πεδόθεν] ἐκ νέας ἡλικίας. ἢ ἀπὸ τοῦ πέδου. V. ἤτοι παιδόθεν φίλοι εἰσί. H.

296. ἄμφω] ἐγώ τε καὶ σὺ, ἀμφότεροι ἀμφοτέρους ἰδόντες. H.

300. αἰεὶ] γρ. ἄγχι. H.

302. ἔθηκα] παρεσκεύασα εἶναί σε φίλον πάντων Φαιήκων. H.

306. ποιητοῖσι] γρ. τυκτοῖσι. H.

313. σὲ γὰρ αὐτὴν παντὶ ἐΐσκεις] ὑπονενόηκεν ὅτι ἐν τοῖς Φαίαξι καὶ παρθένῳ καὶ ἀνδρὶ ὁμοιωθεῖσα παρώρμηκεν αὐτόν. V.

σὲ γὰρ αὐτὴν παντὶ ἐΐσκω] γρ. σὲ γὰρ αὐτὴν πάντη ἐΐσκεις. H. ἑαυτήν. Gl. H.

1. καὶ γὰρ ἂν ἔλαβον Buttm. pro ἦ γὰρ ἀνέβαλον (ἂν ἔβαλον H.).
9. Τελέσιλλα] Τελεσίλλα Q.
12. ἐπεὶ οὐ H. οὐδέ με B.Q.
20. πατεῖν] πίπτειν B.
21. ἐκ νέας ἡλικίας] Spectat ad παιδόθεν, scripturam vitiosam, quæ est in H.
ἤτοι] In H. lemma μύθων τε κλοπίων præfixum.
29. ἐΐσκω] ἐΐσκω H. ἣν γρ. σὲ γὰρ αὐτὴν] γρ. σε γὰρ αὐτῇ H. In Vind. 133. est σὺ γὰρ αὐτὴν παντὶ ἐΐσκεις cum γρ. σὲ γὰρ αὐτῇ παντὶ ἐΐσκεις.

www.libtool.com.cn

320—323. ἀλλ' αἰεὶ φρεσὶν ᾗσιν ἔχων] νοθεύονται δ' στίχοι. ὁ μὲν πρῶτος ὅτι ἀντὶ τοῦ ἐμῇσιν ἔχει τὸ ᾗσιν, ὅπερ ἐστὶ τρίτου προσώπου, τηροῦντος ἀεὶ τοῦ ποιητοῦ τὴν ἐν τούτοις διαφοράν· ὁ δὲ δεύτερος ὅτι Ἀθηνᾶς παρούσης θεοῖς ἀνατίθησι τὴν σωτηρίαν· ὁ δὲ τρίτος καὶ τέταρτος ὅτι οὐκ ἐγίνωσκεν ὡς ἡ φανεῖσα αὐτῷ παρὰ Φαίαξι θεὰ ἦν, ὅτι οὐκ ἐθάρσυνεν, ἀλλὰ τοὐναντίον "μηδέ τιν' ἀνθρώπων ποτιόσσεο, οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται" (η, 31.). H.Q. Vind. 133.

320. 321. νοθεύονται. οὐκ ἂν παρούσης τῆς Ἀθηνᾶς θεοῖς ἀναθήσει τὴν σωτηρίαν. H.

322. ὡς ὅτε· ἢ ἀντὶ τοῦ πλὴν, δίχα. H.

323. θαρσύνας] καὶ μὴν οὐκ ἔδειξε τῷ Ὀδυσσεῖ σαφῶς ἑαυτὴν παρὰ Φαίαξιν. ἢ οὐ κατὰ παρθένον θνητὴν ὡμοιώθη παρὰ Φαίαξι τῆς θεοῦ συμβουλή· διὸ ἔγνω. Q.

330. τοιοῦτο νόημα] οὐκ εὐεξαπάτητον, ἀλλὰ συνετόν. H.V.

332. ἐπήτης—ἀγχίνοος] ταχὺς περὶ τὸ νοῆσαι. ἐπήτης, λόγιος. καὶ ὥσπερ ὁ λόγιος παρὰ τὸν λόγον, οὕτως καὶ ἐπήτης παρὰ τὸ ἔπος. τινὲς δὲ, δίκαιος, ὁ τὸ ἐτεὸν φιλῶν. B.

ἐπητής] φρόνιμος καὶ λόγιος, παρὰ τὸ ἔπος. ἀγχίνοος] περὶ τὸ νοῆσαι ταχύς. V.

οὕνεκ' ἐπήτης ἐσσὶ] χωρὶς τοῦ τε, τῇ δὲ προσῳδίᾳ ὡς ἀεικὴς, φησὶν Ἀρίσταρχος. οὕτω δὲ καὶ Ἡρωδιανός. ἐπήτης ἤγουν λόγιος. καὶ ὡς ὁ λόγιος παρὰ τὸν λόγον, οὕτω καὶ ἐπήτης παρὰ τὸ ἔπος. H.

333—338. ἀσπασίως γάρ κ' ἄλλος] ἀθετοῦνται στίχοι ς' ὅτι οὐδὲν εἴληφε παρ' αὐτοῦ σημεῖον τοῦ μήπω βούλεσθαι τὴν γαμετὴν ἰδεῖν. τοὐναντίον γὰρ διὰ τοῦτο αὐτῷ ἐπιφαίνεται, ἵνα κρύψῃ αὐτοῦ τὴν εἴσοδον. διὸ καὶ φησὶν "ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρείδαο φθίσεσθαι κακὸν οἶτον ἐπὶ μεγάροισιν ἔμελλον, εἰ μή μοι σὺ ἕκαστα θεὰ κατὰ μοῖραν ἔειπες" (383.). οὕτως οὖν αὐτὸς ἠπείγετο ἰδεῖν τὴν γαμετήν. H.Q.

335. σοὶ δ' οὔπω φίλον] οὐκ ἔστι σοι φίλον μαθεῖν τὴν σὴν ἄλο-

2. τρίτου Buttm. pro περὶ τοῦ.

15. In V. εὐεξαπάτητον. ἀντὶ τοῦ οὐκ ἐ. οὐδὲ συνετόν.

21. ἐπήτης] ἐπῆτυς superscriptum in H. Vide quæ de hoc scholio dicentur ad φ, 306.

χωρὶς τοῦ τε] Nam alii ἐπητής τ'.

τῇ δὲ προσῳδίᾳ] De accentu ἐπητής, qui τοῖς παλαιοτέροις placuerit, et ἐπήτης dixit etiam Eustath. p. 1743, 60. Ante ἀεικής addidi ὡς.

www.libtool.com.cn

χον ἐπιδημίαν τὴν σήν, εἰ μήπω πρῶτον ταύτην πειράσεις, εἰ παρ' αὐτῆς ἧς γνώριμος. H.

φίλον] νῦν ἀντὶ τοῦ ὠφέλιμον. V.

340. ἦδε' ὃ νοστήσεις] ἀλλ' ἠπιστάμην ὅτι νοστήσεις, ὅτι ἐπανέλθοις. B. ὅτι νοστήσεις] ὅτι ἐπανέλθοις. V.

342. χόλον] γρ. κότον. H.

348. ἱρόν] ἀποκεκομμένον ψιλοῦται. B.

349. ἐστὶ] γρ. εὐρύ. H.

κατηρεφὲς] χθαμαλὸν, κατακαλύπτον καὶ καταστέγον. V.

351. Νήριτον] ὄρος Ἰθάκης ἀντικρὺ τῆς Ἠπείρου. V.

351. καταειμένον] κεκαλυμμένον, μεταφορικῶς ἀπὸ τῶν ἐσθήτων. B.H.Q. κατεσκεπασμένον. V.

352. ὣς εἰποῦσα θεὰ σκέδασ' ἠέρα] οὐκ εἶπεν ἐσκεδάννυεν, ἀλλ' ἐσκέδασε, δεικνὺς ὅτι πρῶτον ἐσκέδασε τὴν ἀχλὺν εἰποῦσα τὸ "ἀλλ' ἄγε τοι δείξω" καὶ οὕτως αὐτῷ ἔδειξε, Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμήν. οὐ γὰρ ἔτι ἀορασίας οὔσης ἐφαίνετο αὐτῷ τὰ μὴ ὁρώμενα. Q. τὸ "ὣς εἰποῦσα" νοητέον μετὰ τὸ "ἀλλ' ἄγε τοι δείξω Ἰθάκης ἕδος." Q.

ὣς εἰποῦσα] τάδε, φησὶν, ἡ Ἀθηνᾶ εἰποῦσα τῷ Ὀδυσσεῖ ἐσκέδασε τὴν ἀορασίαν καὶ ἀγνωσίαν αὐτοῦ, καθ' ἣν οὐκ ἐγίνωσκε ποῦ ἦλθεν ὅτε ταῖς νησὶν εἰς Ἰθάκην αὐτὸς ἤτοι τὴν πατρίδα αὐτοῦ παρεγένετο. Q.

σκέδασ' ἠέρα] τοῦτο ἐπιλαμβάνεται Πτολεμαῖος. ἔδει γὰρ πρῶτον σκεδάσασα, φησὶ, τὸν ἀέρα εἶτα δεῖξαι· εἰ μὴ ἄρα ὅμοιόν ἐστι τῷ "τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε" (Od. μ, 134.). Q.

357. ὔμμ'] ὑμᾶς, Αἰολικῶς. H.

ἀγανῇσι] προσαγαγέσθαι καὶ πεῖσαι δυναμέναις. V.

358. διδώσομεν] παράσχωμεν, ἀπὸ τοῦ διδῶ περισπωμένου. δυσχεραίνων δὲ ὁ Ἀριστοφάνης τὸ διδώσομεν γράφει παρέξομεν· καὶ τὸ ἐν Ἰλιάδι διδοῦναι παρέκοπτε. H.Q. Vind. 133.

7. Versus 347. 348. ἔν τισι τῶν ἀντιγράφων οὐ κεῖσθαι annotavit Eustathius p. 1743, 31.

29. Ἰλιάδι] ω, 425.

διδοῦναι παρέκοπτε Buttm. pro διδόναι προέκοπτες. Idem Aristophanem illic διδόμμεν scripsisse conjicit: quod valde incertum est. Alios illic διδῶναι legisse ex Herodiano περὶ μον. λέξεως cognovimus p. 25, 4. In versu Odysseæ Macrob. Saturn. 2. p. 304. ed. Bip. δεδώσομεν scriptum memorat et cum simili reduplicatione δεδοικήσω, quod Syracusanorum esse dicit, comparat: quæ unde hauserit non constat.

359. ἐᾷ] συγχωρήσῃ· τουτέστιν, ἐὰν ἐπιτρέψῃ μοι τὸ ζῆν ἡ Ἀθηνᾶ. H. ἀγελείη] ἡ ἄγουσα τὰ λαφυραγώγια. H.

360. ἀέξῃ] γρ. ἀέξειν. H.

365. ὅπως ἔσται τάδε ἔργα] γρ. ὅπως ὄχ' ἄριστα γένηται. H. (in Vind. 133. vice versa.)

366. σπέος ἠεροειδὲς] τὸ καθαρὸν ἀέρα ἔχον. ὅμοιον τῷ "ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν" (Il. ε, 770.). ἄτοπον γὰρ θεοῖς σκότος ἀνακεῖσθαι. ὅθεν ἐπιτίθησε καὶ λίθον. H.Q. νῦν καθαρὸν ἀέρα ἔχον. V.

367. κευθμῶνας] τὰς καταδύσεις ἢ τοὺς κοίλους τόπους καὶ ἀνακεχωσμένους. Q.

368. ὁ χρυσὸς καὶ τὰ ἱμάτια ὅλων ἦν ἐν τῇ χηλῷ. τάχα οὖν διὰ τὸ βάρος σεσιωπημένως λέλυκε καὶ ἐχώρισεν αὐτὰ, ἵνα βαστάσῃ κατὰ μέρος. H.

369. τά τοι] γρ. οἱ. H.

372. τὼ δὲ καθεζομένω] οὗτοι δὲ ἡ Ἀθηνᾶ καὶ Ὀδυσσεὺς καθεζόμενοι. ἱερὰν δέ φησι τὴν ἐλαίαν διὰ τὸ ἀνακεῖσθαι αὐτὴν τῇ Ἀθηνᾷ, ὡς ἀναδοθεῖσαν αὐτὴν τῆς γῆς εἰς τὸ ταύτης ὄνομα, ὅτε οἱ θεοὶ συνηδρίαζον καὶ εἰς ἑκάστου τὸ ὄνομα ἓν φυτὸν ἀνεδίδοτο, καθάπερ καὶ τῷ Διονύσῳ ἡ ἄμπελος ἀνεβλάστησεν. Q.

373. φραζέσθην] ἐβουλεύοντο. ἔστι δὲ ἡ τοῦ τρίτου προσώπου τῶν δυϊκῶν κατὰ χρῆσιν τῆς Ἀττικῆς διαλέκτου. Q.

377. οἳ δή τοι τρίετες] κατὰ τὸν ἀπαρτίζοντα ἀριθμὸν εἶπε τρίετες, ἐπιστάντος ἤδη καὶ τετάρτου· "ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ' εἶσι τέταρτον" (Od. β, 89.)· ἔστι γὰρ ἀντὶ τοῦ ταχέως διελεύσεται. καὶ ἀλλαχοῦ "ὡς τρίετες μὲν ἔληθε δόλῳ, ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ τότε δή τις ἔειπε γυναικῶν" (Od. β, 106.) Q.

380. πάντας μέν ῥ' ἔλπει] πάντας τοὺς μνηστῆρας ἡ σὴ ποιεῖ ἄλοχος μνηστεῦσαι αὐτὴν, ὅπως ἀπατήσῃ αὐτοὺς ἀταράχους μένειν, ἕως ἂν σὺ καταλάβῃς ἐν τῷ οἴκῳ σου. H.Q.

384. φθίσεσθαι] γρ. πείσεσθαι. H.

Ea tamen scriptura Nauckius Aristoph. p. 59. usus conjecit ἀτὰρ καὶ δῶρα δὲ δώσομεν.

3. ἀέξῃ] ἀέξει pr. H.

7. ἴδεν] εἶδεν H.

17. συνηδρίαζον scripsi pro συνεδρίαζον.

22. Conf. schol. ad β, 89.

24. ταχέως διελεύσεται] Vid. Lehrs. Arist. p. 102.

30. ἕως—σου om. Q.

www.zibutton.com.cn

387. παρ δέ μοι αὐτὴ στῆθι] πῶς οὐ πρὸς Νέστορα καὶ Μενέλαον μετέρχεται στρατείαν λαβεῖν; τάχα ὅτι τοῖς λοιποῖς πολίταις οὐδὲν αἰτίοις οὖσι πόλεμον ἐπάγειν ἀδικώτατον ἔδοξε. μεμάθηκε γὰρ καὶ παρὰ τῆς μητρὸς ἐν Ἅιδου τὰς δημοσίας Τηλεμάχῳ φυλασσομένας τιμὰς, καὶ ὅτι τοὺς τρυφῶντας μνηστῆρας τιμωρήσεται καὶ καθ' ἑαυτὸν, οἵ τε μνηστῆρες εἰ ᾔσθοντο, ἔφυγον ἂν μὴ δόντες δίκην. Q.

388. λιπαρὰ κρήδεμνα] ἔκδηλα, λαμπρά. μεταφορικῶς τὸ τεῖχος. H.

389. Ἀθήνη] γρ. γλαυκῶπι. M.

390. ὑπονοεῖται ὁ στίχος, διὰ τὸ μὴ ἔχειν ὑπερβολήν. ἐν τῇ λ γοῦν τῆς Ἰλιάδος πλείοσι τριακοσίων ἀντέστη καὶ παρούσης Ἀθηνᾶς. H.

391. πότνα] σεβασμία, τιμία. V.

397. ἀλλ' ἄγε σ' ἄγνωστον] καὶ πῶς ἡ Εὐρύκλεια γινώσκει; ὅτι χρεία αὐτῆς ἐστιν ἐν τῇ μνηστηροκτονίᾳ. Q. πάντεσσι βροτοῖσι] πῶς οὖν ἡ Εὐρύκλεια γινώσκει; ἐπειδὴ χρεία αὐτῆς. V.

398—401. ἀθετοῦνται διὰ τὸ ἦθος ὡς ἕκαστον ἐπεξιέναι. H. ἀθετοῦνται μετὰ ἀστερίσκων ὡς ἐκ τῶν ἑξῆς μετενηνεγμένοι. H.

κάρψω] ξηρανῶ. ὅθεν καὶ τὰ κάρφη ἐκ τοῦ κάρφω τὸ ξηραίνω. B.Q. μειώσω, ξηρανῶ. V.

399. λαῖφος] ἱμάτιον παχὺ, ἤτοι χοντρὸν, ὡς ἄρμενον. B.

401. κνυζώσω δέ τοι ὅσσε] ψωριάσαι σε ποιήσω· ῥυσώσω, κακώσω σου τοὺς ὀφθαλμοὺς, ἀπρεπεῖς καὶ ῥυσοὺς ποιήσω, ὁποῖοί εἰσιν οἱ τῶν καθευδόντων. B.Q. κνυζώσω] ῥυσώσω, ἀπρεπεῖς καὶ ῥυσοὺς ποιήσω, ὁποῖοί εἰσιν οἱ τῶν καθευδόντων, καὶ συσπάσω καὶ κακώσω. V.

402. ἀεικέλιος] ᾠκισμένος, οἰκτρὸς, ἀπρεπὴς, εὐτελής· ὡς "δίφρον ἀεικέλιον" (Od. ν, 259.). B.Q.

405. ἐπίουρος] ἐπίσκοπος, φύλαξ. V.

ὅς τοι ὑῶν ἐπίουρος] ἐπίσκοπος. δύναται ἡ πρόθεσις εἶναι καὶ ἐν

10. ὑπονοεῖται] ὑπενοοῦτο H. ὑπονοοῦσι τὸν στίχον οἱ παλαιοὶ Eustath. p. 1744, 52.

17. ἀθετοῦνται διὰ — ἐπεξιέναι] Verba non integra, quæ a proximis, quibuscum non cohærent, separavi.

18. ἐκ addidit Buttm. Conf. schol. ad 430.

21. χοντρὸν] Vid. Schneid. in χονδρός. BUTTM.

22. ῥυσώσω — ῥυσοὺς] εὐρώσω — ῥυτοὺς B.Q.

25. συσπάσω] συμπλάσω V. Correxit Heinrichius collato Hesych. κνυζώσω: συσπάσω, κακώσω.

www.libtool.com.cn

πλεονασμῷ, ἵν' ἡ ἐφορῶν καὶ ἐπιβλέπων· ἢ παρέλκει ὡς τὸ βοῶν ἐπιβουκόλος. τὸ δὲ, ὁμῶς, ὁ χοιροβοσκὸς ὅμοιά σοι καὶ ὁμόφρονα οἶδεν. Q.

ὁμῶς] ὁμοίως τῷ πρώην χρόνῳ, ὡς ἀπ' ἀρχῆς καὶ νῦν. ἢ ὡς σὺ σαυτῷ εὐνοεῖς. B.H.

408. πὰρ Κόρακος πέτρῃ] Ἀρεθούσης υἱὸς καὶ Κόραξ ἐγένετο. οὗτος οὖν ὁ Κόραξ κυνηγῶν εὑρὼν λαγὼ καὶ διώκων ἠνέχθη κατὰ κρημνοῦ, καὶ πεσὼν ἐπὶ τῆς πέτρας ἐτελεύτησεν. ἡ δὲ μήτηρ αὐτοῦ Ἀρέθουσα διὰ τὴν λύπην ἐλθοῦσα ἐπί τινα κρήνην ἑαυτὴν ἀπήγξατο. ἔνθα ἀπὸ τοῦ Κόρακος ἡ πέτρα, ἀπὸ δὲ τῆς Ἀρεθούσης ἡ κρήνη. εἰώθαμεν δὲ σημαίνειν ἀπὸ τῶν ἐνοικούντων πολλάκις τοὺς τόπους, ὡς οἱ Ἀττικοί. λέγει δ' οὖν τὰ συφόρβια. ἰστέον ὅτι Ἀρέθουσαι κρῆναί εἰσι τέσσαρες, ἐν Συρακούσαις, ἐν Σμύρνῃ, ἐν Χαλκίδι, καὶ ἐν Ἰθάκῃ. B.H.Q. οὗτος ὁ Κόραξ κυνηγῶν ἀπὸ τῆς πέτρας πεσὼν ἐτελεύτησε, καὶ ἡ μήτηρ αὐτοῦ Ἀρέθουσα ἑαυτὴν ἀπήγξατο. Ἀρέθουσαι δὲ τέσσαρες, ἐν Συρακούσῃ, ἐν Σμύρνῃ, ἐν Χαλκίδι, καὶ ἐν Ἰθάκῃ. V. Ἀρέθουσα κρήνη Ἰθάκης καὶ Ἄργους. V.

409. βάλανον μενοεικέα] ἁρμόζοντα τῇ δυνάμει αὐτῶν. Q. βάλανον ἁρμόζουσαν καὶ οὖσαν κατάλληλον τῇ δυνάμει τῶν χοίρων. Q.

413. καλέουσα] καλέσαι ὀφείλουσα. V.

421. ἐνθύμιος] ἔμφροντις, ὅ ἐστι διὰ φροντίδος. B.

423. πόνον] γρ. μόρον. M.

427. ἕως τοῦ οἴῳ ἡ στιγμή. Vind. 133.

καθέξει] γρ. παρέξει. H. Vind. 133.

8. ἐπὶ] ἀπὸ H., superscripto ἐπί.

12. οἱ et δ' addidi ex H.

13. τέσσαρες] Stephanus Byzant. s. v. Ἀρέθουσα, allato hoc Odysseæ versu, Δίδυμος inquit, ὑπομνηματίζων τὴν Ν τῆς Ὀδυσσείας φησὶν "Ἀρέθουσαι δέ εἰσιν ὀκτώ." Ἡρακλέων δὲ ὁ Γλαύκου τὴν αὐτὴν ὑπομνηματίζων φησὶν "Ἀρῶ ἐστι τὸ ποτίζω" οὗ τὸ ἄρδω παράγωγον. ἐκ τούτου ἀρέθω ὡς φλέγω φλεγέθω. ἀφ' οὗ πᾶσα κρήνη ἐπιθετικῶς οὕτω λέγεται." Stephanus enumerat quinque, quibus si addatur quam scholiasta Homeri et Eustathius p. 1746. memorant, sed quam omisit Stephanus, Arethusa Smyrnæa, sex erunt. Scholiastam Homeri exscripsit Tortellius de orthographia s. v. Arethusa fol. 43 a. ab Osanno (Anecd. Rom. p. 107.) indicatus, "*Sane in glossulis Aristarchi super* xiii. *Odysseæ Homeri librum comperi quatuor in diversis mundi partibus fuisse Arethusios fontes: unum apud Syracusas, alterum apud Smyrnam, tertium in Chalcidia, et quartum in Ithaca.*" Qui quod de *glossulis Aristarchi* dicit, ipse excogitavit.

18. ἁρμόζοντα] Immo ἁρμόζουσαν.

www.zibtool.com.cn

429. ὡς ἄρα μιν φαμένη] εἰπὼν τὸ κατὰ μέρος ἐπήγαγε τὸ ὅλον ἀντὶ τοῦ συνελόντα εἰπεῖν, δέρμα γέροντος αὐτῷ περιέθηκε πρότερον τὸν χιτῶνα, εἶθ' οὕτως τὸ ῥάκος. B.Q.

430. ὅτι ἐντεῦθεν οἱ ἄνω μετενηνεγμένοι εἰσίν. H.

435. μεμορυγμένα] οἷον πεπωνημένα καὶ ἠφανισμένα, παρὰ τὸν μόρον. H. μεμολυσμένα καὶ πεφυρμένα. V.

438. πυκνὰ ῥωγαλέην] ἤτοι συνεχεῖς ἔχουσαν ῥαγάδας, ἢ πολλῶν ῥηγμάτων πεπληρωμένην, ἢ συνεσχισμένην. Q.V.

στρόφος] συνεστραμμένος δεσμὸς, ἢ εἰς σχοινίον ἐστραμμένος, ἢ ἐξ ἱμάντος. B.Q. ἢ ἐκ σχοινίου ἐστραμμένος. ἢ ἱμὰς περιεστραμμένος. H.V.

ἀορτήρ] νῦν ὁ τῆς πήρας δεσμὸς, σχοινίον, ὁ ἀναφορεὺς, ἐξ οὗ ἀπήρτητο, ὅ ἐστι παρεκρέματο. B.H.Q. ὅπερ λέγομεν βαστάγιον. B.

Ξ.

ΥΠΟΘΕΣΙΣ.

Ξενισμὸς Ὀδυσσέως γίνεται ἐν τῷ ἀγρῷ παρὰ Εὐμαίῳ τῷ συβώτῃ αὐτοῦ. διηγεῖται δὲ αὐτῷ Ὀδυσσεὺς πολλὰ ἃ πέπονθε ἀγγέλλων καὶ τὴν Ὀδυσσέως ἐπάνοδον. P.

ΑΛΛΩΣ.

Ξενισμὸς Ὀδυσσέως γίνεται ἐν τῷ ἀγρῷ παρ' Εὐμαίῳ τῷ ὑφορβῷ,

2. συνελόντα] Scribebatur συνελοντὶ (hoc accentu).

4. οἱ ἄνω] Versus dicit 398—401. ubi vid. schol.

μετενηνεγμένοι Buttm. pro κατηνεγμένοι. Versibus 430—433. in M. appicti sunt ※

5. πεπονημένα] πεπορημένα H. Hesychius, μεμορημένον· ἠσκημένον, πεπονημένον. μεμορυχμένα· μεμολυμένα (μεμολιγμένα Musurus: sed videtur potius delendum esse ut natum ex proximo μεμολυσμένα, quod vidit Heinsius), μυσαρὰ, μεμολυσμένα, ἐρρυπωμένα, ἠσβολούμενα (hoc ἠσβολωμένα potius scribendum quam quod Musurus posuit ἠσβολημένα), μεμορωμένα ἅπαντα.

Verba καὶ ἠφανισμένα habet etiam Q.

6. μόρον] μηρόν H. Correxi ex Eustathio p. 1746, 34. μεμορυχμένα ἢ μεμορυγμένα, διχῶς γὰρ φέρεται καθὰ καὶ τὸ βρεχμός καὶ βρέγμα, τὰ μεμολυσμένα καὶ πεφυρμένα κατὰ τοὺς παλαιούς. κρεῖττον δὲ ἠφανισμένα εἰπεῖν παρὰ τὸν μόρον, ἐξ οὗ τὸ μορύσσω.

10. ἢ ἐκ] ἢ om. V. ε το

13. παρεκρέματο] παρεκρέμαστο H.

14. βαστάγιον] Sic etiam Eustathius interpretatur p. 823, 35. Vide de hoc voc. Ducangium p. 182.

21. Hæc exscripsit Eustathius p. 1742.

21. παρ'—αὐτῷ] παρὰ εὐμαίου καὶ ποικίλη τις αὐτῷ Q.

www.libtool.com.cn

καὶ ποικίλη τις αὐτῶν ὁμιλία. Ἄλλως. Ὀδυσσέως παρουσία πρὸς τὸν Εὔμαιον, καὶ λόγοι γίνονται ἀναπλάττοντος ἑαυτὸν καὶ πράξεις τινὰς ἐκτιθεμένου. H.Q.V.

---

1. ἀταρπὸν] πρὸς τὴν τραχεῖαν ἀταρπόν· ἢ ἀντὶ τοῦ διὰ τραχείας ἀταρποῦ. B.

2. δι' ἄκριας] ἀντὶ τοῦ, δι' ἀκρίων. ἄκριες δέ εἰσιν αἱ ἀκρώρειαι. B. κατὰ τὰς ἀκρωρείας. V.

4. οἰκήων] ἀντὶ τοῦ οἰκετῶν. λέγονται δὲ καὶ οἱ συγγενεῖς καὶ πάντες οἱ ἐν τῇ οἰκίᾳ. Q.

5. προδόμῳ] τῇ πρὸ τοῦ οἴκου στοᾷ. V.

ἤμενον] τὸ ἑξῆς, ἤμενον περισκέπτῳ ἐνὶ χώρῳ. P.Q. ἵνα γὰρ περισκοπῶσι τὰ πέριξ ἐν τοῖς ἀγροῖς, ἐν ὑψηλῷ τὰς ἐπαύλεις οἰκοδομοῦσιν. Q.

7. περίδρομος] περιοδευτὴ, γείτονας μὴ ἔχουσα τοὺς ἐμποδίζοντας τῷ βουλομένῳ περιδραμεῖν καὶ περιελθεῖν αὐτήν. B.Q.V.

8. Ζηνόδοτος, δείματο οἷος. H.

10. ῥυτοῖσι λάεσσι] ἑλκυστοῖς, μεγάλοις, καὶ μὴ δυναμένοις διὰ χειρῶν βασταχθῆναι λίθοις. V. μεγάλοις, εἱλκυσμένοις καὶ μὴ βασταχθεῖσιν ὡς ἐλαφροῖς. οἱ γὰρ μεγάλοι λίθοι ἑλκύονται καὶ κυλίονται, οἱ δὲ μικροὶ βαστάζονται. B.

ἐθρίγκωσεν] ἐχαράκωσε, τὴν στεφάνην ἐποίησεν. Q. ἐχαράκωσεν. θριγκὸς δὲ λέγεται ἡ ἐπὶ τοῖς οἴκοις στεφάνη. V.

ἀχέρδῳ] τῇ ἀγρίᾳ ἀπίῳ. ἔχουσι δὲ αὗται ἀκάνθας δι' ὧν αἱ αἱμασιαὶ γίνονται. θριγκὸς δὲ λέγεται ἡ ἐπὶ τοῖς οἰκοδομήμασι στεφάνη. B.Q. ἄχερδός ἐστιν ἀκανθῶδες φυτὸν, ἐξ οὗ τὰς αἱμασιὰς ποιοῦσιν. ἔνιοι δὲ ἀπέδοσαν τὴν ἀγρίαν ἄπιον. ἀκανθώδης γὰρ ἡ αὐτὴ εἴωθεν εἶναι. V.

1. αὐτῶν (αὐτῷ Q.) addidi ex H.: om. V. et Eustathius.

8. τοῦ addidit Buttm.

13. Ex scholio ad v. 6. Etym. M. περισκέπτῳ ἐνὶ χώρῳ· τῷ ὑψηλῷ, ὅθεν ἔστι περισκέψασθαι διὰ τὸ ὕψος καὶ ἀπιδεῖν. ἢ ὅθεν ἔστι τὸ πέριξ ἰδεῖν. ἢ περίσκεπτον ὅ τις ἂν κατανοῶν θαυμάσειεν, οἷον, ὅφρα γένωμαι σοὶ περίσκεπτον παίγνιον, Ἀρσινόη (Callim. Epigr. 5, 8.). Δίδυμος ἐν ὑπομνήματι ξ Ὀδυσσείας. οὕτως εὗρον ἐγὼ εἰς τὸν Ὧρον. Conf. schol. a, 426.

26. ἡ αὐτὴ] Immo αὕτη.

www.libtool.com.cn

11. σταυρούς] ἐξυσμένα ξύλα καὶ ὀρθὰ ἔπηξε πρὸς τὸ ἀντιβαίνειν τῷ τοίχῳ. Q. τὰ ὀρθὰ καὶ ἀπεξυσμένα ξύλα. V.

ἐκτὸς ἔλασσε] ἔξω διὰ τῶν τοίχων ξύλα διήλασεν ὀρθά. V.

12. τὸ μέλαν δρυὸς] ἤτοι τὸ δάσος, ἢ τὴν ἐντεριώνην, τὸ ἐγκάρδιον τῆς δρυός· μελάνδρυον γὰρ λέγεται διὰ τὴν χροιάν· ὁ δὲ Ἀριστοφάνης τὸν φλοιὸν τῆς δρυός. B.H.Q.V. τὸ μέλαν δρυὸς τὴν ἐντεριώνην φασὶν οὕτω καλουμένην· ὁ δὲ Ἀρίσταρχος τὸν φλοῦν· ὁ δὲ Κράτης τὴν δασύτητα τῶν φύλλων μελάνδρυόν φησιν, ὡς καὶ Αἰσχύλος φησὶ Φιλοκτήτῃ "κρεμάσασα τόξον πίτυος ἐκ μελανδρύου." τὸ δὲ δρυός δύναται νοεῖσθαι καὶ ἐπὶ παντὸς ξύλου. δρυμοὶ γὰρ αἱ ὕλαι, καὶ ἀκρόδρυα τῶν πάντων δένδρων οἱ καρποί, καὶ δρυπετεῖς ἐλαῖαι. B.H.Q.

18. ἀντίθεοι μνηστῆρες] νῦν οἱ ἐναντίοι τοῖς θεοῖς. Q.V.

21. θῆρας τοὺς λέοντας κατ' ἐξοχήν. H.

22. τέσσαρες] ὑπωπτεύετο παρὰ Ζηνοδότῳ. H. Καλλίστρατος ὑπώπτευε τὸν στίχον διὰ τὴν ἐξαρίθμησιν τῶν κυνῶν καὶ τὸ ἐπίθετον. H. Vind. 133. ὄρχαμος ἀνδρῶν] νῦν ἔξοχος ἐπὶ τῇ εὐγενείᾳ. V.

24. δέρμα βόειον εὔχροον] εὔχρουν, ἀπὸ ὑγιοῦς βοός. B. εὐχροές] γρ. εὔχροον. Vind. 133.

1. ἐξυσμένα Buttm. pro ἐξειλκυσμένα. ἀπεξυσμένα dixit Eustath. p. 1748, 51.

5. τῆς δρυός] τῆς ἀντὶ περιφράγματος δρυός H. Verba ἀντὶ περιφράγματος spectant ad versum præcedentem.

Ἀριστοφάνης] In scholio proximo Ἀρίσταρχος. In V. est ἢ τὸν φ., omisso ὁ δὲ Ἀριστοφάνης.

6. τὸ μέλαν δρυὸς H. et Eustathius p. 1748, 56. τὸ μελάνδρυον B.Q.

7. φλοῦν H. et Eustathius. φλοιόν B.Q.

8. τὴν δασύτητα τῶν φύλλων correxi ex Eustathio pro τὴν τῶν δασυτάτων φυτῶν.

Αἰσχύλος] Fragm. 249.

9. κρεμάσασα τόξον] κρεμάσας τόξον Eustathius. κρεμαστὰ τόξα Hermannus.

10. νοεῖσθαι] νοῆσαι H.

15. ὑπωπτεύετο παρὰ Ζηνοδότῳ in H. ad v. 20. adscriptum, proxima annotatio in H. Vind. ad v. 21. relata, a Porsono ad v. 22. Duentzerus vero p. 192. scholiastam negligenter de uno versu (22.) loqui opinatur, quum utrumque versum (21. et 22.) ab Zenodoto et Callistrato notatum dicere deberet. Nam verba καὶ τὸ ἐπίθετον (quæ absunt ab Vind.) non posse de epitheto Eumæi ὄρχαμος ἀνδρῶν intelligi, quod sæpius recurrat (ξ, 121. ο, 351. 389. π, 36. ρ, 184. et Φιλοίτιος ὄρχαμος ἀνδρῶν υ, 185, 254.), ut non sit verisimile in eo hæsisse Callistratum, sed ad θήρεσσιν v. 21. spectare. Verum huic nomini non apta sunt verba καὶ τὸ ἐπίθετον nec, si essent, hoc loco collocanda fuissent, sed inverso potius ordine Καλλίστρατος ὑπώπτευε τοὺς στίχους διὰ τὸ ἐπίθετον καὶ τὴν ἐξαρίθμησιν τῶν κυνῶν.

www.libtool.com.cn

29. ὑλακόμωροι] ὁ μὲν Ἀρίσταρχος, ὀξύφωνοι. κρεῖσσον δὲ ἀποδιδόναι οἱ περὶ τοῦ ὑλακτεῖν μεμορημένοι, ὅ ἐστι πεπονημένοι· ἴδιον γὰρ κυνῶν τὸ ὑλακτεῖν. ἐν ἄλλῳ, οἱ περὶ τὸ ὑλακτεῖν ἐσπουδακότες, ἢ ὑλακτικοί. Q.V. οἱ περὶ τὴν ὑλακὴν μεμορημένοι, ὅ ἐστιν εἰθισμένοι ἢ κακοπαθοῦντες, ἀπὸ τοῦ μόρος ἡ κακοπάθεια. οἱ ὁρῶντες πάντοτε πρὸς τὴν ὑλακήν. B.

30. οἱ μὲν κεκλήγοντες] κεκληγῶτες καὶ κεκλήγοντες διχῶς αἱ Ἀριστάρχου. εἰ μὲν διὰ τοῦ ω, περισπᾶται, εἰ δὲ διὰ τοῦ ντ, προπαροξύνεται. H.Q.

31. ἔζετο κερδοσύνῃ] φυσικόν φασι βοήθημα πρὸς ἀποτροπὴν κυνῶν τὸ καθεσθῆναι καὶ προέσθαι τὴν ῥάβδον ὡς μὴ ἐπιτιθέμενον. V.

σκῆπτρον δέ οἱ ἔκπεσε χειρός] ἀντὶ τοῦ ἔρριψεν αὐτό. φυσικὸν βοήθημά φασι — — ἐπιτιθέμενον. ἢ διὰ φόβον. B. οὐ διὰ φόβον, ἀλλ' ἑκὼν ἔρριψεν αὐτό. V.

33. μετασπὼν] ὀξυτονητέον· ἔστι γὰρ β' ἀόριστος, καὶ μετασπόντος ἡ γενική. H.

34. σκῦτος] ὃ περιέτεμνε δέρμα, καὶ σκυτοτόμος, καὶ σκυτοδέψης, καὶ σκυτεύς. ὡς ἐπιπολὺ γὰρ δέρμασιν εἵλουν τὴν παντευχίαν. H.Q.

35. ἄλλον, οὐκ ἄλλη. H.

38. καί κέν μοι] ἀπόλυτος ἡ μοι. B.

41. ἧμαι] διατρίβω, ὡς τὸ "ἧμαι ἐνὶ Τροίῃ σέ τε κήδων." (Il. ω, 542.). H.

49. ῥῶπας] παρὰ τὸ ῥέπω ῥέψω ῥέψ καὶ τροπῇ τοῦ ε εἰς ω ῥώψ. ῥέπει ὅπου θέλει τις· ἱμαντῶδες γάρ ἐστι. B.Q.

50. ἰονθάδος] ἰόνθους λέγουσι τὰς ῥίζας τῶν τριχῶν. σημαίνει οὖν τὴν δασεῖαν. οἱ δὲ τὴν ταχεῖαν, παρὰ τὸ ἄδην ἰέναι. οἱ δὲ νέας, τῆς ἰόνθους φυσάσης, οἵτινες φύουσι τοῖς ζῴοις. οὐκ ἂν δὲ

2. οἱ περὶ τοῦ ὑ.] οἱ τὸ ὑ. Q.
μεμορημένοι Q. μεμορημένοι V. Conf. Hesychii glossam ad ν, 435. allatam.
4. μεμορημένοι] μεμορημένοι B.
7. κεκλήγοντες utrobique scripsi pro κεκληγότες.
8. Ἀριστάρχου H. ἀριστάρχειοι Q.
εἰ μὲν H. ὁ μὲν Q.
προπαροξύνεται H. ὀξύνεται Q.
19. σκυτεύς Buttm. pro σκυτεῦσαι (σκυλεῦσαι H.).
21. In textu ἄλλυδις ἄλλη et ος super η.
28. ταχεῖαν Buttm. pro τελείαν.

www.libtool.com.cn

ἐπήνεγκε, μέγα καὶ δασὺ, εἴ γε τὸ ἰονθάδος ἐδήλου τὸ δασέος. ἴονθοι δὲ ἐξανθήματα ἀκμάζοντος σώματος. B. ἤτοι νέας, ἢ ταχείας, παρὰ τὸ ἰέναι ἄδδην. ἢ δασείας· ἴονθοι γὰρ αἱ ῥίζαι καὶ αἱ ἐκφύσεις τῶν τριχῶν. ἢ ἰόνθους ἐχούσης· ἴονθοι δὲ ἐξανθήματα ἀκμάζοντος σώματος. Q.V.

51. αὐτοῦ] τοῦ συβώτου. ἐνεύναιον δὲ ἐφ' οὗ ηὐνάζετο. τὴν αὐτοῦ οὐκ οἶδέν ποτε σύνθετον Ὅμηρος. τὸ δὲ ἐνεύναιον προπαροξυτόνως. H.

ἐνεύναιον] εἰς τὸ κοιτάριον, ἀπὸ τοῦ εὐνάζω. B. ἐγκοίμητρον, ἐγκοίτιον. V.

μέγα καὶ δασὺ] οὐκ ἂν νῦν ἔφη δασὺ, εἴ γε τὸ ἰονθάδος ἐδήλου τὸ δασέος. H.

56. κακίων σέθεν] μᾶλλόν σου κεκακωμένος τὴν ψυχήν. H.V.

59. ἡ γὰρ δμώων δίκη ἐστὶν] ἀντὶ τοῦ, αὕτη τῶν δούλων ἐστὶν ἡ δικαιοσύνη. B. δίκη] δικαιοσύνη. V.

61. τὸ ἑαυτοῦ συμβεβηκὸς κοινὸν πρὸς ἄλλους ποιεῖ. H.

65. ἀναστρεπτέον τὴν ἐπί. H.

εὔμορφον ἀέξῃ] οὕτως Ἀρίσταρχος. H.

66. οὐ παραποιητικῶς, ἀλλὰ ἀορίστως. τὸ πεπιστευμένον τῷ οἰκέτῃ εἰς πλεονασμὸν καὶ ἐπίδοσιν ἄγει. H.

68. τὸ ἐξῆς ἀπολέσθαι. H.

ὤλετο] ἀπώλετο. ὤφελεν] ὤφειλεν. V.

πῶς ἂν ὁ Πηνελόπης πατὴρ Ἰκάριος Λάκων εἴη τὸ γένος; ἢ πῶς ἂν ἡ Πηνελόπη τῆς Ἑλένης ὑπάρχοι ἀνεψιά; οὐ γὰρ ἂν ὁ φιλοδεσπότης Εὔμαιος Τηλεμάχῳ καὶ Πηνελόπῃ κατηρᾶτο βουλόμενος διεφθάρθαι τὸ τῆς Ἑλένης γένος. H.Q.

72. συνέεργε] γρ. ἐπέεργε. H.

73. ψιλωτέον τὸ ἔθνεα καὶ τὸ ἔρχατο. H.

77. ὁ δ' ἄλφιτα λευκὰ πάλυνεν] ὡς περὶ ἑτέρου. ἔστι δὲ ἐπὶ τοῦ Εὐμαίου. Ὁμηρικὴ δὲ ἡ φράσις. H.

78. κισσυβίῳ] ἀγροικικῷ ἐκπώματι. V.

1. ἴονθαι] ἰονθοὶ hic et infra ἀξυτόνως scribebatur.

9. ἐγκοίμητρον ex Eustathio p. 1750, 26. correctum pro ἐγκοίτερον vel ut in codice Barnes. est ἔγκοιτρον. Vocabulo ἐγκοίμητρον Eustathius rursus utitur ad explicandum ἐνεύναιον p. 1793, 49.

23. Conf. schol. β, 52.

24. ὑπάρχοι H. ὑπάρχει Q.

25. κατηρᾶτο] κατηρᾶτε H.Q.

www.libtool.com.cn

81. χοίρε] χοίρων μικρῶν κρέα. σιτευτὸν γὰρ φοβοῦμαι θῦσαι. H.Q. τοῦ σιτευτοῦ τροφιμώτερα. H.

82. ὄπιδα] τὴν εἰς τὸ μέλλον τῶν θεῶν ἐπιστροφὴν καὶ κόλασιν. B.Q.V.

φρονέοντες] λογιζόμενοι. τρομέοντες] φοβούμενοι. V.

ἐλεητύν] ἔλεο ν. Αἰολικὴ ἡ διάλεκτος. V.

85. καὶ μὲν δυσμενέες] καὶ οἱ φύσει πολέμιοι ληϊσάμενοι πόλεις ὑποχωροῦσι διὰ τὴν ἐπιστροφὴν τῶν θεῶν. B.Q.

86. βῶσιν] ἐπέλθωσιν ἐπὶ βόσιν. V.

87. πλησάμενοι δέ τε νῆας] ὁ δὲ πλεονάζει. H.Q. ὁ δὲ τε ἀντὶ τοῦ καί. H.

89. οἵδε δὲ καί τι ἴσασι] γινώσκουσί τι περὶ τῆς Ὀδυσσέως φθορᾶς, ὅτι οὐδὲν ἔσται. Q. ὡς ἔοικε δὲ ἔμαθον τὸν τούτου ὄλεθρον ἀπὸ χρησμοῦ. B. τὸ οἵδε προπερισπαστέον. ἔστι γὰρ κατ' ἐπέκτασιν εἰρημένον καὶ ἀναφορικῶς κείμενον. H.

91. ἀλλὰ ἕκηλοι] ἤτοι ἡσυχάζοντες καὶ μὴ περὶ ἔργον ἀσχολούμενοι. Q.

94. οἷα] μόνα. V.

95. ὑπέρβιον] πάνυ βιαίως. γρ. ἀκήριον ἀντὶ τοῦ ἄθικτον, ὡς, "αὐτῶν μὲν γὰρ κτήματ' ἀκήριον" (Od. ρ, 532.). ἢ ἀντὶ τοῦ ἀκέραιον. H.

96. ζωή] ἡ πρὸς τὸ ζῆν οὐσία καὶ παρασκευὴ καὶ κτῆσις. B. ἡ πρὸς τὴν ζωὴν παρασκευή. V.

οὔτινι τόσση] οὐδενὶ τῶν ἡρώων οὔτε τῆς ἠπείρου οὔτε τῶν τῆς Ἰθάκης ἐστὶν οὐσία τοσαύτη. B.H.Q.

97. ἠπείροιο] τῆς ἀντικρὺ Ἰθάκης. ἠπείροιο μελαίνης] τῆς καταντικρὺ Κεφαλληνίας νῦν λέγει. μέρος δέ ἐστι τῆς πέλας ἠπείρου, αὕτη καὶ μετ' ὀλίγον ἐπιφέρεται, "δώδεκ' ἐν ἠπείρῳ ἀγέλαι." V.

ἤπειρον νῦν τὴν ἀντιπεραίαν φησί. H.

98. ξυνεείκοσι φωτῶν] ὁμοῦ εἴκοσι ἀνδρῶν. H.

99. ἔστ' ἄφενος] ὅτε ἐστὶν ἐν ἀρχῇ στίχου, παροξύνεται. H.

101. αἰπόλος ὁ τῶν αἰγῶν βοσκός· αἰπόλιον ἡ τῶν αἰγῶν ἀγέλη.

1. σιτευτὸν H. σιτατὸν Q.

14. τὸ οἵδε] In textu H. scriptum οἶδε δέ τι ἴσασι.

20. κτήματ' ἀκήριον] Legitur κτήματ' ἀκήρατα.

22. ἡ π. τὸ ζ. οὐσία] Hoc etiam in H.

27. πέλας Buttm. pro πελάγης, quod in editionibus recentioribus in μελαίνης mutatum erat.

www.libtool.com.cn

ἀγέλη, φασίν, ἓν σύστημα ὑπὸ ἑνὸς ἀνδρὸς ἀρχόμενον· ἄδηλον δὲ πόσων ζῴων τὸ σύστημα. H.

102. ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες] ὁμοίως τῷ "θῆτές τε δμῶές τε" (Od. δ, 644.). H.

103. ἐνθάδε τ'] διχῶς, ἐνθάδε καὶ ἐνθάδε. H.

104. ἐσχατιῇ βόσκοντ'] ἐσχάτην, οὕτως αἱ Ἀριστάρχου. H.

ὄρονται] ἀντὶ τοῦ ὀρούουσιν, ὅ ἐστιν ἐρρωμένως συνέπονται. ἢ ὁρῶσι, φυλάττουσι. B.Q. ὁρῶσι, φυλάττουσι, ἐπακολουθοῦσιν. V.

106. αἰγῶν—ἄριστος] ὅτι ἀρσενικῶς τὸν αἶγά φησι. Q.

108. εὐκρίνας] ἐπιλεξάμενος. V.

112. σκύφος] διχῶς, καὶ ὁ σκύφος καὶ τὸ σκύφος οὐδετέρως. B.H.M.

113. ἐνίπλειον] προπαροξυτόνως. H.

115. τὸ ὄνομα ἐπιζητεῖ. H.

116. καρτερός] εἶπε γὰρ ὅτι ᾤχετο εἰς τὴν Ἴλιον. H.

117. φθεῖσθαι] φθαρῆναι, ἀποθανεῖν. V.

118. εἴ πως αὐτὸν γνωρίσω τοιοῦτον ὄντα οἷον καὶ λέγεις. H.

120. εἰ ἴδὼν αὐτὸν ἀγγείλαιμι ἀμισθὶ, ἀψευδῶς. H.

123. πείσειε] τὸ εὐκτικὸν ἀντὶ ὁριστικοῦ, πείσειε, πείσει. H.

διὰ τούτου οὐδ' ἂν σὺ πιστευθείης. H.

128. ἕκαστα μεταλλᾷ] φύσεως ἀνθρωπίνης ἰδίωμα τὸ περὶ τῶν ἀναγκαίων ἀπιστοῦντας ἡμᾶς ὅμως ἀναπυνθάνεσθαι. Q.

131. παρατεκτήναιο] παρατεχνήσαιο, παρὰ τὴν ἀλήθειαν παρασκευάσειας. B.V.

132. εἴ τίς τοι] Διοκλῆς ἀθετεῖ. οὔτε γὰρ ἡ Πηνελόπη πάντα ἀμφιέννυσιν, οὔθ' οὕτως πάντα διὰ τοῦτο ψεύδεται, ἀλλὰ καὶ διὰ μόνην πολλάκις τροφήν. H.Q.

1. φασὶν scripsi pro φησίν.

3. τῷ] τὸ H., superscripto ῶ.

5. ἐνθάδε καὶ ἐνθάδε] Scribendum saltem ἔνθα δέ καὶ ἐνθάδε, nisi aliud quid latet.

6. ἐσχάτην] Immo ἐσχατιήν, ut videtur.

10. ἐπιλεξάμενος] καταλεξάμενος codex Barnes.

11. διχῶς, καὶ] δίχα H., omisso καὶ.

ὁ σκύφος καὶ τὸ σκύφος] τὸ σκυφος καὶ τὸ σκύφον M. (qui σκύφος in textu habet). τὸν σκύφον καὶ τὸ ξίφος H. τὸ σκύφος καὶ τὸ σκύφον B. De utraque forma, ὁ σκύφος et τὸ σκύφος, dixit L. Dindorfius in Thesauro vol. 7. p. 473. In versu Homeri Aristarchum σκύφον, Aristophanem σκύφος probasse annotavit Athenæus 11. p. 498 E.

οὐδετέρως om. B.H.

26. πάντα] πάντως H.

www.libtool.com.cn

133. ἀπ' ὀστεόφιν] οὕτως αἱ πᾶσαι σχεδόν. H.

134. ἐρύσαι] γρ. ἐρύειν. H. ἑλκύσαι, ἀποσπάσαι. V.

138. τὸ ἑξῆς, κήδεα τετεύχαται. H.

142. οὐδέ νυ] γρ. οὐδ' ἄρα. H.

ἱέμενός περ] γρ. ἀχνύμενός περ. H.

ἀχνύμενός περ] λείπει, καίπερ ἐπιθυμῶν αὐτούς. Q.

144. ἀλλά μ' Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο] ἀλλὰ μᾶλλον ὁ τοῦ Ὀδυσσέως πόθος μένει ἀποιχομένου, διακόπτει, λαμβάνει. Q. λείπει ἡ περί καὶ ἀπό. ἀλλὰ μᾶλλον ὁ περὶ τοῦ Ὀδυσσέως ἀποιχομένου πόθος μένει. B.

145. τὸν μὲν ἐγών, ὦ ξεῖνε] φησὶ, τὸν Ὀδυσσέα δίχα φιλοφρονητικῆς προσηγορίας ὀνομάζειν αἰδοῦμαι· πρεσβύτερον δὲ ἀδελφὸν καλῶ. B.Q.V.

147. ἀλλά μιν ἠθεῖον καλέω] οὐ καλῶ αὐτὸν Ὀδυσσέα ἢ δεσπότην, ἀλλὰ ἀδελφὸν μείζονα διὰ τὴν πρὸς ἐμὲ φιλοστοργίαν. τὸ δὲ ἠθεῖε προσφώνησίς ἐστι νεωτέρου πρὸς μείζονα. B.Q. ἓν μέρος λόγου ἐστί· δηλοῖ δὲ τὸν πρεσβύτερον ἀδελφόν. H. ἠθεῖον, πρεσβύτερον ἀδελφὸν, θαυμαστὸν ἄγαν. V.

155. πρὶν δέ κε] πρότερον δὲ τὸ εὐαγγέλιον, ἤτοι τὸ ὑπὲρ τῆς ἀγγελίας δῶρον, οὔτι δεχοίμην, καίπερ ἐνδεὴς ὑπάρχων. B.Q.

159. ἱστίη τ' Ὀδυσῆος] ὁ βωμὸς τῆς ἑστίας. V. ὁ βωμὸς Ὀδυσσέως, εἰς ὃν παραγέγονα. B.

μετενήνεκται ἀπὸ τῶν ἑξῆς ἐπὶ τῶν πρὸς τὴν Πηνελόπην λόγων (τ, 304.). οὔπω γὰρ ἀφῖκται εἰς τὴν Ὀδυσσέως οἰκίαν. Q.

160. ἦ μέν τοι ταῦδε πάντα τελείεται] γρ. ἦ μέν τοι τῆδε, ἀντὶ τοῦ οὕτως. H. Vind. 133.

161. τοῦδ' αὐτοῦ ἢ τοῦδ' αὖ τοῦ λυκάβαντος· οὐ δύναται γὰρ εἶναι ἡ αὐτοῦ ἀντωνυμία. H. τοῦδ' αὖ τοῦ, τρεῖς τόνοι. ἀντὶ, τούτου

1. ἀπ' ὀστεόφιν] ἀπὸ στεόφιν H. in textu, sed deleto accentu super ἀπό.

5. ἀχνύμενος] Hoc in textu habet M., adscripto a m. rec. γρ. ἱέμενος.

11. δίχα om. V. φιλοφρονητικῆς correxi pro φιλοφρονηματικῆς.

12. δὲ V. δὲ καὶ B.Q.

19. πρότερον Buttm. pro πρῶτον.

ὑπὲρ Buttm. pro ὑπό.

25. τῆδε] Si revera talis hic fuit variatio, vel metrum ignorabant qui eam admittebant, neque ratio ejus est habenda, vel scribebant τῇ. BUTTM.

27. τοῦδ' αὖ τοῦ pro τοῦδ' αὐτοῦ in hoc proximoque scholio correctum ex Eustathio p. 1755, 40. qui hanc scripturam τοῖς ἀκριβεστέροις tribuit.

www.libtool.com.cn

τον δὲ τοῦ ἐνιαυτοῦ. τὸ γὰρ αὐτοῦ οὐ λέγει. Ὅμηρος εἰ μὴ ἐπὶ εἰρημένοις τισὶν ἀναφορικῶς. Q.

λυκάβαντος] ἐνιαυτοῦ, διὰ τὸ ἐξῆφθαι πρότερόν τινα τοῦ χρόνου τὸν χρόνον. πεπίστευται τοὺς λύκους βίαιον διαβαίνοντας ποταμὸν ἐνδακόντας τὴν κέρκον τῶν ἀεὶ προηγουμένων τοὺς ἑπομένους στιχηδὸν διανηχομένους διεξιέναι τὸ ῥεῖθρον. Q. λυκάβας εἴρηται ἀπὸ τοῦ λυγαίως βαίνειν, ὅ ἐστι σκοτεινῶς πορεύεσθαι. λεληθότως γὰρ ὁ χρόνος διέρχεται. H.Q.V.

162. τοῦ μὲν φθίνοντος] εἰς τὴν τριακάδα καὶ νουμηνίαν. Q.V. Vind. 133. ὅ ἐστιν εἰς τὴν ἕνην καὶ νέαν. Vind. 133.

ὑποπτεύονται οἱ τρεῖς ὡς ἀσύμφωνοι πρὸς τὰ πρὸ αὐτῶν, καὶ ὡς ὕποπτοι καὶ ὡς ἄπιστοι. πόθεν γὰρ ἥδει εἰ καὶ ἐκ Δωδώνης ὑποστρέφων οὐ πλοΐσει; H.

166. τὴν αὐτὴν διάνοιαν καὶ Πηνελόπη φησὶ, δύσελπις γεγονυῖα ὑπὸ τοῦ χρόνου. H.

168. ἀντὶ τοῦ καὶ ἄλλων παρεκτὸς μνημονεύσωμεν. H.Q.

171. ὅρκον μὲν] Ζηνόδοτος, κεῖνον μέν. H.

174. λείπει ἡ περί, περὶ παιδός. H.

ἄλαστον] ἀντὶ τοῦ ἀλάστως, ἀνεπιλήστως B. V.

176. χερείω] χείρονα, ἐλάττονα. V.

οὔτι χέρεια] οὕτως Ἀρίσταρχος. H.

χερείονα χέρεια, συγκοπή. H.

2. ἀναφορικῶς Buttm. pro ἀναφορικοῖς.

3. λυκάβαντος] Conf. schol. τ, 306.

7. λυγαίως] λυγέως H. Recte apud Eustath. p. 1756, 28.

11—13. Hanc notam in imo paginæ versus 125—166. continentis scriptam, Porsonus, quo eam referret incertus, sic nude apposuit. Ego ad 162-4. referre non dubito. Nam primum absurdum videri potuit eum qui proximum novilunium definiret annum antea memorare; deinde in persona vagantis hominis qui fando omnia ab alio tenebat, admodum incredibilis videri debebat Eumæo hæc diem etiam definiendi fiducia; et quomodo denique, quid post consultum oraculum Dodonæum facturus esset Ulysses tam certe prædicere poterat idem? BUTTM. Recte judicasse Buttmannum apparet ex M., in quo non his tribus tantum versibus, sed etiam duobus præcedentibus (160. 161.) appicti sunt ⁂. Eodem in codice mox versibus 174—184. obeli (—) undecim adscripti sunt.

11. πρὸς τὰ] Sic vel πρὸς τοὺς corrigendum fuit quod in H. est πρὸς τῶν.

21. χέρεια] χερείω H.M. in textu, superscripto in H. γρ. χερείων. Aristarchus autem χέρνα potius scripsisse videtur. Conf. schol. Il. α, 80.

www.libtool.com.cn

179. ἐν σχήματι, ὡς τὸ "γυναῖκά τε θήσατο μαζόν." (Il. ω, 58.) καὶ "οἵ σ' ὠτειλῆς αἷμ' ἀπολιχμήσονται." (Il. φ, 122.) H.

[182. νωνύμους: ἀνωνύμους καὶ δυσφήμους, οἷς οὐκ ἄν τις εὔφημον εἴποι. V.]

184. ἤ κε φύγῃ] γρ. ἤτε φύγοι. H.

185. ἐνίσπες] σπές ἐνίσπες ὡς θές ἐπίθες, σχές ἐπίσχες. ἔνισπες δὲ ἀπὸ τοῦ ἐνίσπω ὡς ἐλαύνω. H.Q.

188. ὁποίης δ' ἐπὶ νηὸς ἀφίκεο] ἀστερίσκος πρόσκειται ἄχρι στίχων γ', ὅτι νῦν ὡς πρὸς ῥάκεσιν ἠμφιεσμένον ὀρθῶς λέγονται· ὡς δὲ πρὸς τὴν Ἀθηνᾶν ὁμοιωθεῖσαν Μέντῃ καὶ βασιλικὴν ἔχουσαν στολὴν οὐ πάνυ. H.Q.

195. δαίνυσθαί τ' ἀκέοντ'] ἐκ πλήρους, ἀκέοντας. ἀντὶ τοῦ ἀργοῦντας ἡμᾶς καὶ μὴ περὶ ἔργον ἀσχολουμένους. B.Q.

ἐπὶ ἔργον ἕποιεν] ἐπὶ τὸ ἐργάζεσθαι πορεύοιντο. H.

ἔργα ἕποιεν] γρ. τράποιντο. M.

199. ἐκ μὲν Κρητάων] ἀπὸ τοῦ Κρῆται. καὶ τὰς Ἀθήνας γὰρ ποτὲ ἐνικῶς, ποτὲ πληθυντικῶς ὀνομάζει. τοῦτο δὲ ζηλώσας ὁ Καλ-

2. οἵ σ'] οἷς H.

3. νωνύμους] Vere observat Barnesius pertinere hoc scholium potius ad Il. μ, 70. (unde etiam in ed. ant. ΝΩΝΤΝΟΥΣ, nimirum ex νωντύμνους). Sed mira idem sollertia aliud in ejus locum concinnatum apposuit, ingenue addens, "tale quid ad hunc locum hactenus desideratum fuisse." Rectius monuisset scholium utrique loco, sed diverso casu, aptum a socorde compilatore hic tantum et casu non mutato additum esse. Sed emendanda est posterior ejus pars ope glossæ Hesychianæ, Νώνυμος. ἀνώνυμος, δύσφημος. ὃν οὐκ ἄν τις εὔφημον εἴποι, ἀλλὰ δυστυχῆ: quæ tamen ipsa interpolata est: nam quid hoc est "homo quem bene ominatum nemo dicat, sed miserum?" Abjicienda itaque duo ultima verba quæ absunt a scholio; contra huic ex Hesychio accusativus reddendus, οὓς scribendo pro οἷς: utroque autem loco pro εὔφημον reponendum εὐφήμως: Νωνύμνους· ἀνωνύμους, δυσφήμους, οὓς οὐκ ἄν τις εὐφήμως εἴποι. Hæc enim certe mens est antiqui enarratoris, homines ita funditus sublatos ut vel nomen eorum pronuntiare religio sit. BUTTM.

6. σπές ἐνίσπες om. Q.

ἔνισπες] Noli putare grammaticum utramque formam ἐνίσπες et ἔνισπες hic tutari. Posterior, quæ est contra normam horum ἐπίθες, ἐπίσχες, plane non agnoscitur. Scripsit itaque scholiastes ultimo loco ἐνίσπε, ut quæ forma æque sit proba quam illa ἐνίσπες, quippe deducenda ἀπὸ τοῦ ἐνίσπω ὡς ἔλαυνε ἀπὸ τοῦ ἐλαύνω. Nam sic procul dubio ultima scholii verba sunt supplenda. BUTTM.

10. πρὸς τὴν Ἀθηνᾶν] Vid. schol. ad α, 171.

17. ζηλώσας Maius pro ζημιώσας.

Καλλίμαχος] Scena, ut vides, in Attica est: quare ad Hecalen refero. BUTTM.

www.libtool.com.cn

λίμαχος τὸν Κολωνὸν θηλυκῶς καὶ πληθυντικῶς εἶπεν "ἔκ με Κολωνάων τις ὁμέστιον ἤγαγε δήμου τῶν ἑτάρων." H.Q.

Κρητάων] τῆς Κρήτης. εὐρειάων] ἀντὶ εὐρείας. νῦν δὲ μακρᾶς· στενὴ γὰρ ἡ Κρήτη. ἐντεῦθεν δέ φησιν εἶναι φεύγων τὸν ἔλεγχον, ἐπεὶ πόρρω τῆς Ἑλλάδος. V.

201. υἷες ἐνὶ] γρ. υἱέες ἐν. Vind. 133.

202. ἐξ ἀλόχου] γρ. ἐξ ἀλόχων. H.

203. παλλακὶς] πιθανῶς τοῦτο, ἵνα δόξῃ ὅμοιος εἶναι τῷ ξενοδόχῳ συβώτῃ. H. Ἄλλως. πιστεύεσθαι βουλόμενος περὶ τῶν λοιπῶν ἐλαττοῖ τὸ γένος. H.Q.

ἰθαιγενέεσσι] γνησίοις τέκνοις. Q.V.

204. Κάστωρ Ὑλακίδης] Καλλίστρατος ἐν τῇ ἐκ Μουσείου Κάστῶρ φησὶ γεγράφθαι. H.

γένος] γρ. πάϊς. M.

206. κυδαλίμοισι] γρ. ἠνδαλίμοισι. H.

212. εἵνεκ' ἐμῆς ἀρετῆς] τοῦτο ἄλλως μεταβάλλων εἶπε "περὶ μὲν πολέμῳ καρτερός ἐσσι, καὶ βουλῇ μετὰ πάντας ὁμήλικας ἔπλευ ἄριστος" (Il. ι, 53.). Q.

214. ἀλλ' ἔμπης καλάμην] καὶ ἡ παροιμία, ἀπὸ τῆς καλάμης τὸν στάχυν. Q.

καλάμην] τὸ γῆρας, τὸ λείψανον ὥσπερ τοῦ σώματος κατὰ μετα-

1. θηλυκῶς H. ἑνικῶς Q.

ἔκ με—ἑτάρων Porsonus pro ἐκ μὲν—ἑτέρων. Κολωνάων ex hoc loco annotavit Suidas cum νησάων, quod ipsum quoque Callimachus dixerat pro νήσων.

4. φησιν—ἐπεὶ] φασι εἶναι φεύγοντα τὸν ἔλενον (sic) ἐπὶ V. Correxit Buttm.

7. ἀλόχων] ἀλόχοιο H. Correxi ex M., qui ἀλόχου vulgatum habet, superscripto ων.

9. Ἄλλως om. Q.

12. Μουσείου Buttm. pro μουσείων vel μουσείῳ (nam obscura in H. scriptura). Exemplar in Musarum sacello, quod cum schola Alexandrina conjunctum fuerit, asservari solitum intelligit Lehrs. Arist. p. 30.

Κάστρῳ] Sic H. Non apparet quid Callistratus voluerit. Aliud nomen, quale Ἄκτωρ est, positum fuisse conjicit Duentzer. Zenod. p. 42.

15. ἠνδαλίμοισι] Porsonus prius de hac varietate loquens eam manu recentissima scriptam dicebat, docens simul quam sollemnis in mss. syllabarum κυ et ην sit permutatio. In Postscripto autem errasse se dicit, et scripta hæc a manu si non ipsius scholiastæ Harl, certe non multo juniore. Videndum igitur an varietas illa ita scripta, ἰνδαλίμοισι, inter antiquas lectiones referenda sit, cum εἰδάλιμος sit vox Homerica et ἰνδάλιμα, εἰνειδές reperiatur apud Hesychium, quamvis in serie vocum ab ἰδ incipientium ideoque in recentioribus editionibus mutatum in ἰδάλιμον. BUTTM.

www.libtool.com.cn

φοράν. καὶ γὰρ τὸν εὐγενῆ πυρὸν ἐκ τῆς ὑπολειφθείσης καλάμης δυνάμεθα νοῆσαι. ἔστι δὲ καλάμη ἡ ὑποστάθμη τοῦ ὑπολειπομένου σίτου. καὶ πιθανῶς τῷ παραδείγματι κέχρηται ὡς ἂν πρὸς ἀγροῖκον ὄντος τοῦ λόγου. ἔστι δὲ οὐδὲν ἧττον ἐναργές. ὡς γὰρ ἀπὸ τῆς καλάμης ἔνεστι νοῆσαι τὸ κάλλος τῶν τεθερισμένων καρπῶν, οὕτως καὶ ἐκ πρεσβυτικοῦ σώματος τὴν ἀρχαίαν ἕξιν κατανοῆσαι. B.H.Q.V.

217. ῥηξηνορίην] ἀνδρείαν, παρὰ τὸ ῥηγνύειν τὴν δύναμιν τῶν ἐναντίων. H.P.Q. ῥηξηνορίην, τουτέστιν ῥήσσειν τὴν ἠνορέαν, ὅ ἐστι τὴν ἀνδρείαν καὶ γενναιότητα τῶν πολεμίων. V.

κρίνοιμι λόχονδε] ἐξ ἐπιλογῆς συντάττοιμι. Q. διαχωρίζοιμι εἰς ἐνέδραν. V.

220. ὄλεσκον] ἀνῄρουν, ἐφόνευον. V.

221. ὅτε μοι εἶξειε πόδεσσι] ὅτε κατελήφθη ὑπ' ἐμοῦ. τινὲς δὲ, ὅτε εἰς φυγὴν ἐτρέπετο. B.Q.

222. ἔργον] ἡ γεωργία, ἀπὸ τῆς ἔρας. τὰς γὰρ λοιπὰς πράξεις ἔργα φάσκων ὁ ποιητὴς προστίθησι διασημαίνων ὡς ἔργον Ἄρηος. Q.

223. οὐδ' οἰκωφελίη] τινὲς τὸ ὀφέλλειν οἴκους, ὅ ἐστιν οἰκοδομεῖν καὶ λαοξουργεῖν, ἐπεὶ λύεται ἐκ τοῦ "αἶψα δὲ οἶκος ὀφέλλετο" (233.). H.Q.

226. λυγρὰ] κατὰ πάντων τὸ λυγρά. πόλεμοι καὶ ἄκυντες καὶ ὀϊστοὶ, ἅπερ εἰσὶ λυγρά. H.

ῥιγηλὰ] φρικτὰ, φοβερά. V.

228. ἄλλος γάρ τ' ἄλλοισιν] τοῦτο Ἀρχίλοχος μετέφρασεν "ὡς ἄλλος ἄλλῳ καρδίην ἰαίνεται." H.

230. εἰνάκις] ἔνατον. V. ἐπὶ ἐννέα ἔτη. ἀντὶ τοῦ ἡγεμὼν ἐπὶ λῃστείαν ἐγενόμην. οὐ γὰρ αἰσχρὸν, καὶ Θουκυδίδης φησί. B.Q.

231. καί μοι] Ζηνόδοτος, καί σφιν. H.

πάντα] γρ. πολλά. Q. λάφυρα δηλονότι. P.Q.

3. ἀγροῖκον] ἄγροικον V.

6. κατανοῆσαι] κατανοῆσθαι H.

12. ὄλεσκον] Sic ed. ant. Unde recentt. ὄλεσκον] ἔνιοι, ἔλεσκον, α. ε. Vid. not. ad δ, 139. BUTTM.

18. δὲ οἶκος] δέ οἱ οἶκος H.

23. μετέφρασεν "ὡς ἄλλος ἄλλῳ καρδίην ἰαίνεται] μετὰ φράσεως ἄλλος ὄλλῳ κραδίην γένηται H. Correxit Bergkius Poet. Lyr. p. 543. collatis Clem. Alex. p. 739. et Sexto Emp. p. 699.

26. Θουκυδίδης] 1, 5. Conf. schol. ad γ, 71.

28. γρ. (id est γράφεται) correxi pro γράφε. πάντα in textu habet M., cum γρ. πολλά.

πολλά] Hoc H.P. in textu habent: in πάντα consentit M., sed adscripto γρ. πολλά.

δηλονότι Buttm. pro δηλοῖ.

www.libtool.com.cn

232. μενοεικέα] τὰ τῷ μένει μου ἐοικότα. H.

ἐξηρεόμην] ἐξαίρετα ἐλάμβανον. P.

233. λάγχανον] κληρούμενος ἐλάγχανον, ἤτοι ἀπὸ κλήρου ἐλάμβανον. B.

239. χαλεπὴ δ' ἔχε δήμου φῆμις] τινὲς οὕτως, τοὺς μὴ βουλομένους ἀπελθεῖν ὄνειδος κατεῖχεν. Q. ἐβίαζε γὰρ ὑμᾶς. V.

246. ὅτι ὁμωνύμως τὸν ποταμὸν καὶ τὴν χώραν. νῦν δὲ τὴν χώραν. H.

248. νῆας στεῖλα] εἰς πλοῦν εὐτρέπισα, ὅθεν καὶ στόλος εἴρηται. B.Q.

ἐσαγείρετο λαός] διὰ τοῦ ε. ὁ ναυτικὸς λαός. H.

249. ἐξῆμαρ πρὸ τοῦ πλοῦ. H.

253. ἀνέμῳ ἀκραέϊ] ἄκρως πνέοντι, ὅ ἐστιν ἐπιτηδείως καὶ καθαρῶς. B.H.Q. ἄκρως πνέοντι, καθαρῶς. V.

255. ἀσκεθέες καὶ ἄνουσοι] ἀντὶ τοῦ ἄπονοι καὶ ἄνευ κακοπαθείας. Q. ἀβλαβεῖς, ὑγιεῖς. V.

260. ἔρυσθαι] ἐνεστῶτός ἐστιν, ὡς πήγνυσθαι, παρακειμένου δὲ τὸ εἰρύσθαι. Q.

261. σκοπιὰς] ὀρεινοὺς τόπους ὑψηλούς. B.

262. ὕβρει εἴξαντες] πεισθέντες, ὅ ἐστιν, ὑβρισταὶ γενόμενοι. B.

μένεϊ σφῷ] τῇ ἑαυτῶν ὁρμῇ καὶ ἐπιθυμίᾳ συνδραμόντες. ἔθος γὰρ ἦν αὐτοῖς ληστεύειν. B.Q. ἑαυτῶν. οὐ γὰρ οἱ ὀπτῆρες, ἀλλ' οἱ ἐν ταῖς ναυσὶν ὄντες. B.P.

272. ἄγαγον] ἀπέφερον. V.

273. τοῦτο νόημα] γρ. ὧδε νόημα. Vind. 56.

278. αὐτὰρ ἐγὼ βασιλῆος] Σέθως τότε ἐβασίλευσε. B.H.

280. ἐς δίφρον δέ μ' ἔσας ἄγεν] ἐπιβιβάσας. οὐ γὰρ ἐκαθέζοντο ἐν τοῖς δίφροις. B. ἀγαγὼν, Αἰολικῶς. Q. ἡ Αἰολικὴ, ἐς δίφρον δ' ἀνέσας, ἀναγαγών. H. ἔσας] καθίσας. V.

6. ὑμᾶς] ἡμᾶς Barnes.

15. ἀσκεθέες] Sic etiam M. in textu.

25. ἀπέφερον] Hoc imperfectum indicio est lemma quoque ex imperfecto corruptum esse, quod fuisse dixeris illud codicum H.P. Vindob. 56. ἄναγον; idque recepit aliam etiam lectionem affuisse, ἄπαγον, tum ex eodem illo ἀπέφερον, tum eo quod tam sollemnis est formarum ΑΠΑΓΟΝ et ΑΓΑΓΟΝ permutatio. BUTTM.

27. σέθως τ. ἑ. H. σέθος ἑ. τ. B.

29. Αἰολικῶς] Ex errore nata videtur hæc notula: neque de dia-

www.khtml.com.cn

286. χρήματα] γρ. κτήματα. H.

288. δὴ τότε Φοῖνιξ ἦλθε] πῶς πρὸς Ἀθηνᾶν διαλεγόμενος εὐλογεῖ τοὺς Φοίνικας δι' ὧν φησι "πόλλ' ἀεκαζομένους, οὐδ' ἤθελον ἐξαπατῆσαι" (ν, 277.), ὧδε δὲ τὸ ἐναντίον; ἐκεῖ μὲν προτρέπεται τὸν ξένον μὴ γενέσθαι ἀλιτόξενον, ἐνθάδε δὲ οἶδεν Εὔμαιον ὑπὸ Φοινίκων πεπραμένον. Q.

289. τρώκτης] πανοῦργος, ἀπατεών. V. φιλοκερδὴς, ἄπληστος. B.Q.

290. παρπεπιθὼν] ὀξυτόνως ἡ μετοχὴ, δευτέρου γὰρ ἀορίστου. τὸ ἐξῆς, πείσας παρήγαγε ταῖς ἑαυτοῦ φρεσί. B.Q.

294. ἐπήλυθον ὧραι] ἡ ἐπὶ ἀντὶ τῆς παρά. παρῆλθον οἱ καιροὶ, ὅ ἐστιν αἱ τροπαί. B.H.Q.

295. ἐς Λιβύην] τὸ ἐξῆς, ψευδέα βουλεύσας ἐπὶ νηός μ' ἐέσσατο ποντοπόροιο ἐς Λιβύην, ἵνα οἱ σὺν φόρτον ἄγοιμι. Q.

Ῥιανός φησιν, ἐφέσσατο. Ζηνόδοτος, ἐφείσατο. H.

298. ὀϊόμενός περ] ὑπονοῶν μὲν τὸ πραχθησόμενον, τῇ ἀνάγκῃ δὲ συμπλέων. Q.

300. μέσσον ὑπὲρ Κρήτης] τὸ μέσον πέλαγος ὑπερβᾶσα τὴν Κρήτην. H. μεταξὺ Κρήτης καὶ Λιβύης. ἀντικρὺ γὰρ ἀλλήλων εἰσί. B.Q.

307. ἐκ δὲ θεείου] θεαφίου. θεῖον λέγει πῦρ ἐξ ὕλης τινὸς ἀναπτομένης θειώδους ὀνομαζόμενον. H.Q. τεαφίου. οὕτω γὰρ ὄζει ὁ κεραυνός. B.

311. ἀμαιμάκετον] ᾧ οὐκ ἔστι μῆκος παραβαλεῖν. καὶ χίμαιραν θρέψεν ἀμαιμακέτην, ᾗ οὐκ ἔστι μέγεθος παραβαλεῖν. H. ἀντὶ τοῦ, οὗ οὐκ ἔστι μῆκος παραβαλεῖν. B.Q.

315. γαίῃ Θεσπρωτῶν] πόλις περὶ τὰ ἔσχατα τῆς Θεσσαλίας. Q.V.

316. ἐκομίσσατο Φείδων] ἀντὶ τοῦ ἀνεκτήσατο, ἐπιμελείας ἠξίωσεν ἐλεήσας. B.Q.

lectione ea, quam præbet sequens nota ex editione dicta Æolica, sicut celebris illa Argolica fuit et aliæ. Eandem infra ad 331. citat ita, οἱ Αἰολεῖς. ἡ Αἰολὶς dicitur in schol. σ, 98. BUTTM.

5. ἐνθάδε—πεπραμένον] Hæc etiam in V., sic scripta, ἐπεὶ ᾖδει καὶ τὸν Εὔμαιον ὑ. Φ. π.

21. θεαφίου addidi ex H. in quo θεαφείου scriptum.

τινὸς om. Q.

ἀναπτομένης θειώδους ὀνομαζόμενον] ἀναπτόμενον θειώδει ὀνομαζομένῳ Q.

22. τεαφίου] τεσφίου B. Idem vitium notavimus ad μ, 417.

26. οὔ addidit Buttm.

www.libtool.com.cn

317. ἀπριάτην] ἐπίρρημα, ὡς ἄντην, μάτην, ἀντὶ τοῦ ἀπριάτως, ὅ ἐστι προῖκα. B.P.Q. οὐδὲ χρήματα, ὅ ἐστιν ὡς ἐλεύθερον. B.H.Q. Ῥιανὸς γράφει, ἀπριαΐδην. H.

318. αἴθρῃ καὶ καμάτῳ] οὕτως Ἀρίσταρχος, Ζηνόδοτος, Ἀριστοφάνης. H. ψυχρότητι. αἴθρῃ ἀρσενικῶς, ὡς "ἐν πύλῃ ἐν νεκύεσσιν" (Il. ε, 397.), ἀντὶ τοῦ ἐν πύλῃ. B.

321. Ὀδυσῆος] λείπει ἡ περί. πολλὴν ἂν ὑπόνοιαν Εὐμαίῳ παρέσχε τῆς ἑαυτοῦ ἐπιγνώσεως, εἰ εἶπεν ὅτι καὶ ἐθεάσατο τὸν Ὀδυσσέα. H.

324. πολύκμητον] τὸν πολυδάμαστον σφύραις καὶ ἄκμονι. Q.

325. καί νύ κεν ἐς δεκάτην γενεὴν] γένος. ὁ δὲ νοῦς, τὰ χρήματα βόσκοι ἂν μέχρι δεκάτης γενεᾶς ἕτερον ἐξ ἑτέρου διαδεχόμενον παρὰ πατρὸς παῖδα. B.H.Q. ἢ οὕτως· ἄλλον καὶ πάλιν ἄλλον, ὅ ἐστιν ἕως δέκα γενεῶν, ὅ ἐστι τ' ἔτη. H.

326. ὅσσα οἱ] πᾶσαι, τόσσα, εἶχον. H.

327. τὸν δ' ἐς Δωδώνην] Δωδῶνα νῦν τὴν Θεσπρωτικὴν, ἔνθα τὸ μαντεῖον ἦν τοῦ Διός. ἑτέρα δέ ἐστιν ἡ Θεσσαλικὴ, ἀφ' ἧς Ἀχιλλεὺς καλεῖ τὸν Δία "Ζεῦ ἄνα Δωδωναῖε Πελασγικέ." (Il. ω, 233.). H. πιμὴν νέμων πρόβατα ἐν τοῖς τῆς Δωδώνης ἕλεσι τοῦ πέλας ὑφείλετο ποίμνην καλλίστην, καὶ εἵρξας εἰς τὴν σφετέραν αὐλὴν

2. ὡς additum ex H.

3. Ῥιανὸς γράφει ἀπριάδην] In Il. α, 99. ἀπριάτην Apollonium adverbialiter dictum accepisse annotavit scholiasta, ἵν' ᾖ χωρὶς πριασμοῦ, ἀντὶ τοῦ ἀπριάδην. Cratetis scripturam ἥρως ἀπριάτης reprehendit Apollon. Lex. s. v. ἀπριάτην.

4. οὕτως—Ἀριστοφάνης] Spectant hæc ad lectionem interpolatam λύθρῳ, cujus memoriam servavit Etym. M. p. 33, 40. in excerpto ex scholiis veteribus, αἴθρῃ· τῷ ψύχει, ἀπὸ τῆς αἰθρίας. "αἴθρῃ καὶ καμάτῳ" —εἰς τὴν Ὀδύσσειαν. ἢ τὸ ἐξ αἰθρίας πνεῦμα· ὅτι ἐπιμελῶς ἐν ταῖς αἰθρίαις τὸ ψῦχος γίνεται. ἄλλοι δὲ ἀγνοοῦντες γράφουσι, λύθρῳ καὶ καμάτῳ. τῷ γὰρ ναυαγῷ οὔτε ἱδρὼς ἁρμόζει οὔτε αἷμα· ἐκεχώριστο γὰρ ἀμφοῖν· ὑπὸ δὲ τῆς αἰθρίας ἐδεδάμαστο, ὡς ναυαγὸς ἀσκεπής. κατὰ δὲ τὸ ἀρσενικὸν τὴν αἰθρίαν εἶπεν αἴθρον, ὡς τὴν πύλην πύλον· οἷον "ἐν πύλῃ ἐν νεκύεσσι βαλών." καὶ τὴν δείλην δείλον "εἰς ὅ κεν δείλης ἔλθῃ ὀψὲ δύων" (Il. φ, 231.).

5. ἐν νεκύεσσιν] ἐννεκύουσιν B.

11. γένος. ὁ δὲ νοῦς om. H.

14. τ' ἔτη] τέτη H.

16. Δωδώνην] Ad hunc locum vel τ, 296. referenda quæ de duabus Dodonis dixit Φιλόξενος ὁ τὴν Ὀδύσσειαν ὑπομνηματίζων ap. Steph. Byz. s. v. Δωδώνη. Idem Φιλόξενος τὴν Ὀδύσσειαν ἐξηγούμενος dixerat de solœcismo Alabandiaco (ὅταν ἡ μὴ ἀπαγόρευσις ἀντὶ τῆς οὐ κεῖται, ut Il. ο, 41. μὴ δι' ἐμὴν λίτητα Ποσειδάων ἐνοσίχθων), ut annotavit Steph. s. v. Ἀλάβανδα. Porro ex hoc commentario excerpta videntur quæ leguntur in schol. ad ι, 22. 106.

19. Δωδώνης] δωδῶνος V.

20. ὑφείλετο] ὑφίστατο Q. ποίμνην Barnes. pro νομήν.

www.libtool.com.cn

ἐφύλασσεν. ὅθεν τὸν δεσπότην φασὶ ζητεῖν παρὰ τοῖς ποιμέσι τὰ κεκλεμμένα πρόβατα, μὴ εὑρόντα δὲ ἐρωτᾶν τὸν θεὸν τίς ἐστιν ὁ κλέψας. τότε πρῶτον, φασί, τὴν δρῦν φωνὴν ἀφεῖναι, ὅτι τῶν ἀκολουθούντων ὁ νεώτατος. ἐξετάσαντα δὲ τὸ λόγιον εὑρεῖν παρὰ τῷ ποιμένι νεωστὶ βοσκήσαντι τῷ χωρίῳ. ἀκόλουθοι δὲ λέγονται οἱ ποιμένες. ἦν δὲ τὸ ὄνομα Μαρδύλας ὁ κλέψας. τοῦτον λέγεται προσοργισθέντα τῇ δρυὶ θελῆσαι αὐτὴν ἐκκόψαι νύκτωρ. πελειάδα δὲ ἐκ τοῦ στελέχους ἀνακύψασαν ἐπιτάξαι μὴ τοῦτο δρᾶν. τὸν δὲ δειματωθέντα μηκέτι τοῦτο τολμῆσαι, μὴ θιγεῖν τοῦ ἱεροῦ τούτου δένδρου. οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ τόλμημα μηνῖσαι αὐτῷ τοὺς Ἠπειρώτας. ὅθεν καὶ λαβόντας δίκην ταύτην εἰσπράξασθαι τῆς ἀπ' αὐτοῦ ὑπομονῆς τὸν μάντιν προάγει. ἡ ἱστορία παρὰ τῷ Προξένῳ. Q.V.

328. ἐπακούσῃ] παροξυτόνως τὸ ἐπακούσαι. ἐπακούσῃ Ἀρίσταρχος, Ἀριστοφάνης ἐπακούσαι. H.

331. ἀποσπένδων] οὕτως Ἀρίσταρχος. ἡ δὲ Αἰολὶς ἐπισπένδων. H. Vind. 133.

332. κατειρύσθαι] παρακειμένου ἐστί· διὸ παροξύνεται. H.

334. ἀντὶ τοῦ ἀπερχομένη, μέλλουσα ἀπιέναι· ὅ ἐστι, συνέβη ἄνδρας Θεσπρωτοὺς θέλειν ἀποπλεῦσαι εἰς τὸ Δουλίχιον. H.

ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε] ἀλλὰ ἐμὲ πρότερον πλεῦσαι ἐποίησεν. νοητέον δὲ ὅτι ὕστερον μετὰ τὸ ἀποστρέψαι τὸν Ὀδυσσέα ἐκ τῆς Δωδώνης μέλλει αὐτὸν ἐκπέμψαι ὁ Φείδων μετὰ νηὸς καὶ ἀνδρῶν ἰδίων. Q.

335. πολύπυρον] γρ. πολύμηλον. H. Vind. 56. et 133.

336. ὡς ἐμοῦ δηλονότι τοῦτο αἰτησαμένου. H.

6. Μαρδύλας V. Μαυδύλας Q. Neutrum nomen aliunde cognitum.

9. μὴ—δένδρου] Sic Q. et V. ed. ant. In recentioribus autem verba hæc ita, λέγουσαν, μὴ θίγειν τοῦ ἱεροῦ τούτου δένδρου, rejiciuntur post illa μὴ τοῦτο δρᾶν, satis probabiliter. BUTTM.

θιγεῖν scripsi pro θήγειν.

11. ἀπ' om. V. in ed. antiquis.

ὑπομονῆς] ἐπιμονῆς codex Barnes.

12. προάγει — Προξένῳ om. Q. Proxenum scripsisse Epirotica constat. Vid. ad α, 259. BUTTM.

13. ἐπακούσαι correxi pro ἐπακοῦσαι cum Nauckio Aristoph. p. 42. ἐπακούσῃ in textu habent M. et (superscripto ἐπακούσῃ ἀρίσταρχος, ἀριστοφάνης ἐπακοῦσαι) Vind. 133. et superscripto ἐπακοῦσαι H. Aristophanes optativum posuerat ἐπακούσαι.

15. ἡ δὲ Αἰολὶς] Sic correxi pro οἱ δὲ Αἰολεῖς. Recta scriptura servata est in alio codicis Harleiani scholio ad σ, 98. Eadem ἡ Αἰολικὴ est supra p. 590, 29.

23. ἰδίων Maius pro ἰδών.

www.libtool.com.cn

Βασιλῆϊ Ἀκάστῳ] *καὶ πῶς ἐν Ἰλιάδι Μέγητά φησιν εἶναι βασιλέα Δουλιχίου; βασιλέας οὖν τοὺς δυνάστας φησί.* H.Q.

338. *πάγχυ δύης*] *λείπει ἡ ἐξ, ἵν' ᾖ, ἐκ τῆς δύης ἐπὶ βλάβην ἔλθοιμι, ἢ ἐπὶ ταῖς συμβεβηκυίαις τιμωρίαις ἄλλην βλάβην ὑπομείναιμι.* B.

Ἀριστοφάνης, δύῃ ἐπὶ πῆμα γένηται, ἀντὶ τοῦ ἐπὶ τῇ δύῃ· ἵνα μοι πῆμα ἄλλο γένηται. δύναται δὲ λείπειν ἡ ἐξ, ἵν' ᾖ ἐκ τῆς δύης ἐπὶ βλάβην ἔλθοιμι. H.

343. *Ῥιανὸς, ῥωγαλέον.* H.

348. *γναπτὸν λέγεται τὸ ἐπικαμπὲς καὶ ὥσπερ εἰς ἑαυτὸ καμπυλοειδῶς νεῦον, ἐξ οὗ δὴ τὸ ἀνέγναψαν, ἤτοι ἀπὸ τοῦ γναπτοῦ ἐποίησαν καὶ διέλυσαν τὸν σχοῖνον.* H.

δεσμὸν ἀνέγναμψαν] *ἀνέλυσαν. τῇ γὰρ συνδέσει κεκαμμένα ἦσαν τὰ σχοινία.* B.

349. *Ἀριστοφάνης, κεφαλὴν δέ.* H.

350. *ξεστὸν ἐφόλκαιον*] *τὸ ἐπακολουθοῦν τῇ μεγάλῃ νηὶ σανδάλιον, παρὰ τὸ ἐφέλκεσθαι τῇ νηΐ. ἢ τὸ πηδάλιον.* B. *ἐφόλκιον*] *πηδάλιον, ἀπὸ τοῦ ἐφέλκεσθαι τὴν ναῦν, ἢ ἐφέλκεσθαι ὑπὸ τῆς νεώς.* P.V.

352. *θύρηθ'*] *τὸ πλῆρες θύρηθεν. μάλα, φησὶ, μετὰ τὸν πλοῦν ἐγενόμην ἔξωθεν τῆς θαλάσσης. τὸ γὰρ θύρηθεν σημαίνει τὸ ἔξωθεν ὅπερ Ἀττικοὶ θύρῃσι λέγουσι.* H.Q.

θύρηφι] *ἔξω ἀγόμενος.* V.

353. *δρίος*] *σύνδενδρον χωρίον, δρυώδης καὶ σύσκιος τόπος.* Q.

356. *μαίεσθαι*] *ἐπιζητεῖν τὴν ἐμὴν εὕρεσιν.* H.

361. *ὦ*] *γρ. ἄ.* H. *ἆ δειλὲ*] *τὸ ᾱ θαυμαστικὸν ἀντὶ τοῦ, τί ὦ δειλὲ καὶ ἄθλιε πλέον τῶν ἄλλων ξένων.* H. Vind. 133.

366. *νόστον*] *ὅτι ἤχθετο ὁ νόστος δηλονότι.* H.

368. *τολύπευσεν*] *μετὰ κακοπαθείας ἤνυσεν.* Q.

369. *τῷ κέν οἱ τύμβον*] *εἰ γὰρ ἐν Τρωσὶν ἐκεῖνος ἀπέθανεν, ἐποίησαν ἂν αὐτῷ καὶ τύμβον οἱ Ἕλληνες.* Q.

1. *Ἀκάστῳ*] *ἑκάστῳ* H. in lemmate scholii.

13. *ἀνέγναμψαν*] Cf. Etym. Gud. p. 54, 24. s. v. *ἀνέγναμψαν*, qui *ἀναγνάμψαι* explicat *ἐξαπλῶσαι καὶ τὸ τὰ δεδεμένα· ἀναλῦσαι.* *Δίδυμος ἐν ὑπομνήματι Ὀδυσσείας.*

15. *κεφαλὴν δέ*] *κεφαλήνδε* H. *κεφαλὴν* est in textu M., correctum in *κεφαλῆ*, superscripto *κεφαλήν*.

20. *θύρηθ'*] *θύρηφ'* Q.

22. *θύρῃσι*] Immo *θύρασι*.

23. *ἀγόμενος* Barnes. ex codice pro *εἴσμενος*.

www.klitool.com.cn

372. ἀπότροπος] κεχωρισμένος, ἄπωθεν τῆς πόλεως σὺν τοῖς ἐμοῖς τέκνοις τετραμμένος. B.Q.

375. οἱ μὲν —] καὶ ὧδε καὶ ἐν τοῖς ἑξῆς δύο στίχοις τὸ ἄρθρον ἐστί. H.

ἐξερέουσιν] ἀλλ' οἱ μὲν ἐν τῇ πόλει διατρίβοντες ζητοῦσι περὶ τοῦ Ὀδυσσέως, καὶ ὅσοι λυποῦνται ἀπελθόντος αὐτοῦ καὶ ὅσοι χαίρουσιν, οἱ μὲν ὡς ἐπιθυμοῦντες μαθεῖν εἰ ζῇ, οἱ δὲ εἰ ἀπέθανεν ὡς χαίροντες ἐπὶ τούτῳ. B.Q.

381. ἐμὰ πρὸς δώματ'] γράφεται καὶ, ἐμὸν πρὸς σταθμόν. B.

383. ἀκειόμενον] θεραπεύοντα, ἀνορθοῦντα, φιλοκαλούμενον. τινὲς δὲ ῥάπτοντα, καὶ ἀκεστρίας τὰς ῥαπτρίας. B.H.Q.

384. ὀπώρην] νῦν τὸ μετόπωρον. V. θέρος ὅτε θερίζεται ὁ σῖτος· ὀπώρη ὅτε τρυγᾶται ἡ ὀπώρα· νῦν δὲ τὸ φθινόπωρον. H.

389. λείπει τὸ ξενίσω. Vind. 133.

392. οἷον] ἀντὶ τοῦ, οἷος οὐδὲ ὁμόσας ἐφειλκυσάμην σε εἰς πειθώ. B.H. ἔφερόν σε εἰς τὸν ἐμὸν λόγον. H.

393. ἀλλ' ἄγε δὴ ῥήτρην] τὴν ἐπὶ ῥητοῖς καὶ ὁμολογουμένοις πράγμασι συνθήκην καὶ ὁμολογίαν. V.Q.

ὕπερθεν] γρ. ὄπισθεν. Vind. 133.

394. μάρτυροι] ἀντὶ τοῦ μάρτυρες· ἡ γὰρ εὐθεῖα ὁ μάρτυρος. H.Q.

396. πέμψαι] ἀντὶ τοῦ πέμψον. B.

397. Δουλίχιον] πόλις τῆς Κεφαλληνίας. V. εἰς Κεφαλληνίαν. Vind. 50.

398. εἰ δὲ καὶ μὴ ἔλθῃσιν ἄναξ] εἰ δὲ μὴ ἔλθοι ὁ σὸς ἄναξ ἤτοι ὁ Ὀδυσσεὺς ὡς ἀγορεύω, τοὺς σοὺς δμῶας καὶ δούλους ἐπισπεύσας αὐτοῖς καὶ κελεύσας βαλέειν ἐπὶ πέτρας ἐμὲ θέλησον ἤτοι κατακρημνίσαι, ὅπως καὶ ἄλλος πτωχὸς φυλάσσηται μὴ τὰ ψευδῆ λέγειν τοῖς ὑπερέχουσιν. Q.

399. ἐπισσεύας] ἀντὶ τοῦ ἐπίσσευον, ἐπίταξον. B. ἐπισσεύας] κελεύσας, ἐφορμήσας. H.V.

402. εὐκλείη] εἰρωνικῶς. Q.

10. φιλοκαλούμενον] φιλοκαλοῦντα B. et Eustath. p. 1764, 60.

11. ῥαπτρίας H. ῥαπηγυίας Q. ἰατρείας B.

22. Κεφαλλ— utrobique scripsi pro Κεφαλ—.

25. ἐπισπεύσας] Nimis lubrica fides in his litterarum apicibus exscriptoris Mediolanensis, et nimis parva in codd. differentia inter σσ et σπ, quam ut veram hanc esse lectionis varietatem pro certo credere possim. BUTTM.

www.libpool.com.cn

403. ἅμα τ' αὐτίκα καὶ μετέπειτα] ὡς ἐν ἤθει συλλήβδην καὶ νῦν καὶ ὕστερον. H.

406. λιτοίμην] ἱκετεύσαιμι. V.

ἀλιτοίμην] ἁμαρτήσαιμι. H.

αὐθαιρέτως καὶ ἑκουσίως ἁμάρτοιμι εἰς τὸ θεῖον. ἢ μετ' εἰρωνείας φησὶ, λιτανεύσαιμι ἂν καὶ εὐξαίμην ποτὲ εὐπροσώπως τὸν Δία, ἐάν τε ἀδικήσω. B.H.Q.

410. ἀγχίμολον] τοπικὸν ἐπίρρημα ἢ χρονικὸν ὡς τὸ ἔναγχος. B.

411. ἔρξαν] συνέκλεισαν, κατέκλεισαν. ψιλωτέον δὲ τὸ ἔρξαν ἀντὶ τοῦ κατέκλεισαν. τὸ γὰρ δασυνόμενον ἀντὶ τοῦ ἔθυσαν. ἐτυμολογεῖται δὲ τὸ ἔρξαν ἀντὶ τοῦ ἔκλεισαν ἀπὸ τοῦ εἴργω τὸ κωλύω, τὸ δὲ ἔρξαν ἀντὶ τοῦ ἔθυσαν ἀπὸ τοῦ ἔρδω τὸ θύω. B.Q.

415. τηλεδαπῷ] πόρρωθεν ἀφιγμένῳ ἢ ξένῳ. H.

οἰζὺν] ἔστιν οἱ ἐπίρρημα σχετλιαστικὸν καὶ σημαίνει τὴν κακοπάθειαν. καὶ ἐξ αὐτοῦ γίνεται ῥῆμα οἴζω καὶ κατὰ διάλυσιν οἰίζω, καὶ πλεονασμῷ τοῦ υ οἰϊζύω, καὶ ἐξ αὐτοῦ οἰϊζύς. H.Q.

417. νήποινον] ἀνεμποδίστως, ὑπὲρ οὗ ποίνην οὐδεὶς εἰσπράσσεται. B.

425. σχίζῃ] σχίζη λέγεται τὸ ἀποσχισθὲν μέρος τοῦ ξύλου. H.

ἣν λίπε κείων] ἀπὸ τοῦ κέω τοῦ σημαίνοντος τὸ κλῶ. κλῶν γὰρ τὰ ξύλα ταύτην εἶασε τὴν σχίζαν ὡς ἐπιτηδείαν εἰς τὸ κρούειν τὰ ἱερεῖα. ἢ κείων ἀντὶ τοῦ καίων, ἔνθεν καὶ τὸ "κειάμενοι πυρὰ πολλά" (Il. ι, 234.). καίων οὖν τὰ ἄλλα ξύλα ταύτην κατέλιπεν καὶ οὐκ ἐνέκαυσεν, ὡς ἐπιτηδείαν πρὸς τὸ τύπτειν τὰ ἱερὰ τῆς σφαγῆς. B.H.Q. κείων] σχίζων, ἢ καίων. V.

427. αἶψα δέ μιν διέχευαν] εἰ κατέτεμε, πῶς πάλιν ἐμίστυλλον; ἀλλὰ τὸ μὲν διέχευαν, ἐμέλισαν, τὸ δὲ μίστυλλον, εἰς μικρὰ τὰ κρέατα ἔνεμον. τινὲς δὲ τὸ διέχευαν, εἰς τὸ πλάτος διέθηκαν. B.Q.

ὠμοθετεῖτο] οὐχ, ὡς τινὲς, τὴν ὠμοπλάτην τοῖς θεοῖς ἐπετίθει, ἀλλὰ

6. ποτὲ] τότε B.
ἐάν σε] ἐάν κεν B.H.
15. οἱ addidi ex H.
21. κέω H. καίω B.Q. Per ε apud Eustath. p. 1766, 21.
23. κειάμενοι H. κῆα μὲν B.Q.
30. ὠμοθετεῖτο] Hesychius, ὠμοθετεῖν, τὸ ἀφ' ἑκάστου μέρους τοῦ ἐσφαγμένου ἱερείου ἀφαιρεῖν, ἔτι ὠμοῦ ὄντως καὶ ἐπιτιθέναι ἐπὶ τὴν θυσίαν. ἐξηγεῖται δὲ αὐτὸ ὁ Ὅμηρος (ὁ Ὁμηρικὸς vel Σέλευκος ὁ Ὁμηρικός Schmidtius in Schneidew. Philol. vol. 3. p. 456.)
δὲ post τινὲς lectum delevit Buttmann.

www.libtool.com.cn

πάντοθεν ἀρχόμενος. B.Q. ὠμῶν ὄντων τῶν κρεῶν ἀπήρχετο τοῖς θεοῖς. V.

428. πάντοθεν ἀρχόμενος] Ἀρίσταρχος πάντων, αἱ δὲ εἰκαιότεραι πάντοθεν. H.

429. παλύνας] καταπάσας αὐτὰ τῷ ἀλεύρῳ. οἱ δὲ, μάζας ποιήσας καὶ συμπλάσας αὐτὰ τῷ ἀλεύρῳ, καὶ καταπάσας αὐτὰ τῷ δώρῳ ἤτοι τῷ σίτῳ, ἵνα καὶ ἐκ τοῦ ἄρτου ἀπάρχωνται. B.H.Q. ἐπιπάσας; ἵνα καὶ τοῦ ἄρτου ἀπάρχωνται. ἢ ὅτι πρὸ τῆς τοῦ λιβανωτοῦ εὑρέσεως ἀλφίτοις πρὸς τὸ θυμιᾶν ἐκέχρηντο. εἰς μνήμην οὖν τῆς παλαιᾶς διαίτης καὶ οἱ μεταγενέστεροι ἄλφιτα ἐθυμίων μετὰ τῶν ἀπαρχῶν. Q. ἀνατρίψας καὶ μαζοποιήσας. V.

432. ἐλεοῖσιν] μαγειρικαῖς τραπέζαις. B. δασύνεται τὸ ἐλεοῖσιν. H.

ἂν δὲ συβώτης] ἀνίστατο δὲ ὁ συβώτης μαγειρεύσων. H.

433. δαιτρεύσων] κατακόψων αὐτά. B. κατακόπτων αὐτὰ, μαγειρεύων. Q. δαιτρεύων] μερίσων. V.

435. τὴν μὲν ἴαν νύμφῃσι] ὡς ποιμενικοῖς προστάταις. B.Q. καὶ Σιμωνίδης θύειν αὐτούς φησι Νύμφαις καὶ Μαιάδος τόκῳ, οὗτοι γὰρ ἀνδρῶν αἶμ' ἔχουσι ποιμένων. B.H.M.Q.V. ταύτην οἱ νεώτεροι Ἄτλαντος παῖδά φασι. H.

436. θῆκεν] ἐν μέρει ἔθηκε. B.

437. νώτοισιν διηνεκέεσσι] συνεχέσι νωτιαίοις κρέασι. κατ' ἐξαίρετον αὐτὸν ἐτίμα δίχα τῶν μερίδων. B.Q.

438. κύδαινε] εὔφραινε. H.

443. δαιμόνιε] ὦ κακοδαιμονέστατε. τοῦτο δέ φησιν οἰκτείρων καὶ συμπαθῶν. B.Q.

446. ἄργματα θῦσε] τὰς ἀπαρχὰς τῶν μερίδων, ἢ τὰ ἀπομερισθέντα τοῖς θεοῖς. θῦσε, δὲ, ἐθυμίασεν. οὐδέποτε γὰρ θῦσαι ἐπὶ τοῦ σφάξαι ἱερεῖόν φησι. B.Q.

447. καὶ τοῦτο ἐξ ἐπαναλήψεως ἐπ' αὐτοῦ τοῦ Ὀδυσσέως. H.

5. τῷ ἀλεύρῳ om. B.Q.

6. τῷ δώρῳ] Eustath. p. 1766, 38. παλύνας, τουτέστι λευκάνας καὶ καταπάσας ἀλφίτου ἀκτῇ, τουτέστι τῷ δώρῳ ἢ κλάσματι.

12. ἐλεοῖσιν cum spiritu aspero H. in textu.

18. Simonidis fragmentum ex duobus trimetris constat, quorum priorem restituit Barnesius, θύουσι Νύμφαις τῷ τε Μαιάδος τόκῳ. αὐτούς om. H.

19. αἶμ'] Scribebatur αἶμα. In M. αἶμα legitur post ποιμένων.

ποιμένων] ποιμανικῶν B.Q.

www.libtool.com.cn

449. Μεσαύλιος] ὄνομα κύριον. V. ἀπὸ τῆς μεσαύλου, τῆς κατ' ἀγροὺς ἐπαυλίας τὸ ὄνομα. ὁ νοῦς, τὸν Μεσαύλιον δοῦλον ὄντα ἐξωνήσατο ὁ συβώτης, καὶ οὕτως ἐκτήσατο μόνος τοῦ Ὀδυσσέως ὑποχωρήσαντος. Q.

457. σκοτομήνιος] ἀσέληνος, σκοτεινή· ἢ καθ' ἣν ἡ σελήνη ἀπεσκότωται τῇ πρὸς τὸν ἥλιον συνόδῳ. μήνη γὰρ ἡ σελήνη. V. καθ' ὃν καιρὸν οὐκ ἔστι σελήνη. P.

458. Ζέφυρος μέγας αἰὲν ἔφυδρος] ὕδωρ ἐπάγων. V. ὑετὸν ἐπαγόμενος. οὐκ ἀεὶ, ἀλλ' ἐν χειμῶνι. B.Q.

463. εὐξάμενος] μάρτυρα τὸν θεὸν ἐπικαλούμενος ὅτι ἀληθεύω. ἢ καυχησάμενος. B.Q.

464. ἠλεὸς] ἠλιθιοποιὸς, μάταιος. V.

466. προέηκεν] οὕτως αἱ Ἀριστάρχου. ὁ δὲ Ἀριστοφάνης, παρέθηκεν, ὃ καὶ ἄμεινον. H.Q. Vind. 133.

ἄρρητον ἄμεινον] ὅπερ τὸ λόγιον κρεῖττον ἦν μεῖναι ἄλεκτον. B.Q.

467. ἀλλ' ἐπεὶ οὖν τὸ πρῶτον] ἀλλ' ἐπεὶ κατὰ πρώτην ἐπιβουλὴν λέγειν ἠρξάμην, οὐ μὴ ἐπικεύσω ἤτοι κρύψω ὅπερ εἰπεῖν ὑπεσχόμην. Q.

468. εἴθ' ὡς ἠβώοιμι] ἔνθεν δῆλον ὅτι τὸ εὐξάμενος ἀντὶ τοῦ καυχησάμενος. H.Q.

474. τεύχεσι γρ., οὐ τείχεσι. H.

476. πηγυλίς] ὀξυτόνως τὸ πηγυλίς, ἀντὶ τοῦ παγετώδης. B.Q.

πηγυλίς] παγετὸς, ψυχρά. πάχνη] πυκνότης ἀέρος ψυχρά. V.

χιὼν] ἡ χιὼν δροσῶδές ἐστιν ὕδωρ καταφερόμενον. ἔπειτα πηγνυμένη διὰ τὸ ψῦχος καλεῖται πάχνη· εἰ δ' ἐπὶ πολὺ, κρύσταλλος. πάχνη οὖν ἐστιν ἡ πεπηγυῖα χιών. δηλοῖ δὲ διὰ τῶν λεγομένων τὴν προσθήκην τῆς ψύξεως. ἡ γὰρ χιὼν λεπτὴ, ἡ πάχνη παχυτέρα, ἡ κρύσταλλος παχυτάτη. B.H.Q.

13. Ἀριστάρχου] ἀριστάρχειοι Q.

22. γρ.] Id est γραπτέον.

τείχεσι] τείχεσσιν H.

24. In priori harum glossarum voce πηγυλὶς substantive excepta est. Eustath. πηγυλὶς ἦγουν παγετὸς, κατὰ τοὺς παλαιοὺς, ἢ παγετώδης. Hinc apparet pro ψυχρά legendum esse, aut cum Barnesio, ἢ ψυχρά; aut substantive, ψύχρα: vid. not. ad ε, 467. Certius autem pronuntio in altera glossa scribendum esse ψύχρα: nam πυκνότης ψυχρὰ nihili est: sed ἡ ψύχρα recte definitur πυκνότης ἀέρος. BUTTM.

25. ἡ χιὼν] ἡ om. B.Q.

πηγνυμένη] πηγνύμενον B.Q.

27. χιὼν Buttm. pro πάχνη.

www.libtool.com.cn

477. περιτρέφετο] ἐπήγνυτο. ὅθεν καὶ τροφὴ ἡ πηγνύουσα τὸ σῶμα. B.H.Q.

481. ἀφραδέως] γρ. ἀμαθίᾳ. γρ. ἀφραδίῃ. H.

482. ζῶμα] νῦν προφανῶς ζῶμα τὸν χιτῶνά φησιν, ὡς διὰ τῶν ἑξῆς δῆλον "παρά μ' ἤπαφε δαίμων οἰοχίτων' ἔμεναι." τινὲς δὲ ζῶμα φαεινὸν τὸν σιδηροῦν χιτῶνα. H.

485. ἐμμαπέως] ταχέως, προθύμως. V. ταχέως, ἅμα τῷ λόγῳ. οὕτω δὲ Φιλόξενος σχηματίζει τὴν λέξιν ἐν δευτέρῳ Περὶ μονοσυλλάβων ῥημάτων· παρὰ τὸ ἔπος γράφουσι σύνθετον τὸ ἀμεπής, ὡς ψεῦδος ἀψευδής. εἶτα ἐξ αὐτοῦ γράφουσι μεσότητος ἐπίρρημα ἀμεπῶς, ὡς ἀψευδῶς, καὶ ἐν Ἰωνικῇ διαλύσει ἀμεπέως, ὡς ἀψευδέως. καὶ ἐπεὶ τρεῖς βραχεῖαι ἀλλεπάλληλοι οὐ συνίστανται, τῷ διπλασιασμῷ τοῦ μ καὶ ἀντιπαραχωρήσει τοῦ α καὶ ε γίνεται ἐμμαπέως. B.H.Q. Vind. 133.

488. Καλλίστρατος, παρά μ' ἤλασε. H. Vind. 133.

489. ἔμεναι] Καλλίστρατος, ἴμεναι. H. Vind. 133.

490. ὁ δ' ἔπειτα νόον σχέθε] ὁ δὲ Ὀδυσσεὺς ἀκούσας ὧν εἶπον αὐτῷ τὸν νοῦν ἐκράτησεν οὕτως, καθὼς πέφυκεν εἶναι αὐτὸς περί τε τὰς βουλὰς καὶ τὴν μάχην. H. Vind. 133. γρ. σχέτο. M.

491. οἷος ἐκεῖνος] ποταπὸς ἦν ἐκεῖνος. θαυμαστικόν. B.

495. κλῦτε φίλοι, θεῖός μοι] ἀθετεῖται ὡς ἐκ τῆς Ἰλιάδος (β, 56.) μετενηνεγμένος. γελοῖον δὲ εἰπεῖν καὶ τὸν ἐν λόχῳ καθυπνωκέναι. ὁ δὲ νοῦς, θεῖός μοι ὄνειρος ἐφάνη. λοιπὸν τὰ παρὰ τοῦ ὀνείρου ῥηθέντα ἐπάγει, ἐπειδὴ τῶν νηῶν πόρρω ἐσμὲν, ἀπέλθῃ τις καὶ εἴπῃ τῷ Ἀγαμέμνονι πλείους ἡμῖν ἀπὸ τῶν νεῶν πέμψαι συμμάχους, ἵνα μὴ πόρρωθεν ὄντες τῶν ὁμοφύλων ὀλίγοι ὑπάρχοντες βλαβῶμεν ὑπὸ τῶν πολεμίων. H.

496. τινὲς φασὶν ἐνίους ἠγνοηκότας τὸ ἔθος τοῦ ποιητοῦ, ὅτι ἔθος ἐστὶν αὐτῷ ἀπὸ τοῦ γάρ ἄρχεσθαι, διὰ τοῦτο πεπλακέναι τὸν στίχον. H.

1. ἐπήγνυτο om. B.Q. verbis ὅθεν —σῶμα post παγετώδης (p. 598, 23.) positis.

3. ἀμαθία—ἀφραδίη (sic H.)]Sunt dativi (—α, —η). Prius e glossa natum. BUTTM. In M. ἀφραδίης est in textu.

9. ἀμεπής] Nimirum ab ἅμα, sed cum leni ut in ἄμυδις. BUTTM.

11. ἐπεὶ] ἐπεὶ ἅμα H., omisso ἀλλεπάλληλοι.

13. ἀντιπαραχωρήσει] ὑπερθέσει B.

17. ἀκούσας ὧν H. ἀκούων Vind.

19. γρ. σχέτο] Spectat fortasse ad v. 494. ubi M. in textu habet κεφαλὴν θέτο pro κεφαλὴν σχέθεν.

21. ἀθετεῖται] Idem tradit schol. Il. β, 56.

www.libtool.com.cn

εἴη] πορεύοιτο. V.

500. βάλε] ἀπέθετο. γρ. θέτο. H.

503. ὡς νῦν ἡβώοιμι] αἴθε οὕτως ἀκμάζοιμι ὡς καὶ τὸ πάλαι, ἵν' αἰδεσθείς τις τὸ γενναῖον τῆς νεότητος ἔδωκέ μοι χλαῖναν. νῦν γὰρ ἀτιμάζουσί με πένητα. H.

εἴθε μοι τις δοίη τῶν χοιροβοσκῶν ἱμάτιον ῥιγῶντι, δυσὶ τρόποις, φιλότητί τε καὶ ἀνδρὸς ἀγαθοῦ αἰδοῖ, ἤγουν ἐντροπῇ. καὶ ὁ Ἀθηνοκλῆς προηθέτει. ἀφανίζουσι γὰρ τὸ χωρίον τοῦ αἰνίγματος διαρρήδην αἰτοῦντος· ἄλλως τε καὶ ὁ Εὔμαιος ὕστερον λέγει "αἶνος μέντοι ἀμύμων ὃν κατέλεξας," H.

508. αἶνός μέντοι] αἰνιγματώδης ὁ λόγος ὃν εἶπες. B.

αἶνος] ἔπαινος, ὁ εἰς προτροπῆς περιπέτειαν παραινετικήν. καὶ Ἀρχίλοχος δὲ λέγει, αἶνός τις ἀνθρώπων ὡς ἄρα ἀλώπηξ καὶ αἰετὸς ξυνωνίην ἔμιξαν. αἶνος δέ ἐστι καὶ ὁ ὑποβεβλημένος λόγος, M.V.

509. παρὰ μοῖραν ἔπος] ἀσύμφορον, ἀνόητον. B.

511. ταλαπείριον] τὸν τλάντα πείρας πολλῶν πραγμάτων. Q.

512. ῥάκεα] παλαιὰ καὶ διερρωγότα ἱμάτια. τὸ δὲ δνοπαλίξεις ἀντὶ τοῦ ἀμφιέσεις, συρράψεις. δνοπαλίζειν τὸ ἐν χερσὶν ἔχειν, παρὰ τὸ δονεῖν ταῖς παλάμαις τὸ ληφθέν. τὸ δὲ ῥάπτεις προστακτικῶς ἀντὶ τοῦ ῥάπτε. H.

δνοπαλίξεις] διὰ χειρῶν ἕξεις. οἱ γὰρ ῥακοφοροῦντες συνεχῶς ἐφέλκονται αὐτὰ εἰς τοὺς γυμνοὺς τόπους τοῦ σώματος. παρὰ τὸ δονεῖν ταῖς παλάμαις τὸ ληφθέν. Καὶ ἄλλως. ῥάπτεις τὰ σὰ ῥάκη διεσχισμένα ὄντα. τὸ δὲ ῥάπτεις ἀντὶ τοῦ ῥάπτε. B.Q.

513. αὐτὰρ πολλαὶ χλαῖναι] χλαῖναι αἱ χλαμύδες καὶ τὰ ἔξωθεν περιβλήματα καὶ αἱ χλανίδες. B.H.Q.

ἐπημοιβοί τε] ἤτοι ἃς ἀμείψασθαί τις δύναται, ἢ καταλαμβάνειν

6. δυσὶ τρόποις—αἰδοῖ] Hæc verba sunt etiam in Q. adscripta ad ἀμφότερον v. 506.

8. προηθέτει] Versus 503—506. quibus quattuor obeli appicti sunt in M. In Q. tres tantum versus 504—506. obelis notati esse dicuntur. De verbo προαθετεῖν dictum ad α, 185. Athenocles autem est Cyzicenus grammaticus Aristarcho ætate, ut videtur, paullo major, de quo vid. ad schol. Il. ξ, 71.

14. ξυνωνίην (sic M.; ξυνωνίαν V.) ἔμιξαν] Apud alios ξυνωνίην ἔθεντο. Vid. Bergk. ad Archilochi fragm. 80.

16. τλάντα Buttm. pro τλῶντα.

19. ῥάπτεις hic et in proximo scholio male pro ῥάψεις.

25. αἱ χλαμύδες καὶ addidi ex H. χλαμύδες etiam V. habet, omissis mox καὶ αἱ χλανίδες.

27. καταλαμβάνειν] μεταλαμβάνειν V.

www.libook.com.cn

εἴ ποτε χείμων εἴη, ἢ ἄλλην ἀλλάσσειν ἀντὶ ἄλλης. χιτῶνες δὲ τὰ ἔσωθεν ἀνδρῶν ἱμάτια. B.Q.V.

521. παρεχέσκετ' ἀμοιβὰς] ἔν τισι διὰ τοῦ χ, ἵν' ᾖ, ἥτις παρεῖχεν αὐτῷ τὰς ἀμείψεις εἰς τὸ μεταμπίσχεσθαι. ἄκυρον δέ· οὐ γὰρ ἡ χλαῖνα παρεῖχε τὰς ἀμοιβὰς, ἀλλ' αὐτὴ παρέκειτο εἰς τὸ ἀμείβεσθαι. καὶ ἐπὶ τῶν Φαιάκων "εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί" (θ, 249.). H.Q.

παρεκέσκετ' ἀμοιβὰς] παρέκειτο ἡ χλαῖνα ἀμοιβὰς οὖσα, ὅ ἐστιν ὑπ' ἀμοιβῇ κειμένη. τοῦτο δὲ ἐπεὶ τοῖς ἥρωσιν ἅτε δὴ ἀνδρείαν ἐπιδεικνυμένοις ἀπρεπὲς ἐλογίζετο δύο χλαίνας ἀμπέχεσθαι. διὸ ἔφη αὐτὴν ἀμοιβαῖα· ὡς γὰρ στερεωτέραν ἐκείνην τὴν χλαῖναν παρέθηκεν, ἵνα τέως μὲν τῇ ἐλαφροτέρᾳ καλύπτοιτο, εἰ δὲ χειμάσει, ἀμείψας ταύτῃ χρήσαιτο. δύο γὰρ φορεῖν ἀπρεπὲς ἦν τότε. B.H.Q.

ἀμοιβὰς] τινὲς ἐπιρρηματικῶς ἀκούουσιν ἀντὶ τοῦ ἀμοιβήδην ἔννυσθαι. H.

παρεῖχε τὰς ἀμοιβὰς καὶ ἐναλλαγάς. ἢ παρεκέσκετο, παρέκειτο ἀμοιβὰς ἐσθῆς ἐναλλασσομένη. V.

522. Ἀριστοφάνης καὶ Ῥιανὸς, εἴνυσθαι, ὡς τὸ "θριξὶ δὲ πάντα νέκυν καταείνυον" (Il. ψ, 135.). H.

523. παρ' αὐτὸν] πλησίον αὐτοῦ, οὐ τῇ αὐτῇ σκέπῃ σκεπόμενοι. H.

525. ἤνδανεν] ἀπὸ τοῦ ἥδω γίνεται, τὸ εὐφραίνω. B.

526. χαῖρε δ' Ὀδυσσεὺς] ἔχαιρεν ὁ Ὀδυσσεὺς ὅτι ὁ συβώτης χωρὶς ὢν αὐτοῦ οὐκ ἐπαύετο φροντίζων τοῦ Ὀδυσσέως τῆς ζωῆς καὶ τοῦ βίου. Q.

528. ὅπλα ἐφόρει ἀκόντιον καὶ ξίφος. H.

529. ἀλεξάνεμον μάλα πυκνὴν] παρὰ τῶν ἀγροικοτέρων λεγομένην κάπα. Q. Vind. 133. ἀλεξάνεμον, βοηθὸν ψύχους, δυναμένην ἀντιπράττειν ἀνέμῳ, ἢ ἀπείργουσαν τοὺς ἀνέμους. Vind. 133.

530. ἂν δὲ νάκην] γρ. ἐν. H. Vind. 133.

2. ἀνδρῶν] ἀνδρεῖα V. Mox versus 515—517. absunt ab H.P. et Vindob. tribus. In M. leguntur in margine.

3. ἔν τισι addidi ex H., in quo ἔν τε esse dicitur.

8. ἀμοιβὰς] Hoc pro nominativo accepit interpres. Cf. Apollon. Lex.

9. ὑπ'] ἐπ' H.
ἐπεὶ Maius pro εἶπε.

13. δύο—τότε om. B.Q.

17. ἐσθῆς Buttm. pro εἶδος.

28. κάπα] Vide exempla ab Ducangio allata p. 584.

www.ibtdoi.com.cn

νάκην] δέρμα αἰγὸς δασύμαλλον. V. γράφεται νάκος παρὰ Θεοκρίτῳ. Vind. 133.

531. ἀλκτῆρα] ἀποσοβητῆρα. B.

533. ὑπαιωγῇ] τὴν πέτραν τοῦ Βορρᾶ ὑπαιωγὴν εἶπε, παρόσον οὐ διαβαίνει αὐτὴν ὁ ἄνεμος, ἀλλ' αὐτόσε ἄγνυται αὐτοῦ ἡ ἰωὴ, ὅ ἐστιν ἡ πνοή. H.

ὑπαιωγῇ] σύνθετόν ἐστι τὸ ὄνομα ἀντὶ τοῦ, ἐν τῷ σκέποντι καὶ ἀπείργοντι τὸν βορρᾶν τόπῳ. τὴν δὲ πέτραν τοῦ βορρᾶ ὑπαιωγὴν εἶπε παρόσον οὐ διαβαίνει αὐτὴν ὁ ἄνεμος, ἀλλ' αὐτόσε ἄγνυται αὐτοῦ ἰωή. B. ὑπ' ἰωγῆς] ἀπανεμίας, ἡσυχίας. B. ἰωγῇ] τῇ σκέπῃ. V.

Ἐρεχθεὺς ὁ τῶν Ἀθηναίων βασιλεὺς ἴσχει θυγατέρα τοὔνομα Ὠρείθυιαν κάλλει διαπρεπεστάτην. κοσμήσας δὲ ταύτην ποτὲ πέμπει καινηφόρον θύσουσαν εἰς τὴν ἀκρόπολιν τῇ πολιάδι Ἀθηνᾷ. ταύτης δὲ ὁ Βορέας ἄνεμος ἐρασθεὶς λαθὼν τοὺς βλέποντας καὶ φυλάσσοντας τὴν κόρην ἥρπασεν. καὶ διακομίσας εἰς Θρᾴκην ποιεῖται γυναῖκα. γίνονται δὲ αὐτῷ παῖδες ἐξ αὐτῆς Ζήτης καὶ Κάλαϊς, οἳ καὶ δι' ἀρετὴν μετὰ τῶν ἡμιθέων εἰς Κόλχους ἐπὶ τὸ νάκος ἔπλευσαν ἐν τῇ Ἀργοῖ. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ. H.V.

Ο.

ΥΠΟΘΕΣΙΣ.

Ἡ Ἀθηνᾶ πρὸς Τηλέμαχον ἀπῆλθε καὶ διεσάφησεν αὐτῷ περὶ τοῦ εἰς τὴν Ἰθάκην ἀντιστραφῆναι, ὃς τὸν μάντιν λαβὼν Θεοκλύμενον,

1. Θεοκρίτῳ] 5, 2. ubi schol. vicissim, νάκος Ζηνόδοτος τὸ κῶδιον, τὸ μαρσύπιον. καὶ νάκος τὸ τῆς αἰγὸς δέρμα. Ὅμηρος "νάκος ἕλετ' αἰγὸς ὀριτρόφου." Ceterum annotatio hæc γ. ν. π. Θεοκρίτῳ recentis alicujus grammatici est.

7. ὑπαιωγῇ] Male in Maii editione ὑπ' ἰωγῆς, quod repugnat explicationi scholiastæ. Conf. schol. ad ε, 404. Aristarchum ὑπ' ἰωγῇ, non ὑπαιωγῇ, probasse ex Apollonii verbis in Lexico s. v. ἰωγή colligi potest. Vid. Lehrs. Aristarch. p. 118.

8. τὴν δὲ πέτραν—ὑπαιωγὴν Buttm. pro τῆς δὲ πέτρας—ὑπ' ἰωγήν.

10. ἰωὴ] κιὼν B. Correxi ex scholio præcedente.

ὑπ' ἰωγῆς] Nam sic in libris quibusdam (velut Vind. 50.) scriptum.

11. Vere monet Barnesius hanc fabulam hic sine causa appositam esse, cum boreæ venti nomen tantum in textu compareat. BUTTM.

Ὠρείθυιαν scripsi pro Ὠρίθυαν.

16. αὐτῷ post αὐτῆς habet H.

Ζήτης] ζῆτις H.

17. ἡμιθέων] Conf. schol. ad μ, 69.

18. Ἀργοῖ] ἀργῷ H.

www.libtool.com.cn

μετ' αὐτοῦ διέξεισι· καὶ ἀναγνωρισμὸν τοῦ Ὀδυσσέως λαμβάνει· καὶ οὕτως μετὰ τὸ ἐν Ἀθηνᾷ τὸν Τηλέμαχον τῷ Ὀδυσσεῖ κατὰ τῶν μνηστήρων ὄλεθρος γίνεται. H.

ΑΛΛΩΣ.

Τηλέμαχον Ἀθηνᾶ ὄναρ ἐπιστᾶσα εἰς Ἰθάκην ἐπανελθεῖν προτρέπεται· ὃς δῶρα παρὰ Μενελάου λαβὼν πέμπεται. καὶ ἐμβαίνειν μέλλων εἰς τὴν ναῦν Θεοκλύμενόν τινα Ἀργεῖον μάντιν ἀναλαμβάνει ἐπὶ φόνῳ φεύγοντα. καὶ Εὔμαιος Ὀδυσσεῖ διηγεῖται ὡς Φοίνικες αὐτὸν ληϊσάμενοι ἐκ Συρίας νήσου ἀπέδοντο Λαέρτῃ. καὶ ἡ Τηλεμάχου ναῦς κατάγεται εἰς Ἰθάκην. καὶ ταύτην εἰς ἄστυ ἀποπέμψας αὐτὸς πρὸς Εὔμαιον ἔρχεται. V.

ΑΛΛΩΣ.

Ἀθηνᾶς Τηλεμάχῳ κατ' ὄναρ παρακελευσαμένης αὐτὸν καὶ Πεισίστρατον παρὰ Μενελάῳ δῶρα λαβόντας ἀπιέναι, Πεισίστρατος μὲν μετὰ τῶν ἁρμάτων ἄπεισι πρὸς τὸν πατέρα, Τηλέμαχος δὲ Θεοκλύμενον τὸν μάντιν ἀναλαβὼν εἰς τὴν ναῦν ἀποπλεῖ. γίνεται δὲ ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς Εὔμαιον ὁμιλία, καθ' ἣν Εὔμαιος ἀπαγγέλλει ὡς ἀπὸ τῆς ἠπείρου διά τινων ἐμπόρων ἐδουλαγωγήθη, καὶ ὡς ἦλθεν εἰς τὴν Ἰθάκην καὶ Λαέρτου πειρᾶται δεσπότου. P.Q.

---

1. ἡ δ' εἰς εὐρύχορον] οὐ νῦν, ἀλλ' ὅτε τῷ νυμφαίῳ τὴν πατρίδα ἐγνώρισεν ὁ Ὀδυσσεύς. λέγει οὖν ἐκεῖ "τώγ' ὡς βουλεύσαντε διέτμαγεν, ἡ μὲν ἔπειτα εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος" (ν, 439.). Q.

5. εὕδοντε] καθεύδοντε, δυϊκῶς. V. συλληπτικὸς δὲ ὁ τρόπος, ἀγρυπνεῖ γὰρ ὁ ἕτερος, ἢ ἀντικείμενος ἐπὶ τῷ εὕδειν. H.

6. πρὸς τὸ δεύτερον πρῶτον ἀπήντησεν. καὶ ἀντίπτωσις ἀντὶ τοῦ ὑπὸ μαλακοῦ ὕπνου δεδμημένον. H.

8. ἤθροιζεν οὗτος καὶ συνῆγεν· ἢ τὰ μελεδήματα ἐκεῖνον διανίστη καὶ διήγειρεν. H.

νύκτα δι' ἀμβροσίην] ἀμβροσίαν λέγει τὴν νύκτα ὡς ἄφθαρτον. οὐ γὰρ πέφυκεν αὕτη ὑπὸ τῶν βροτῶν ἠττᾶσθαι, ἀλλὰ μᾶλλον νικᾶν

5—11. Eadem Eustathius p. 1772.

www.libpol.com.cn

ἐσαεί, καθάπερ ἀνάσσειν τὸν ὕπνον λέγεται θεῶν καὶ ἀνθρώπων (Il. ξ, 233.). Q.

9. ἀγχοῦ δ' ἱσταμένη] οὐκ ἀναγκαῖον ὁμοιοῦσθαι ἀνθρώπῳ τὴν Ἀθηνᾶν ἅτε μὴ φαινομένην νυκτὸς οὖσης. Q.

10. τὸ ἀπό ἀναστρεπτέον· τὸ δὲ ἀλάλησαι προπαροξυτόνως· ἢ ὅτι ἀπὸ τοῦ ἀλάλημαι. H.

12. ἄσωτοι γὰρ οἱ μνηστῆρες, ὥστε μὴ δυνάμενοι φυλάξαι. H.

13. τηϋσίην] ματαίαν. γίνεται δὲ ἀπὸ τοῦ αὖτως ἀντὶ τοῦ μάτην. B.Q.

14. αἱ τῶν ἀνάνδρων βουλαὶ κατὰ καιρὸν συμβουλῆς τῆς μαχίμου συστέλλονται, καὶ ἀγεννῶς πολλάκις ἐκλιμπάνουσι τῇ πρὸς τοὺς ἐναντίους δειλίᾳ· διὰ τοῦτο, φησὶν, ὁ Μενέλαος γενναῖος ὑπάρχων περὶ τὸν πόλεμον ἀγαθὸς τὴν βοὴν εἶναι λέγεται. H.

16. ὅτι Ἰθακήσιος ὁ Ἰκάριος, οὐ Σπαρτιάτης, ἀδελφὸς Τυνδάρεω. H.

ἀδελφοὶ τῆς Πηνελόπης δύο, Σῆμος καὶ Αὐλήτης· ὁ δὲ Ἰκάριος ἐκ Μεσσήνης ἦν τῆς Κεφαλληνιακῆς· ἐπεὶ οὐχ ὁρᾶται ἐν Ἰθάκῃ ἀναστρεφόμενος. ἀλλ' οὐδὲ Λάκων· ὅθεν οὐδὲ ἐνέτυχε αὐτῷ Τηλέμαχος ἐν τῇ εἰς Λακεδαίμονα ἀποδημίᾳ. H.

ἤδη γάρ ῥα πατήρ τε] Ἰκάριος ὁ Οἰβάλου γαμεῖ Δωροδόχην τὴν Ὀρτιλόχου, ἢ κατὰ Φερεκύδην Ἀστεροδίαν τὴν Εὐρυπύλου τοῦ Τελέστορος. πυθόμενος δὲ Λαέρτης περὶ τῆς Πηνελόπης ὅτι καὶ τῷ

8. Ad τηϋσίην in V. adscripta est glossa Hesychii, τηϋσίην· ματαίαν. τηϋσίην ὁδὸν ἔλθῃς. τινὲς ἀρχαίαν. ἄλλοι βλαβερὰν, ἢ περιβόητον. de qua Buttm. "Eadem hæc apud Hesychium leguntur. Male autem Barnesius verba τηϋσίην ὁδὸν ἔλθῃς e scholio expungebat, e quibus solis cognoscitur hanc glossam non e commentariis in lexica sed e glossario potius in scholia transiisse. Pro ἀρχαίαν autem idem reponebat ἀργὴν, quoniam ap. Hesych. est ἀργίαν. Sed in codice ejus teste Schowio est ἀρχίαν. Quare de hoc adhuc videndum. Atque illud etiam memorabile videtur, in eodem Hesychiano codice verba Homerica sic proferri: συδευσίαν ὁδὸν ἔλθῃς: unde editores fecerunt σὺ δὲ τηϋσίαν: neque ego illos reprehendo: at pungit me comparatio ineptæ illius sed pervulgatæ olim etymologiæ, qua τηϋσίη foret idem quod δευσίη; vid. supra schol. γ, 316. Aliam e lexico glossam translatam supra vidimus ad θ, 365."

14. ὅτι Cramerus. ὃ H.

16. Αὐλήτης] Αὐλητής apud Eustath. p. 1773, 21.

17. Μεσσ— et Κεφαλλ— scripsi pro Μεσ— et Κεφαλ—.

21. Ἀστεροδίαν scripsi pro Ἀστερωδίαν, quod prorsus vitiosum est. Veram nominis scripturam Ἀστερόδεια esse videri dixi ad α, 275. δ, 797. quæ scholia cum hoc comparanda.

22. πυθόμενος] Recte Barnesius ante illa πυθόμενος δὲ desiderat men-

www.libtool.com.cn

κάλλει καὶ ταῖς φρεσὶ διαφέρει πασῶν τῶν καθ' ἑαυτὴν γυναικῶν ἄγεται αὐτὴν τῷ παιδὶ Ὀδυσσεῖ πρὸς γάμον. ἢ τοσαύτην εἶχεν ἀρετὴν ὥστε καὶ τὴν Ἑλένην τὴν ἐκ Διὸς οὖσαν τῷ τῆς ἀρετῆς ὑπερβάλλειν κάλλει. ἡ ἱστορία παρὰ Φιλοστεφάνῳ καὶ Φερεκύδῃ. Q.V.

17. ὁ γὰρ περιβάλλει] ὅμοιον ἐστι τῷ "ἴστε γὰρ ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι" (Il. ψ, 276.). Q.

18. ἐξώφελλεν ἔεδνα] ἐξόχως ἠὔξησε τὰ διδόμενα ταῖς νύμφαις δῶρα. B.Q.

19. ἀθετεῖ Ἀριστοφάνης ἐπὶ σμικρολογίᾳ παντελῶς. ὀρθοτονητέον δὲ τὴν σεῦ καὶ τὴν ἐκ τῷ δόμων συναπτέον. H.

ἔνιοι τοὺς γ' νοθεύουσιν, ὅτι μηδὲν τούτων ἐπανελθὼν ποιεῖ· εἰ μὴ περισσὸν ἦν τὸ καινοτομεῖν, ἥκοντος τοῦ πατρός. H.

24. ἐπιτρέψειας] πίστευσον. εὐκτικὸν ἀντὶ προστακτικοῦ. B.H.

27. οὐ δύναται τὸ τοι ὀξύνεσθαι· ἴαμβος γάρ ἐστι τὸ δέ τοι. H.

29. ἐν πορθμῷ] πορθμὸς, στενὴ θάλασσα ὑπὸ γῆς περιεχομένη, ἰσθμὸς δὲ γῆ στενὴ ὑπὸ θαλάσσης περιεχομένη. Q.V. ἡ στενὴ θάλασσα μεταξὺ Ἰθάκης. B.

Σάμοιο] τὴν Σάμην εἴρηκε Σάμον διὰ τὸ μέτρον, καὶ τὴν δείλην δείελον (ρ, 606.) ἐν ἄλλοις. V.

31. ἀλλὰ τάγ' οὐκ οἴω] ἀντὶ τοῦ πέπεισμαι, ὡς τὸ "ἦ γὰρ οἴομαι ἄνδρα χολωσέμεν" (Il. α, 78.). B.Q. ὑποπτεύει Διονύσιος, ἐπεὶ τὸ μὲν δισταγμοῦ, τὸ δὲ ἀποφάσεως μετέχει. H.Q.

33. ἀλλὰ ἑκὰς] δι' ἄλλης ὁδοῦ πλέε. οὐ γὰρ λέγει ὅτι, μέσον πλέων τῶν νήσων μηδεμιᾷ ἔγγιζε. Q.

34. ὁμοίως ὡς καὶ ἐν ἡμέρᾳ, μηδαμοῦ ὁρμῶν ἐν τῇ νυκτί. H.

οὖρον] καιρὸν ἐπιτήδειον. Q.

37. ὀτρῦναι] γρ. ὄτρυνε. H.

tionem Penelopes; sed lepida idem audacia scholium ipsum interpolat non hanc tantum sed fratres etiam et sororem addens. Ceterum in ed. ant. scholiastæ vulg. hoc scholium cum duobus aliis mythici argumenti ad finem libri rejectum est. BUTTM.

4. καὶ Φερεκύδῃ om. Q.

12. τοὺς γ'] Versus 19—21. De v. 20. scriptura confusa est annotatio Eustathii, de qua diximus ad α, 337.

19. τὴν Σάμην εἴρηκε Σάμον] Conf. schol. Il. β, 634.

δείελον] δίλον editiones veteres. δίελον codex Barnesii.

22. ὑποπτεύει] Versus 31. 32.

23. μετέχει] μετέχουσιν H.

www.libtool.com.cn

39. ὁμῶς δέ τοι ἤπια οἶδεν] ὁμοίως δέ σοι ἤπια καὶ πραέα ὁ συβώτης οἶδεν, ἤτοι φροντίζων τῆς σῆς σωτηρίας. H.Q.

42. σῶς] σῶος, ὑγιὴς ἐν ἑαυτῷ ὑπάρχει. H.

45. λὰξ ποδὶ κινήσας] πρεπόντως ὁ μὲν ὑπὸ ἐκπλήξεως ἐπειγόμενος οὔτε τὸν καιρὸν οὔτε τὸ πρέπον θεωρεῖ. ἐφίστησι δὲ αὐτὸν εἰς ταῦτα ὁ Πεισίστρατος. Q.

νοθεύεται ὡς διαπεπλασμένος ἐξ ἡμιστιχίου τῆς κ Ἰλιάδος (158.) ἐκεῖ γὰρ προσηκόντως Νέστωρ κοιμώμενον Διομήδην ἀνίστησι, κύψαι κατοκνήσας διὰ τὸ γῆρας. H. Vind. 133.

46. εἰς τὸ Πεισίστρατε ἡ στιγμή. H.

47. πρήσσωμεν] περάσωμεν. V.

49. οὕπως ἐστίν] φησὶν ὁ Πεισίστρατος, κατὰ τὴν νύκτα, ὦ Τηλέμαχε, οὐ δυνατὸν ἐλαύνειν καὶ δι' ἅρματος περᾶν τὸν δρόμον. ἀλλὰ μείνωμεν ἕως ἂν ὁ Μενέλαος ἔλθῃ καὶ δῶρα θήσει ἐν τῷ ἅρματι. Q.

51. ἐπιδίφρια] ἐπὶ τὰ ἅρματα κομισθησόμενα. B. ἐπὶ τὸν δίφρον τιθέμενα ἢ τὸ ἅρμα. V.

58. ἀναστρεπτέον τὴν παρά. H.

62. παριστάμενος δὲ προσηύδα] ἔπος ηὔδα superscr. in H.

65. εἰπὲ αὐτῷ ἀπελθεῖν εἴσω τῆς πατρίδος. H.

71. ἀμείνω δ' αἴσιμα πάντα] τὰ δίκαια, οἷον εἰρημένα καὶ προσήκοντα. μέτρον γὰρ πᾶν ἄριστον. H.Q.

73. ξεῖνον ἐποτρύνει] εὐπρεπῶς μετὰ προφάσεως ὀτρύνει ἀπελθεῖν. B.Q.

74. ἐν πολλοῖς οὐκ ἐφέρετο. καὶ ἔστιν Ἡσιόδειος τῆς φράσεως ὁ χαρακτήρ. εἰ δὲ δεχοίμεθα αὐτὸν, πρὸ τῶν πρὸ ἑαυτοῦ δύο στίχων ὀφείλει γράφεσθαι. H.Q. Vind. 133. τοῦτο τὸ σχῆμα καλεῖται γνωμικόν. V. θείω] θῶ ὑποτακτικὸν καὶ θείω ὡς πολεμησείω. B.

78. ἀμφότερον] οἱ ἡ ἠθετοῦντο. συγκέχυται δὲ τὸ δυϊκὸν τοῦ ἀμφότερον. H.

κῦδος καὶ ἀγλαΐα ἔν ἐστι· διὸ καὶ τὸ ἀμφότερον ἐπήνεγκεν. κῦδος καὶ ἀγλαΐα τῷ ξενοδόχῳ, ὠφέλεια δὲ τῷ ξενισθέντι. H.Q.

1. δέ σοι H. δὲ σὺ Q. πραέα Buttm. pro πρηΐα.
2. σῆς σωτηρίας H. σωτηρίας σοῦ Q.
20. τὰ δίκαια — ἄριστον Q. ὡς τὸ πᾶν μέτρον ἄριστον, οἷον μεμετρημένα καὶ προσήκοντα H.
22. ὀτρύνει] ἐπείγει B.
28. οἱ ἡ'] Versus dicit 78—85. quibus obeli adscripti in M.
30. ἐπήνεγκεν] ἐπήγαγε Q.

www.libtool.com.cn

καὶ ἀμφότερόν ἐστι καλὸν καρτερῆσαί σε· κῦδός τέ σοι γενήσεται καὶ λαμπρότης καὶ ὄφελος. Q.

80. τραφθῆναι] γρ. τερφθῇναι καὶ τέρφθητι. M. ὁρμηθῆναι. γράφεται καὶ τερφθῆναι. V. ὁρμηθῆναι, ὁρμῆσαι. B. ἀντὶ τοῦ τραπῆναι. Q. ἀτόπως δὲ καὶ τὸ, ἀν' Ἑλλάδα. μόνην γὰρ τὴν ὑπὸ Ἀχιλλεῖ Ἑλλάδα καλεῖ Ὅμηρος. Q

81. ὅλαι ὑποστιγμαί. ὁ δὲ πλεονάζει. H.

83. ἀμπέμψει διὰ τοῦ μ. ἔστι γὰρ ἀποπέμψει τὸ τέλειον. H. ἀμπέμψει] γρ. ἀποπέμψει. Vind. 133.

85. καὶ ταῦτα ἀπρεπῆ διδάσκεσθαι πρὸς Μενελάου τὸν Τηλέμαχον τὸ ἀπαιτεῖν. H.

88. ὄπισθεν] παρὰ τὴν ὄψιν. τὸν ἐξ ὑποστροφῆς φυλάττοντα. V.

90. μὴ] ἔξωθεν προσληπτέον τὸ δέδοικα. H.

91. ἤ τι] γρ. εἴ τι. M.

ἀντὶ τοῦ τὸν βίον μου ἀπολέσῃ. τοῦτο δὲ ἀγνοήσαντες προσένειμαν τοῖς ἑξῆς· ὅ ἐστι σμικρολόγου, ὡς Ἀριστοφάνης φησί. H.

93. αὐτίκ' ἄρ' ἦ ἀλόχῳ] οὐχ ἵνα αὐτουργήσῃ, ἀλλ' ἵνα κελεύσῃ καὶ διδάσκῃ μὴ δίχα γυναικὸς κελεύειν τι κατὰ οἶκον. H.Q.

94. δεῖπνον—τετυκεῖν] τὰ πρὸς τὴν χρείαν τοῦ δείπνου εὐτρεπίζειν. H.

95. ἀγχίμολον] οὐκ ἀναγκαῖον ἀθετεῖν. οὐ γὰρ δῆλοι οἱ θεράποντες ὥστε ἐν τῇ αὐτῇ οἰκίᾳ οἰκεῖν. H.Q.

98. ὀπτῆσαί τε κρεῶν] τῶν ἀπολελειμμένων ἔτι ἀπαρακευάστων. B.V. Ἀττικὴ ἡ φράσις. Q.

104. φωριαμοῖσι] τοῖς κιβωτίοις διὰ τὸ αὐτόθι τὰ φάρη ἀμᾶσθαι ἢ διὰ τὸ τοὺς φῶρας ἀπείργειν. V. κιβωτίοις, ἀπὸ τοῦ τοὺς φῶρας ἀμύνειν. B.Q.

105. λείπει ἡ πρίν. H.

οὓς κάμεν αὐτή] αἰτιῶνται ὡς οὐκ ἐσχηκυίας καιρὸν τῆς Ἑλένης

4. τερφθῆναι] Sic ed. ant. Barnesius in lemmate quidem habet τραφθῆναι, in scholio autem pro τερφθῆναι corrigebat idem τρεφθῆναι. Harl. et Vind. 133. verbo τραφθῆναι in textu adscriptam habent varietatem ταρφθῆναι. Ambrosianum utrumque scholium in lemmate habet τραφθῆναι. BUTTM.

5. μόνην Porsonus pro κοινήν. Conf. schol. λ, 496. BUTTM

8. ἀμπέμψει διὰ τοῦ μ.] Immo ἀποπέμψει διὰ τοῦ π. Nam ἀποπέμψει contrahitur in ἀπέμψει, quod κατὰ συγκοπὴν pro ἀποπέμψει dictum annotavit Apollon. in Lexico.

18. διδάσκῃ] διδάσκει Q.

ἐργάσασθαι. νῦν γὰρ ἦκε. δύναται μέντοι καὶ πρὸ τοῦ ἀπᾶραι ἐργάσασθαι καὶ ἐξ Ἰλίου κεκομικέναι. Q. Vind. 133.

106. τρεῖς ὀξεῖαι· καὶ εἴπομεν ἐν τῇ Ἰλιάδι τὸ αἴτιον. H.

108. νείατος] ὡς κρείττων τῶν ἄλλων. H.

120. χερσὶ] γρ. χειρί, ἑνικῶς. H.

126. μνῆμ' Ἑλένης] οὐ μόνον δεδωκυίας, ἀλλὰ καὶ ἐργασαμένης. V.

127. τείως δ' ἐφίλει] γρ. τείως δὲ φίλη. H.

128. Ἀρίσταρχος, κεῖσθαι. H.

ἀφίκηαι] γρ. ἀφίκοιο. Vind. 56.

130. γρ. χειρί. H.

131. ἐς πείρινθα] εἰς ἐπίθεμα τοῦ δίφρου. ἀπὸ μέρους τὴν ἅμαξαν φησί. H. εἰς τὸ ἐπίθεμα τοῦ δίφρου, ὅ ἐστι τὸ πλινθίον ἤτοι ἡ στρῶσις τοῦ ἅρματος. γίνεται δὲ ἀπὸ τοῦ πέρας. B. κιβώτιον τῆς ἁμάξης, ἐφ' οὗ κατέθηκέ τι ὁ ὀχούμενος. V.

135. χέρνιβα] χερόνιπτρα. H.

138. σῖτον δ' αἰδοίη ταμίη] τοῖς δὲ μνηστῆρσι δι' ἀπληστίαν καὶ ἀσωτίαν, "σῖτον δὲ δμωαὶ παρενήνεον" (α, 147.). Q.

141. οἰνοχόει] οὕτω διὰ τοῦ ο. H. οὕτως ἔθος· καὶ γὰρ Ἥβη παρὰ Διΐ. H.

146. αἰθούσης ἐριδούπου] τὴν κάτω φλιὰν τῆς θύρας λέγει αἴθουσαν, ἀπὸ τοῦ πρώτως εἴσω τῆς οἰκίας ἐκεῖθεν προσβάλλειν τὸν ἥλιον ὑπανίσχοντα εἰς ὕψος οὐρανοῦ. H.Q.

ἐριδούπου] μεγαλοήχου. μεγαλόηχον δὲ λέγει τὸ πρόθυρον ἐκεῖνο, ὡς ἔοικε, διὰ τὸ τὸν ἄνεμον ἐκεῖθεν μετὰ ἤχου σφοδροτέρου πνέεσθαι· ἢ διὰ τὸ τὴν θύραν μὴ εὔστροφον εἶναι ὡς ἑτοίμως συμπτύχεσθαι, ἀλλ' ἦχον ἐκπέμπειν μέγαν τε καὶ ἀπαίσιον. Q.

149. λείψαντε] σπείσαντες. H.V. κιοίτην ἀπέλθοιεν. V.

150. δεδισκόμενος] διαφιλοφρονούμενος. B.

152. εἰπεῖν] χαίρειν δηλονότι. Q.

οὕτως, εἰπεῖν· οὐκ, εἶπετον. H.

1. Delevi γὰρ post δύναται lectum.
3. Annotatio ab hoc loco aliena.
15. τι addidit Barnes. Totum scholion om. editiones antiquæ.
21. κάτω φλιὰν H. καταφλιὰν Q.
22. τοῦ πρώτως H. τῆς πρώτης Q.
23. οὐρανοῦ Buttm. pro οὐράν.
26. συμπτύχεσθαι] Scribendum συμπτύσσεσθαι.

www.libtool.com.cn

157. Ὀδυσῆι ἐνὶ] Ἀττικόν ἐστιν, ὡς "ἥρωι Λαομέδοντι πολίσσαμεν" (Il. ε, 453.). H.

159. αὐτὰρ ἐγὼ κειμήλια] δείξω. Q.

161. ἀργὴν χῆνα] ὅτι καὶ θηλυκὸν λέγεται. H.

162. οἱ δ' ἰύζοντες] πρὸς τὴν πτῆσιν ἔτρεχον ποιὰν φωνὴν ἀφιέντες, ἵνα ῥίψῃ τὴν χῆνα. B.Q.

168. ἦ—ἦε] τὸ δεύτερον περισπαστέον ὡς ἐρωτηματικόν. H.

170. ὑποκρίναιτο] διακρίνοιτο. Q. ἀποκριθείη. V.

172. μαντεύσομαι] ἔνιοι, μυθήσομαι. H.

174. ἀτιταλλομένην] κυρίως μὲν ἐκ νηπίου, νῦν δὲ μετ' ἐπιμελείας τρεφομένην. B.H.Q.

177. ἠὲ καὶ ἤδη οἶκοι] ὑπακουστέον τὸ ἐστίν. V.

180. ἐρίγδουπος] ἡ μεγαλόψοφος ἀκτή. V.

181. καὶ κεῖθι] ἐκ πλήρους ὁ καί σύνδεσμος. H.

183. διὰ πόλεως ἤϊξαν πεδίονδε μεμαῶτες. H.

184. ζυγὸν ἀμφὶς ἔχοντες] τὸν ζυγὸν ἑκατέρωθεν βαστάζοντες. B.Q. ἀπὸ οὖν τοῦ παρακολουθοῦντος τὸ ἔτρεχον. B.

186. ἐς Φηρὰς] διὰ τοῦ η τὴν πόλιν τὴν Λακωνικήν. H.

ἀπὸ Λακεδαιμονίας ἕως Φηρᾶς ἡμέρας ὁδὸς, ἀπὸ δὲ τῆς Φηρᾶς ἄχρι καὶ Πύλου ἄλλη ἡμέρα. B. πόλις Λακωνική. Q.

188. ταύτην πρώτην νύκτα κοιμᾶται παρὰ Εὐμαίῳ Ὀδυσσεύς. H.

193. πτολίεθρον ἡ μικρὰ πόλις. γίνεται δὲ ἀπὸ τοῦ πολίζω τὸ κτίζω. H.

198. ὁμοφροσύνῃσιν] φιλίαις γνησιωτέραις. B.Q.V.

199. μή με παρὲξ ἄγε νῆα] ἀντὶ τοῦ, παρὲξ ἄγε νηός. B. μή με παρὰ τὴν φέρουσαν ὁδὸν ἐπὶ τὴν ναῦν ἄλλην ἀγάγῃς. B.V. μή με παρὲξ ἄγε νῆα] εἰς τὴν πόλιν πρὸς τὸν Νέστορα. ἀλλ ἐντεῦθεν

1. Ἀττικόν] Conf. schol. ν, 35.

7. ὡς ἐρωτηματικόν] Conf. schol. α, 175.

10. ἐκ νηπίου] ἐκπιοῦν H.

13. μεγαλόψοφος] Cum neutiquam huc quadret hæc explicatio Barnesius ejus loco aliam ex Hesychio reposuit. Nostrum erat glossam ut erat restituere, simulque monere eam in edd. ant. rejectam esse inter glossas ad vv. 214. et 218. BUTTM.

14. ἐκ πλήρους] Monet scholiasta καὶ κεῖθι scribendum esse, non κἀκεῖθι. Similiter ad α, 175. δ, 519. et alibi.

15. ἤϊξαν πεδίονδε] ἤξαντες δὲ H.

19. Λακεδαιμονίας] Scribendum Λακεδαίμονος. BUTTM.

Φηρᾶς—Φηρᾶς] Φηρῶν—Φηρῶν scribere debebat scholiasta.

27. Νέστορα] ἀλλὰ γὰρ ἦν ἡ ὁδὸς δηλονότι addit H.

www.libtool.com.cn

αὐτὸς μὲν εἰ βούλοιο ἀπελθεῖν εἰς τὴν πόλιν, ἐμὲ δὲ λίπε ἐντεῦθεν ἐπὶ τὴν ναῦν βαδίσαι. H.Q. ἀεὶ παρὰ τῷ ποιητῇ τὸ παρὲξ βαρύνεται— ἐπ' ἄλλην ὁδὸν ἐπάγῃς. H.

200. μή με γέρων ἀέκοντα] μέμνηται τοῦ "χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν" (74.). H.Q.

205. στρέψ'] τὸ πλῆρες ἔστρεψεν, οὐ στρέψα· ἀπ' ἄλλης γὰρ ἀρχῆς ἐστι. H.

206. νηὶ δ' ἐνὶ πρύμνῃ] στὰς ἐπὶ τῆς πρύμνης ἐδέχετο δῶρα. τὸ δὲ ἐξαίνυτο σημαίνει τὸ ἐξῃρεῖτο. ἔνθεν ἡ τοὺς ἰχθύας αἰνυμένη τοῖς γόμφοις τρίαινα. B.H.Q.

212. ὑπέρβιος] ὑπερφυὴς, μεγαλοφυὴς, μεγαλόφρων. B. ὑπὲρ δύναμιν. V.

214. περισσὸν κεῖται τὸ ἔμπης. H.

215. ἴμασε] γρ. ἔλασε. M.

218. ἐγκοσμεῖτε τὰ τεύχεα] κατὰ κόσμον καὶ ἐν τάξει ποιεῖτε τὰ ἐργαλεῖα, ἤτοι τὰ ὅπλα τοῦ πλοίου, τὰς κώπας καὶ τὰ ἄρμενα. B.H.

223. ἦλυθεν ἀνὴρ] ἱστορία. Πολυφείδης ὁ μάντις Σαριοῦσαν γήμας γίνονται αὐτῷ παῖδες Ἁρμονίδης καὶ Θεοκλύμενος, ὃς κτείνας ἐμφύλιον ἄνδρα φεύγει εἰς τὴν Πύλον. συντυχὼν δὲ θύοντι Τηλεμάχῳ δεῖται αὐτοῦ σῶσαι αὐτὸν εἰς τὴν Ἰθάκην. ὁ δὲ αἰδεσθεὶς τὴν τοῦ ἀνδρὸς φυγὴν καὶ κατελεήσας τὸν ὁμήλικα σὺν ἑαυτῷ τοῦτον ἄγεται εἰς τὴν Ἰθάκην. εἰπόντα δὲ αὐτὸν τὰ περὶ τοῦ πατρὸς ἀληθῆ μαντεῖα πολὺ μᾶλλον ἐτίμησεν. ὅθεν καὶ Θεοκλύμενος φιλοφρονούμενος ὑπὸ τῶν περὶ τὸν Ὀδυσσέα δεῦρο τὸν βίον καταστρέφει. ἡ ἱστορία παρὰ Φερεκύδῃ. Q.V.

224. τηλεδαπός] τηλόθεν πεπερακώς. Ἄργεος δὲ οὐ τῆς πόλεως, ἀλλὰ τῆς χώρας. B.

2. βαδίσαι Buttm. pro βαδίσας.
βαρύνεται] Rectius ἐξύνεται dixisset. Accuratius de utroque accentu præcipit Herodianus: vide Lehrs. ad librum περὶ μονήρους λέξεως p. 89. et 248.

10. τοῖς γόμφοις H. τοὺς γόμφους B.Q.
τρίαινα] ἔτυχον πόθεν ἡ τρίαινα (?) H.

13. περισσὸν κεῖται] περίκειται H.

16. τὰ ἐργαλεῖα] τὰ τῆς νεὼς ἐργαλεῖα B.
ἤτοι—ἅμα om. B.

18. ὁ μάντις] ὁ μαντείου V.
Σαριοῦσαν] Nomen haud dubie corruptum.

19. γίνονται] Scribendum videtur ἐξ ἧς γίνονται.

www.libtool.com.cn

νῦν τὸ φεύγων ἀντὶ τοῦ ἑκουσίως καταλιπὼν ὑπὲρ τοῦ ἀδελφοῦ Βίαντος. H.

225. Μελάμποδος ἑτέρα ἱστορία] Μελάμπους ὁ Ἀμυθάονος παῖς πολλὰ μὲν καὶ ἄλλα διὰ τῆς μαντικῆς τεράστια ἐπιίησεν, οὐχ ἥκιστα δὲ αὐτῷ καὶ οὗτος ἐνδοξότατος ἆθλος ἐγένετο. τῶν γὰρ Προί- 5
του θυγατέρων τοῦ βασιλέως τῶν Ἀργείων Λυσίππης καὶ Ἰφιανάσσης διὰ τὴν ἐκ νεότητος ἀνεπιλογιστίαν ἁμαρτουσῶν εἰς Ἥραν· παραγενόμεναι γὰρ εἰς τὸν τῆς θεοῦ νεὼν ἔσκωπτον αὐτὸν λέγουσαι πλουσιώτερον μᾶλλον εἶναι τὸν τοῦ πατρὸς οἶκον· καὶ διὰ τοῦτο μανεισῶν παραγενόμενος ὁ Μελάμπους ὑπέσχετο πάντως θεραπεύειν, εἰ 10
λάβοι κατάξιον τῆς θεραπείας μισθόν. ἤδη γὰρ ἡ νόσος δεκαετὴς καὶ ὀδύνην φέρουσα οὐ μόνον αὐταῖς ταῖς κόραις, ἀλλὰ καὶ τοῖς γεγεννηκόσι. ἀπαγγειλαμένου δὲ τοῦ Προίτου τῷ Μελάμποδι καὶ μέρος τῆς βασιλείας καὶ μίαν τῶν θυγατέρων ἣν ἂν ἐθέλοι εἰς γάμον δώσειν, ἰάσατο τὴν νόσον Μελάμπους διά τε ἱκεσιῶν καὶ θυσιῶν τὴν 15
Ἥραν μειλιξάμενος. καὶ λαμβάνει πρὸς γάμον Ἰφιάνασσαν ἔδνον αὐτὴν τῶν ἰατρειῶν καρπωσάμενος. ἡ ἱστορία παρὰ Φερεκύδῃ. H. Q.V.

226. ὃς πρὶν μέν ποτ' ἔναιε] ὁ Μελάμπους. V.

227. Πυλίοισι μέγ' ἔξοχα] ἡ γραφὴ μετά, ἀντὶ τοῦ ἐν Πυλίοις· 20
μετὰ Πυλίων ναίων ἔξοχα δώματα. Πύλιος γὰρ ἦν. Π.

229. λείπει ἡ διά, διὰ Νηλέα, καὶ ὁ τε παρέλκει. Π.

230. ὅς οἱ χρήματα] οἱ ἀντὶ τοῦ αὐτοῦ, ὡς ἐκείνου ὑποσχομένου φέρειν τὰς βοῦς ἀντὶ ἐδνων. τῆς κόρης γὰρ τὴν οὐσίαν ἀπέσπασεν. B.Q. 25

βιασθέντος ὑπὸ τῶν Ἰφίκλου βουκόλων ἀπήνεγκε τὰ χρήματα καταφρονήσας ὡς οὐ γενναίων αὐτῶν. V.

231. τέως μὲν] ἕως τοῦ τελειωθῆναι τὸν ἐνιαυτόν. P.V.

5. αὐτῷ H. αὐτῶν ceteri.
7. ἐκ νεότητος] ἀκμαιότητος V.
ἁμαρτουσῶν] ἁμαρτόντων H.Q.
9. μανεισῶν Buttm. pro μάντις ὤν.
10. πάντως Buttm. πάντας Q. et fortasse H. πάσας V.
12. Addidi ταῖς.
26. Cod. Q. habet tantum verba ὑπὸ—χρήματα. Unde patere puto, vocem βιασθέντος ad sequentia non pertinentem corruptam esse e nomine βίαντος, ad vocem textus χρήματα relato a grammatico, cui dativus οἱ non, ut superiori illi, esset pro genitivo. In ceteris lux adhuc expectanda est hisce scholiis perinde ut ipsi poetæ narrationi. Conf. supra schol. λ, 287. et 290. BUTTM.

www.libtool.com.cn

Φυλάκοιο] γράφεται Ἰφίκλοιο. B.

233. ἄτης τε βαρείης] φρενοβλαβείας. V.

234. δασπλῆτις Ἐριννύς] δυσπροσπέλαστος· καὶ μεγάλως ἐμπελάζουσα, δυσχερὴς ᾧ ἂν προσπελασθῇ. V. δυσπλῆτίς τις οὖσα, ὅ ἐστι δυσπέλαστος, ἀντὶ τοῦ καταπληκτική. ἡ Ἐριννὺς, φησὶν, ἔθηκεν εἰς νοῦν τῷ Μελάμποδι τὸ τὰς βοῦς Ἰφίκλου ὑποσχέσθαι τῷ Νηλεῖ. B.H.Q. δασπλῆτις ἡ ἄγαν πλήττουσα. τοῦτο δὲ ἐκ τοῦ δα ἐπιτατικοῦ μορίου καὶ τοῦ πλήττω. H.

236. καὶ ἐτίσατο ἔργον ἀεικὲς] καὶ ἐτιμωρήσατο τὸν Νηλέα ὑπομείνας ἔργον χαλεπόν. V. ἀντὶ τοῦ ἐξέτισε τῷ Νηλεῖ τὸ ἐπιταχθὲν ἔργον, ὃ ἦν ἀεικὲς, ὅ ἐστι σκληρὸν καὶ μὴ εἰκὸν, ἀλλὰ δυσκατόρθωτον. ἢ τὰ ἴδια χρήματα ἀναλαβὼν τὸν κατέχοντα ἐτιμωρήσατο. τιμωρία γὰρ ἦν ἀφαιρήσεσθαι χρημάτων τὸν περὶ χρήματα ἄπληστον. B.Q.

μετὰ τὸ ἐνεχθῆναι τὰς βοῦς Νηλεὺς οὐ παρεῖχε τὴν κόρην ἕως ὅπου μάχῃ νενίκηται ὑπὸ τῶν Ἀμυθαονιδῶν. B.Q.

239. τόθι] γρ. ὅθι. H.

240. μετὰ γὰρ τὸ ἐπιδημῆσαι τοιοῦτον μάντιν εἰς τὸ Ἄργος ἐβασίλευσεν. H.

242. Μάντιον] ὡς Φήμιον. H.

244. Οἰκλείης καὶ Οἰκλῆς διχῶς. H.

Ἀμφιάρηον] Ἀρίσταρχος διὰ τοῦ α, Ζηνόδοτος διὰ τοὺ η. H.

245. καὶ Ἀθήνη] γρ. καὶ Ἀπόλλων. Vind. 5.

246. οὐδ' ἵκετο γήραος οὐδὸν] ὁ δὲ παρὰ σύνταξιν κεῖται. λέγει γὰρ ὅτι καίπερ θεοφιλὴς ὢν οὐκ ἐγήρασε. τὸ οὖν ἐξῆς, γήραος δὲ οὐδὸν οὐχ ἵκετο. ὅμοιον δέ ἐστι τῷ "οὐδ' Ἀγαμέμνων λῆγ' ἔριδος τὴν πρῶτον ἐπηπείλησ' Ἀχιλῆϊ" (Il. α, 318.). τὸ γὰρ ἐξῆς, Ἀγαμέμνων δ' οὐ λῆγ' ἔριδος. τούτῳ ὁ Μένανδρος οὐ προσεσχηκὼς εἶπεν "ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος." H.Q. εἰς σύμβολον τῆς θεοφιλίας τὸ μὴ καταγηράσαι· ἄμφω δῶρα, τὸ μὲν θεοφιλίας, τὸ δὲ μικροχρονίου ζωῆς. H. ἢ σύμβολον τῆς θεοφιλίας τὸ μὴ καταγηράσαι, ἢ παρὰ σύνταξιν κεῖται. λέγει γὰρ ὅτι καίπερ θεοφιλὴς ὢν

2. φρενοβλαβείας vel φρενοβλαψίας Buttm. pro φρενοβλαψείας. Conf. p. 452, 1.

13. ἀφαιρήσεσθαι Buttm. pro ἀφαιρήσασθαι.

20. ὡς Φήμιον] I. e. hæ voces eundem accentum habent. Hinc nata est varia lectio a Clarkio memorata, Φήμιον. PORSON.

28. τούτῳ ὁ H. τοῦτο Q., omisso ὁ.

www.libtool.com.cn

οὐκ ἐγήρασε.' τὸ οὖν ἐξῆς, γήραος δὲ ὀδόν. B. θεὸς γὰρ πεπρωμένης οὐκ ἀπολύει, ζῶντι δὲ ἀγαθῶν αἴτιος γίνεται. ἢ τὸ Μενάνδρειον "ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος." V.

ὁ Ἀμφιάραος εἰδὼς πεπρωμένον εἶναι τὸ εἰ ἐξέλθοι ἐν πολέμῳ σφαγῆναι, ἐδειλία τὸν πόλεμον καὶ οὐκ ἐξήρχετο· ἐφ' ᾧ καὶ Θηβαῖοι ἐστείλαντο λάθρα τῇ γυναικὶ αὐτοῦ ὅρμον οἷα ξένιον. παρέπεισεν αὐτὴ τὸν ἴδιον ἄνδρα ἐξελθεῖν πρὸς τὴν συμβολὴν τοῦ πολέμου, καὶ ἐξελθὼν ἀνῃρέθη. H.

247. γυναίων εἵνεκα δώρων] τὸν ὅρμον ἐπὶ τῷ Ἀμφιαράῳ ἀκουστέον. V.

248. οὐκ οἶδεν Ὅμηρος τὸν Ἀλκμάονα μητροκτόνον. Vind. 133.

254. Ὑπερησίην] ἡ Ὑπερησία πόλις Ἀχαΐας καὶ Πελοποννήσου. H. πόλις Ἄργους ἡ Ὑπερησία. εἶπε γὰρ ὅτι ἐξ Ἄργους ἦλθεν ὁ Θεοκλύμενος. B.Q.

260. ἀπολύτως ἡ σε. H.

261. λίσσομ' ὑπὲρ θυέων καὶ δαίμονος] ὑπὲρ ταύτης τῆς θυσίας καὶ τοῦ δαίμονος ᾧ θύεις. ἀντὶ τοῦ κατὰ τῆς θυσίας καὶ τοῦ δαίμονος. B.Q.V.

ἠδὲ τοκήων] γρ. αὐτὰρ ἔπειτα. Vind. 133.

266. ἀγορεύσω] γρ. καταλέξω. H. Vind. 133.

268. λυγρῷ ὀλέθρῳ] αἱ χαριέστεραι λυγρὸν ὄλεθρον. H.

272. οὕτω τοι καὶ ἐγὼν] τὸ ἐξῆς, οὕτω φεύγω, ὡς ὁρᾷς, μόνος. H.

276. οὐκ ἐκ τῶν ἀποβάντων, ἀλλὰ καὶ ὡς μάντις οἶδεν. H.

κατὰ χρόνους] γρ. κατ' ἀνθρώπους. H.

277. ἔφεσσαι] ἀντὶ τοῦ, ἔφεσον, ἐπιβίβασον. B.

281. οἷά κ'] ἀντὶ τοῦ τόσα ἄν. H.

282. οἱ ἐδέξατο χάλκεον ἔγχος] κάτω ὢν ἐκτείνας τὴν χεῖρα ἔδωκεν εἰς τὸ πλοῖον τὸ δόρυ, μετὰ δὲ τὸ δοῦναι δόρυ εἶτα ἀνέβη. B.

λείπει ἡ παρά, ἵν' ᾖ παρ' αὐτοῦ. Q.

283. ἐπ' ἰκριόφιν] ἐπὶ τὸ κατάρτιον. Q.

4. ἐξέλθοι] ἐξέλθῃ H.

11. Ἀλκμάονα] Sic Ἀλκμάων M. in textu habet pro Ἀλκμαίων.

17. κατὰ et καὶ om. V.

22. τὸ ἐξῆς—μόνος] Similiter in V. ὡς ὁρᾷς μόνος φεύγω.

31. κατάρτιον] κατάρκτιον Q. Sensus flagitat κατάστρωμα: sed fieri potest ut scholiastes confuderit τὸ κατάρτιον, quod alias est malus. Conf. schol. γ, 353. ubi ἰκρίον explicatur ὁ ἱστός. BUTTM.

www.libool.com.cn

285. ἀεὶ ἡ οἱ προτασσομένη τῆς ἐπιταγματικῆς ὀρθοτονεῖται, σεσημειωμένου τοῦ "ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέσειε βίην." (Od. δ, 667.). H.

289. ἤτοι ἐν τόπῳ ᾧ τὰ ἅρμενα οἱ πλωτῆρες ἐφήρμοζον. H.

292. ἴκμενον] δίνγρον, ἀπὸ τοῦ ἰκμὰς, ἢ πορευτικόν. H.

293. ἐπαιγίζοντα] Ἀριστοφάνης ἐπαΐσσοντα. αἰγίδας ἔλεγον τὰς ὑφ' ἡμῶν καταιγίδας καὶ σφοδρὰς πνοὰς τῶν θυελλῶν. Q. Vind. 133.

297. τὰς Φηρὰς λέγει. εἶπε δὲ διὰ τὸ μέτρον, Φεράς. γρ. καὶ, Φεάς. περὶ ἧς φησι "Φειᾶς πὰρ τείχεσσιν Ἰαρδάνου ἀμφὶ ῥέεθρα" (Il. η, 135.). H. Vind. 133.

ἐπέβαλλεν] προσῄει, ἀντὶ τοῦ παρῄει. V.

299. θοῇσιν] μεταληπτικὸν ἐκ τοῦ κατὰ κίνησιν ὀξέος ἐπὶ τὸ κατὰ σχῆμα. H.V. ταῖς ὀξείαις λεγομέναις, μεταληπτικῶς. B. Q.V.

309. πτωχεύσων] πτωχείαν ἀποποιησάμενος, ἢ τὰ πτωχοῖς ἁρμόδια αἰτήσων. ἀπολύτως ἡ σε. H.

310. ὑπόθεν] συμβούλευσον. Q. καὶ ἅμ' ἡγεμόν'] γρ. καί μ' ἡγεμόνα. H.

311. ὅς κέ με κεῖσε] ἔνθα οἱ μνηστῆρες εἰσίν. ἀπολύτως ἡ με. H.

312. κοτύλην] ἐκπώματος ἤτοι ποτηρίου εἴδος τοσούτου καὶ μέτρου B.V. ἤγουν ὕδωρ κοτύλης ἤτοι ποτηρίου. H.Q.

πύρνον] τὸ μὲν γένος ἄδηλον παρὰ τῷ ποιητῇ, ὁ δὲ τόνος ὡς τόρνος. πύρνος ἐστὶ πύρινος ψωμὸς ἀπὸ τοῦ πυρός, ὁ σῖτος. B. H.Q.

317. δρώοιμι] διακονοίην, δουλεύοιμι. τὴν δὲ σφίσιν ὀρθοτονητέον καίπερ ἀπόλυτον οὖσαν. Q. τὸ δὲ, ἐθέλοιεν, οὕτως αἱ Ἀριστάρχου, φασὶ, τρισυλλάβως τὸ ἐθέλω. H.

319. Ἑρμείαο ἔκητι] ὅτι κῆρυξ. καὶ γὰρ παρ' Ὁμήρῳ τὰ πολλὰ οὗτοι ποιοῦσι. "κήρυκες δ' αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες οἱ μὲν ἀρ'

1. ἀεὶ—βίην (βία H.)] Eadem observatio scholiastæ est ad δ, 667.
6. Conf. Apollon. Lex. s. v. ἐπαιγίζοντα.
7. θυελλῶν] ἀελλῶν Vind.
12. προσῄει Barnesius pro προῄει.
14. μεταληπτικὸν om. V.
22. μέτρου] μέτρον V.
23. ἤγουν H. ἤτοι Q.
24. ὁ δὲ τόνος ὡς τόρνος addidi ex H.
25. πύρινος ψωμὸς] σίτινον ἄρτον ἢ ψωμὸν dixit Eustath. p. 1782, 62.

www.libtool.com.cn

οἶνον ἔμισγον" (Od. α, 109.). καὶ παρὰ τοῖς ἥρωσι δὲ κήρυκες οἱ ταῦτα ὑπουργοῦντες. Q.

ἐπειδὴ τὸν Ἑρμῆν τοῦ λόγου λέγουσιν ἔφορον καὶ τῶν τεχνῶν ἐπιστήμονα, λέγει Ὀδυσσεὺς ὅτι τῇ τούτου βουλῇ ἐν πάσαις ὑπηρεσίαις δοκιμώτερος τῶν ἄλλων φανήσομαι. Q.

321. δρηστοσύνῃ] τῇ ἐν διακονίᾳ ἐνεργείᾳ, ἢ τῇ ἐν μαγειρικῇ τέχνῃ. H.

322. πῦρ τ' εὖ νηῆσαι] ξύλα σωρεῦσαι ἕνεκεν τοῦ πῦρ ποιῆσαι. B.V. καταστρέφει δὲ εἰς τὸ φυλάξαι πῦρ. B.

κεάσσαι] καῦσαι· ἢ σχίσαι. V.

324. ἀναστρεπτέον τὴν παρά. H.

δρώωσι] διακονοῦσιν. V.

χέρηες] οἱ χείρονες, οἱ ἐλάττους. H.

326. ξένος λέγεται παρὰ τὸ ἔξω εἶναι τῶν οἰκείων. H.

333. οἵ σφιν ὑποδρώωσιν] ἐχρῆν ἀναστρέφεσθαι τὴν ὑπό, ἵνα ᾖ ὑπό σφιν. τὸ δὲ εὔξεστοι ἀντὶ τοῦ καλῶς ἐξεσμέναι ἤτοι εἰργασμέναι. Q.

334. σίτου] δισυλλάβως μετρητέον καὶ τοῦτον τὸν στίχον. Vind. 133.

335. οὐ γάρ τίς τοι ἀνιᾶται] οὐ γάρ τις ἡμῶν λυπεῖται ἐπὶ τῇ σῇ παρουσίᾳ καὶ τῇ μεθ' ἡμῶν διαγωγῇ. H.

343. γαστὴρ λέγεται παρὰ τὸ γῶ τὸ χωρῶ, ἡ χωρητικὴ τῶν σπερμάτων, ἢ παρὰ τὸ δέχω, ἡ δεκτικὴ σπερμάτων. H.Q.

344. ἀνέρες] τὸ ἐξῆς, ὧν ἐφάψεται ἡ ἄλη, ἤτοι ἡ πλάνη, τὸ πῆμα καὶ τὸ ἄλγος. Q.

346. ἰσχανάας] κατέχεις, ἔχεις· ἐκ τοῦ ἴσχω τὸ κρατῶ. H.Q.

347. μητρὸς Ὀδυσσῆος] περὶ τοῦ πατρὸς βουλόμενος μαθεῖν ὑποκρίνεται τὸν μὴ εἰδότα περὶ Ἀντικλείας. H.Q.V.

348. περιφραστικῶς τῷ γήρει. H.

1. καὶ παρὰ — ὑπουργοῦντες] Hæc sunt etiam in V., præmisso ἐπειδὴ κῆρυξ.

6. μαγειρικῇ τέχνῃ] Gl. τέχνῃ μαγειρικῇ est etiam in P. "Collato schol. ad σ, 76. et Hesychii glossa δραστῆρας, τοὺς ὀψοποιούς, μαγείρους, patet fuisse jam inter antiquiores qui vocem δρηστήρ ita intelligerent, ducti fortasse hoc ipso Homeri loco, ubi versibus 322. 323. hujus potissimum ministerii opera nominantur." BUTTM.

8. Falsum in edit. Mediol. lemma præpositum ξύλα πολλὰ κεάσσαι: πολλά, nota varietate pro δαιά. BUTTM.

11. ἀναστρεπτέον τὴν παρά] Hoc est, scribendum ἀγαθοῖσι πάρα δρώωσι.

22. ἡ δ. σπερμάτων om. Q.

25. ἔχεις om. Q.

www.libtool.com.cn

357. ἤκαχ'] λυπηθῆναι ἐποίησε. B. ὠμῷ γήραϊ] πρὸ ὥρας γηρᾶσαι ἐποίησε διὰ τὴν ἐπ' αὐτῇ λύπην. B.Q.V. ἀπαραμύθητον γὰρ αὐτὸν ἀφῆκε τὸ πρὸ ὥρας καὶ θᾶττον τοῦ προσήκοντος. B.Q.

359. ὡς μὴ θάνοι] καθὸ λύπῃ κατὰ λεπτὸν διεφθάρη. H.

361. ὄφρα μὲν οὖν δὴ κείνη] τούτου ἡ ἀπόδοσις ἐν τῷ "ἐκ δ' ἄρα δεσποίνης," ἵν' ᾖ, ὅτε μὲν ἔζη ἡ Ἀντίκλεια, τότε καὶ ἠρώτων περὶ Ὀδυσσέως καὶ ἐπεζήτουν τὰ κατὰ τὸν οἶκον, φιλούμενος γὰρ ὑπ' αὐτῆς ὡς ἂν υἱὸς αὐτῆς. νῦν δὲ οὐδὲ ἀποκρίσεως ἡμᾶς τυχεῖν ἔστι παρὰ τῆς Πηνελόπης· τοῦ γὰρ κακοῦ τῶν μνηστήρων ἐμπεσόντος οὐδὲ λαλῆσαί τινι βούλεται. Q.

362. λείπει τὸ περὶ τῶν κατὰ τὸν οἶκον. H.

363. Κτιμένη] Κτιμένη κυρίως ἐκαλεῖτο ἡ Ὀδυσσέως ἀδελφὴ, ἧς ὁ Εὐρύλοχος ὑπονοεῖται ἀνήρ. λέγει γὰρ "καὶ πηῷ περ ἐόντι μάλα σχεδόν" (κ, 441.). B.Q.

364. ὀπλοτάτην τέκε παίδων] θηλειῶν γοῦν. μόνον δ' αὖτ' Ὀδυσσέα πατὴρ τέκε (π, 119.). καὶ πλείους οὖν αἱ Ὀδυσσέως ἀδελφαί. Q.

365. ὁμοῦ] ἐν τῷ αὐτῷ τόπῳ. V.

366. πολυήρατον] ἣν καταλαβεῖν πολλοὶ εὔχονται, τὴν πολύευκτον. H.

371. τούτων ἐπιδεύομαι] ὧν ἡ Ἀντίκλεια ἐχαρίζετο, τούτων ἐνδεής εἰμι. B.Q.V.

372. ἔργον ἀέξουσι] τὴν κακοπάθειαν. Q.

373. καὶ αἰδοίοισιν] οὕτως τοὺς ἱκέτας ἔλεγον. H.Q. τινὲς δὲ τῆς Ἀφροδίτης. H.

376. χατέουσιν] χρῄζουσιν. Q.

379. ἐνὶ στήθεσσιν] γρ. ἀεὶ δμώεσσιν. M. Vind. 133.

393. ἀκουέμεν] Ἀρίσταρχος ἀκούειν, ὡς εὖδειν. H.

394. πρὶν ὥρη] ἐλλείπει, γένηται. V.

397. ἀνακτορίῃσιν] ὁ μὲν Ἀρίσταρχος, ταῖς δεσποτικαῖς, ὁ δὲ Ἀριστοφάνης, ὧν ἕκαστος ἄρχει, ὅθεν καὶ ὁ χειρῶναξ. B. Vind. 133. τοῖς δεσπόταις, ἢ ὧν ἕκαστος ἄρχει. Q.

399. κήδεσιν ἀλλήλων τερπώμεθα] καὶ ἐν ταῖς δειναῖς διηγήσεσι

2. αὐτὸν Buttm. pro αὐτήν.
9. ἔστι addidit et παρὰ pro περὶ correxit Buttm.
16. ἀδελφαί addidit Maius.
29. Ἀρίσταρχος] Apollon. Lex. ἀνακτορίῃσι· ταῖς τοῦ ἄνακτος, οἷον τοῦ δεσπότου. "δειπνήσας—ἐπέσθω."—ὁ δὲ Ἀρίσταρχος, τοῖς τῶν ἀνακτόρων υἱάσι.

www.libtool.com.cn

τέρπεται ἀνὴρ ὧν ἐν θλίψεσι καὶ ἀκούων ἑτέρου λέγοντος τὰ ἑαυτοῦ ἄλγεα. B.Q.

400. μνωομένω] γρ. μεμνομένω. M.

403. Συρίη] μία τῶν Κυκλάδων ἡ Συρία. εἴρηται δὲ Συρία ὡς τὰ Ψύρα Ψυρία, "νήσου ἐπὶ Ψυρίης" (Od. γ, 171.). H. μία τῶν Κυκλάδων ἡ Συρία, ἡ παρ' ἡμῖν λεγομένη Σῦρα. B.Q.

404. ὅθι τροπαὶ ἠελίοιο] ἔνθα φασὶν εἶναι ἡλίου σπήλαιον, δι' οὗ σημειοῦνται τὰς τοῦ ἡλίου τροπάς. Q.V. οἷον ὡς πρὸς τὰς τροπὰς ἡλίου, ὅ ἐστιν ἐπὶ τὰ δυτικὰ μέρη ὑπεράνωθεν τῆς Δήλου. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός. B.H.Q.

406. ὑφ' ἓν ἀναγνωστέον ἕως τοῦ "πολύπυρος" διαστέλλεται τῷ "πείνη δ' οὔποτε." H.

407. οὐδέ τις ἄλλη νοῦσος] τῷ λιμῷ τὴν νοῦσον συνέζευξεν, ἐπεὶ τῷ λιμῷ καὶ λοιμὸς παρακολουθεῖ. "λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί." Q.

408. ἐπαινεῖ τὴν πατρίδα. H.

409. ἀναστρεπτέον τὴν κατά. H.

410. ἔστιν ἐν χρήσει οὗτος ὁ στίχος. P.

411. ἀγανοῖς] πραέσιν· ὁ γὰρ αἰφνίδιος θάνατος ἀνώδυνος ἐστί. H.

416. τρῶκται] ἀπατεῶνες, κλέπται. Q. φιλάργυροι, πανοῦργοι. V.

417. γυνὴ Φοίνισσ'] κυρίως γυναῖκα εἶπεν, ὡς καὶ ἄνδρα τὸν ἄνθρωπον. ὄνομα δὲ αὐτῇ Δαήνη. B.H.Q.

ταῦτα δὲ οἱ Φοίνικες ἴσως Λαέρτῃ διηγήσαντο πολλοῦ ἄξιον αὐτὸν

5. Ψύρα scripsi pro Ψυρά. Vid. ad schol. γ, 171. Apud Eustath. p. 1787, 17. Ψῦρος.

6. Σῦρα] Immo Σύρα, ut vocatur apud Diog. Laert., Hesych. Miles. et Suidam. Vid. Menag. ad Diog. 1, 119. BUTTM. Apud Eustath. Σῦρος ἐν ἐκτάσει τῆς παραληγούσης, eamque veram nominis formam esse verba Strabonis 10. p. 487., quem citat Eustathius, aliorumque scriptorum exempla docent collecta ab L. Dindorfio in Thesauro vol. 7. p. 1515.

8. ἡλίου] τὸ ἡλίου V.

10. οὕτως Ἀ. καὶ Ἡ. addidi ex H.

12. ὑφ' ἓν, ut καθ' ἓν (p. 622, 23.), est *sine interpunctione*. Vide exempla ab Friedl. collecta Nican. p. 99.

15. λιμὸν—λαοί] Est versus Hesiodi Op. 241. quo etiam Eustathius utitur p. 1787, 27.

25. ὄνομα δὲ αὐτῇ Δαήνη om. B.Q. Nomen aliunde non cognitum.

26. πολλοῦ ἄξιον αὐτὸν ὑποφαίνοντες] πολυτίμητον ἀποφαίνοντες H.

ὑποφαίνοντες, Λαέρτης δὲ Εὐμαίῳ διηγήσατο. οὐ γὰρ οἷόν τε εἰδέναι τὸ ἀληθὲς νήπιον ἡρπασμένον. B.H.Q.

420. πλυνούσῃ τις] τῇ. H.

421. ἠπεροπεύει] ἡ γὰρ εὐνὴ καὶ φιλότης πάντως τὰς φρένας πλανᾷ. H.

422. ἥ κ' εὐεργὸς ἔῃσιν] κἂν γὰρ καλοεργὸς ᾖ γυνὴ καὶ ἐνάρετος, πλανᾶται φιλότητι καὶ εὐνῇ. H.Q.

424. τὸ ἐν Φοινίκῃ δῶμα τοῦ πατρὸς αὐτῆς. H.

425. Σιδῶνος πολυχάλκου] ἤτοι στερρᾶς. ἐν αὐτῇ γὰρ χαλκὸς οὐ γίνεται. ἢ πλουσίας, ὡς τῆς πορφύρας ἐν αὐτῇ γινομένης. Q.V.

426. ὀξυτόνως τὸ ῥυδόν. ῥύδην τὸν πλοῦτον κεκτημένου. H.

ῥυδὸν ἀφνειοῖο] ῥύδην τὸν πλοῦτον ἔχοντος, τουτέστι τῷ πλούτῳ χύδην πλουτοῦντος. ἢ ἐπίρροιαν ἔχοντος πλούτου. V.

432. ὄφρα ἴδῃ] γρ. ὄφρ' εἴδῃς. H.

435. εἴη κεν καὶ τοῦτ'] γένοιτο καὶ τοῦτο ἐπανελθεῖν με εἰς τὴν πατρίδα μου. B.Q.

437. ἐπώμνυον, οὐκ ἀπώμνυον. ἀπομόσαι γὰρ τὸ μὴ ποιῆσαι. H.

440. σιγῇ] λείπει τὸ ἔστω. H.

445. ἐπείγετε δ' ὦνον ὁδαίων] σπουδάζετε, φησὶ, περὶ τὴν ἀγορασίαν τῶν φορτίων. B.Q.V. ὁδαίων, τῶν εἰς ἐκδημίαν ἐπιτηδείων. B.Q.

446. ἀλλ' ὅτε κεν δὴ ναῦς] ἀλλ' ὅτε ἡ ναῦς πληρωθῇ τοῦ βίου ἡμῶν, ἐλθέτω μοι ταχέως ἀγγελία πρὸς τὰ δώματα ὅτι ἀπελθεῖν μέλλετε. Q.

449. ἐπίβαθρον] τὸν ναῦλον τῆς ἐπιβάσεως τῶν νεῶν καταχρηστικῶς ἐπίβαθρον εἶπε. B.Q.

451. κερδαλέον] πανοῦργον καὶ ἤδη συνεκτροχάζειν μοι δυνάμενον. σύνθετον δὲ τὸ ἁματροχόωντα. τὸ δὲ τοῖον, τοιοῦτον ὡς καὶ ἕπεσθαι συντρέχοντα καὶ ἀκολουθεῖν δυνάμενον. B.Q.

ἅμα τρωχῶντα θύραζε] ἤτοι ἤδη δυνάμενον τρέχειν ἔξω, ἢ δυνατὸν ὄντα ἐπακολουθεῖν. γράφεται καὶ, ἅμα τροχόωντα. V.

1. Λαέρτης—] Conf. schol. ad 184.

3. τῇ] Hoc in H. scriptum super τις. In aliis codicibus τῇ pro τις in textu legitur.

6. ἥ κ' H. εἴ κ' Q.

14. εἴδῃς] Voluit εἰδῇς, M. in textu habet ὄφρα ἴδῃς, sed litera σ a m. secunda.

19. τὴν ἀγορασίαν] τὸν ἀγορασμὸν B.V.

30. ἅμα τρωχῶντα] Editiones an-

www.libtool.com.cn

452. ἀπόλυτος ἡ ὑμῖν. H.

456. ἐμπολόωντο] ἐπραγματεύοντο πωλοῦντες καὶ ἀγοράζοντες. B.H.Q.

459. πολύϊδρις] οὐκ ἐπ' ἀγαθοῦ, ἀλλ' ἐπὶ κακούργου καὶ ἀπατεῶνος. B H.Q.

460. χρύσεον ὅρμον] περιδέρρεον κόσμον, ἀπὸ τοῦ συνδεδέσθαι. τὸ δὲ ἔερκτο σημαίνει τὸ συνδέδετο, ἀπὸ τοῦ εἴρω, τὸ συμπλέκω. B.

μετὰ δ' ἠλέκτροισιν] ἠλέκτροις δὲ συνείληπτο. ἔερτο] συνεκέκλειτο, εἰργασμένος ἦν. V. συγκεκλειμένος καὶ ἡρμοσμένος ἦν ὁ περιτραχήλιος κόσμος. H.

γρ. ἠλέκτορσιν. H.

462. χερσί τ'] γρ. χείρεσσιν. H.

466. δέπα] ποτήρια. V. ἐκτατέον τὸ δέπα, ποτήρια. H.

468. εἰς θῶκον] εἰς βουλήν. V.

φῆμιν] ἐκκλησίαν, συνέδριον. V.

469. ὑπὸ κόλπῳ] ὑπὸ μάλης. H.

470. ἀεσιφροσύνῃσι] ματαιότησιν, ἀφροσύναις, ἢ μωρίαις, ἀπὸ τοῦ ἄω τὸ πνέω. B.Q.

473. ὠκύαλος] ὠκεῖα, ταχεῖα, ταχύπλους. παραγώγως. V.

479. κήξ] καίηξ ὁ λάρος, καὶ συγκοπῇ κήξ. φαίνεται δὲ πεσοῦσα ἐπὶ κεφαλήν. καὶ γὰρ ἐκεῖνος οὕτως καταδύεται. B.H.Q. ὄρνεον θαλάσσιον παραπλήσιον χελιδόνι. ἔνιοι δὲ λάρον αὐτὸν λέγουσιν, οἱ δὲ αἴθυιαν. Q.V.

484. οὕτω τήνδε γαῖαν ἐγὼν ἴδον] εἰκὸς αὐτὸν ἀκηκοέναι παρὰ τοῦ Λαέρτου, ᾧ διηγήσαντο οἱ Φοίνικες. V.

488. ἀλλ' ἤτοι σοὶ] ἀλλὰ σοὶ μὲν ὁ Ζεὺς οὐ κακὸν μόνον παρέθηκεν, ἀλλὰ καὶ ἀγαθόν. Q. τῇ δυστυχίᾳ σου παρέθηκε τι ἀγαθόν. H.

σοὶ μὲν παρὰ] οὐκ ἀναστρεπτέον. H.

---

tiquæ ΑΜΑΤΡΩΧΩΝΤΑ. In textu M. habet ἅμα τροχόωντα. ἁματροχόωντα legit Eustathius p. 1788, 37. qui addit, γράφεται δὲ, φασὶ, καὶ ὁμοτροχόωντα.

2. ἐπραγματεύοντο H. ἐπραγμάτευον B.Q.

4. ἐπ' ἀγαθοῦ H. ἐπὶ καλοῦ B.Q.

12. χείρεσσιν] Metrum χείρεσιν postulat.

20. καίηξ] Lobeck. Pathol. Elem. vol. 1. p. 358. pro κήξ.

21. ἐκεῖνος] ἐκεῖνα H.

24. παρὰ τοῦ Λαέρτου] Vid. ad 417.

www.libpol.com.cn

ἔθηκε] ἔδωκε. Gl. H.

497. προέρυσσαν] προέρεσσαν, διχῶς. H.

498. εὐνὰς] τὰς ἀγκύρας τὰς κατευναζούσας τὰς ναῦς. H.

504. ἀγρόνδ' ἐπιείσομαι] πορεύσομαι ἐπὶ τὸν ἀγρόν. M.

ἐπιείσομαι] γρ. ἐπελεύσομαι. Gl. H.M.

506. ὁδοιπόριον] τὸν διὰ τὸν πλοῦν δεῖπνον, ἢ ἀμοιβήν. B.Q.V. τὴν ὑπὲρ τοῦ συνοδεῦσαι ἤτοι συμπλεῦσαι ἑστίασιν. B.Q.

514. ξενίων ποθή] τῶν πρὸς ξένων ὑποδοχὴν ἐπιτηδείων. B.Q. φειδώ. Q.

519. Εὐρύμαχον] ἀλλὰ τὸν Εὐρύμαχον λέγω ἀπελθεῖν ὃν φέροις πρός με. H. νῦν μὲν τοῦτόν φησι· μεταβουλευσάμενος δὲ τῷ Πειραίῳ αὐτὸν δέδωκεν. B.H.

δαΐφρων ὁ συνετὸς, ἀπὸ τοῦ δαῶ δαήσω, ὃ τὴν σύνεσιν δηλοῖ. ὡς παρὰ τὸ οἶδῶ Οἰδίπους, ἁμαρτῶ ἁμαρτίνοος. B.H.Q.

524. τελευτήσει] ἀντὶ τοῦ τελευτηθήσεται. B.

526. τὸ ἑξῆς, ἐν δὲ πόδεσσι πέλειαν ἔχων τίλλε· τῷ στόματι δηλονότι ἔτιλλεν εἰς τὴν γῆν τὰ τῆς περιστερᾶς πτερά. H.

529. ἑτάρων ἀπόνοσφι] ἵνα μή τις τὴν μαντείαν εἰς τοὺς μνηστῆρας ἐξαγορεύσῃ. Q.

531. ἔπτατο] γρ. ἦλυθε. H.

534. καρτεροὶ αἰεί] ἐγκρατεῖς, τὸ κράτος ἔχοντες. καὶ Ἀρχίλοχος "ὁ δ' Ἀσίης καρτερὸς μηλοτρόφου." H.Q. ὑπακουστέον τὸ ἔσεσθε. H.

δεσπόζοντες, ἐγκρατεῖς. ἐλλείπει δὲ τὸ ἔσεσθε. V.

539. Πείραιον προπαροξυτόνως. H.

540. οὕτως Ἀρίσταρχος. H.

2. προέρεσσαν correxi pro προέρεσσον. Conf. ι, 73. ν, 279.

4. ἀγρόνδ'] Sic M. in textu.

5. γρ. ἐπελεύσομαι M. γρ. om. H. ἐπελεύσομαι legitur in scholio ad π, 130. ubi hic locus citatur.

6. ἢ ἀμοιβήν om. B.Q.

8. ὑποδοχὴν] δοχὴν Q.

12. αὐτὸν om. B.

13. ὃ τὴν σ. δ. om. B.Q.

22. ὁ δ' Ἀσίης H. ὁ ἀσίης Q. Ἀσίης (omisso ὁ δ') Eustath. p. 1790, 7. ἡ δ' Ἀσίη τε vulgo apud schol. Eurip. Med. 703. (ubi de καρτερός pro ἐγκρατὴς dicto agit): sed duo codices ὁ δ' ἀσίη, omisso τε. Scribendum videtur ὁ δ' Ἀσίης ἦν καρτερὸς μηλοτρόφου.

καρτερὸς pro κρατερὸς correxi ex Eustathio et schol. Eurip.

26. οὕτως Ἀρίσταρχος] Vulgatæ hujus versus lectioni hæc ascripta esse Porsonus refert. Quænam autem altera fuerit ab Aristarcho rejecta idem nescisse videtur, neque ego quicquam varietatis adno-

www.libtool.com.cn

545. ἐνθάδε] ἀντὶ τοῦ ἐπὶ τῶν ἀγρῶν. V.

551. ἀκαχμένον] σεσιδηρωμένον, ἤτοι ἐστομωμένον. H.

553. ἀνώσαντες] ἀνωθήσαντες τὴν ναῦν. B.Q. εἰς τὸ ἄνω τὸν πλοῦν ποιήσαντες. V.

557. ἐνίαυεν] ἐν αἷς διέτριβεν. H.V.

Π.

ΥΠΟΘΕΣΙΣ.

Ἐλθόντος εἰς τοὺς ἀγροὺς Τηλεμάχου πέμπεται Εὔμαιος εἰς τὴν πόλιν ὀφείλων ἀπαγγεῖλαι τοῦ δεσπότου τὴν παρουσίαν. γίνεται δὲ ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς τὸν υἱὸν ἀναγνωρισμὸς κατὰ βούλησιν Ἀθηνᾶς, καὶ τῶν ἐπὶ τὴν ἐνέδραν Τηλεμάχου τεταγμένων ἐπὶ τὴν πόλιν ὑποστροφή. P.V.

ΑΛΛΩΣ.

Τηλέμαχος πρὸς Εὔμαιον ἀφικόμενος τὸν μὲν ἀποπέμπει ἀγγέλλοντα τῇ μητρὶ Πηνελοπείῃ, αὐτὸς δὲ γνωρίσας τὸν πατέρα Ἀθηνᾶς προαιρέσει σὺν ἐκείνῳ τὴν κατὰ τῶν μνηστήρων ἐπιβουλὴν σκέπτεται. καὶ νῆες κατάγονται εἰς Ἰθάκην ἥ τε τοῦ Τηλεμάχου καὶ τῶν ἐπιβουλευσάντων. καὶ τοὺς μνηστῆρας πάλιν ἐπιχειρεῖν τῷ Τηλεμάχῳ διανοουμένους ἐκώλυσεν Ἀμφίνομος. καὶ Εὔμαιος ἀπαγγείλας τῇ Πηνελόπῃ τὰ περὶ Τηλεμάχου εἰς τὸν ἀγρὸν ἐπανέρχεται. Q.

---

2. ἄριστον] ὅτι καὶ ἐν τῇ Ἰλιάδι ἅμα τῇ ἀνατολῇ ἐσθίουσιν. H. ἅπαξ ἐνθάδε τὸ ἄριστον καὶ ἐν Ἰλιάδι. H. τὴν ἑωθινὴν τροφὴν, ἣν τινες ἀκρατισμὸν λέγουσιν. B.

tatum invenio, nisi quod de Vindob. 133. ita Alter: περ ἄλλα] Cod. πάτερ ἄλλα. In qua relatione nisi tam liquido solum περ positum esset, e scholio nunc nostro suspicari possis, pro τάπερ antiquum forsitan sphalma, πάτερ, ab aliquibus retentum et notissimo illo πάτερ ὦ ξεῖνε defensum fuisse. Sed verosimilius mihi quidem est, vocativo illi in fronte versus Πείραιε Κλυτίδη infersisse alios ὦ. BUTTM. Probabilior Lehrsii sententia est (Aristarch. p. 308.) annotationem hanc ad accentum nominis Πείραιος, non Πειραῖος scribendi, spectare. Similis de accentu nominis Πήδαιον observatio Aristarchi memoratur ab schol. Il. ε, 65.

5. ἐν αἷς H. καθ' ἣν V.

7—12. Hoc argumentum est etiam apud Eustathium p. 1791.

22. ἣν τινες ἀ. λ. addita ex cod. Barnesii.

www.klitos.com.gr

3. ἐκπεμψαν] συλληπτικῶς. μόνος γὰρ ἐκπέμπει Εὔμαιος. Q.

5. οὐδ' ὕλαον προσιόντα] ὥσπερ καὶ Δόλωνα ἐπέγνω πρὸ τοῦ Διομήδους. προσεκτικώτατος οὖν δι' ἐπιμέλειαν. ἢ ὅτι καὶ προσδοκᾷ τὸν υἱὸν, προειπούσης Ἀθηνᾶς. H.

10. ὁμοίως τῷ "ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος" (Il. κ, 535.). H.

ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω] παρέλκει ἡ ὑπό. B.

12. ταφὼν] θαμβήσας, ἐκπλαγείς, ἢ θαυμάσας. ἔστι δεύτερος ἀόριστος ἐκ τοῦ θήπω ἔθαπον καὶ ἔταφον καὶ ταφών. Ἰωνική. ἡ μεταφορὰ ἐκ τῶν τάφων. καὶ γὰρ ἡμεῖς ὁρῶντες τοὺς τάφους ἐκπληττόμεθα διὰ τὸ ἐπεισερχόμενον ἡμῖν δεινόν. V.

15. κύσσε δέ μιν κεφαλήν] φιλοστόργως ὁ Εὔμαιος, ἐπεί τοι καὶ οἱ κύνες σαίνουσι πρὸς αὐτὸν ὡς ἂν συνήθως ὁρῶντες, οἵ τε μνηστῆρες πλεύσαντα αὐτὸν οἴονται περὶ τοὺς ἀγροὺς εἶναι (δ, 640.) ὡς πολλάκιστοῦτο ποιοῦντα. Q.

16. θαλερὸν κατὰ δάκρυον εἴβων] γρ. θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ. H. τῶν ὀφθαλμῶν τοῦ συβώτου φιλοῦντος τὸν Τηλέμαχον. H.

17. ἀγαπάζῃ] ἀγαπᾷς δεξιοῦται καὶ περιέπει. B.

19. Ἀριστοφάνης φησὶν ἐφ' ᾧ κατανίσθη ὑπὲρ τῆς ἐκδημίας. οὐκ ἀναστρεπτέον δὲ τὴν ἐπί πρόθεσιν. H.

21. πάντα κύσεν περιφύς] ἀντὶ τοῦ ὅλον αὐτὸν περιλαβὼν ἔκυσε. B.

23. ἦλθες, Τηλέμαχε] ἐνταῦθα ἡ στιγμὴ, καὶ καθ' ἓν τὰ λοιπά. δύνανται μέντοι καὶ μέχρι τοῦ φάος συνάπτεσθαι. H.

24. ἐπεὶ ᾤχεο] ἀφ' οὗ. B.

28. ἀλλ' ἐπιδημεύεις] ἐν τῷ δήμῳ τῆς πόλεως μένεις, ἐν πόλει διατελεῖς, διάγεις. B.Q.

εὔαδε] ἀπὸ τοῦ εὖ μορίου καὶ τοῦ ἀδῶ τὸ ἀρέσκω. B.Q.

29. ἀΐδηλον ὄμιλον] τὸν ἀδηλοποιὸν καὶ πάντα φθείροντα. B.Q. ἢ τὸν τοῦ φθαρῆναι καὶ ἀπολέσθαι αἴτιον. V.

31. ἔσσεται οὕτως] οὕτως ἔχουσι. Q.

ἄττα] προσφώνησίς ἐστι νέου πρὸς γέροντα. Q. [ἐπίφθεγμα τι-

8. Punctum facio ad Ἰωνική, ut μετοχή subaudiatur: non enim ad μεταφορά pertinere potest. BARNES.

15. κατὰ δάκρυον εἴβων] καταδάκρυον εἶβον H. in textu.

19. κατανίσθη] Sic in H. esse ait Cramerus, ipse κατηνέσθη (?) scribens. ἐφ' ᾧ κατανιαθῇ περὶ τῆς ἐκδημίας Nauck. Aristoph. p. 22.

www.libtool.com.cn

μητικὸν νεωτέρου πρὸς παλαιότερον. εἴρηται παρὰ τὸ ἄππα κατὰ Μακεδόνας τροπῇ γινομένῃ τοῦ π εἰς τ ἄττα. V.]

33. οὕτως μεγάροις. H.

35. χήτει ἐνευναίῳ] ἄμφω δοτικαὶ, ἡ μὲν ἀπὸ τοῦ χῆτος, ἡ δὲ ἀπὸ τοῦ ἐνεύναιον. H.Q.

ἐνευναίων] τῶν εὐνηθησομένων, ὅ ἐστι κοιμηθησομένων. ἢ τῶν περιβολαίων. Q.V.

τῇ χηρείᾳ καὶ σπάνει τῶν συνευνηθησομένων. ἐπὶ εὐθείας τὸ χῆτος. καὶ τοῖς ἀμελουμένοις τόποις παραφύεται ἀράχνια. B.H.

37. τετληότι θυμῷ] ὑπομονῆς ἀξίῳ. Q.

42. τῷ δ' ἕδρης] ἐπερχομένῳ Τηλεμάχῳ τῆς καθέδρας ὑπεχώρησεν Ὀδυσσεύς. Q. ὑπόειξεν] ὑπέειξεν Ἀρίσταρχος. H.

45. πάρεστιν ἀνὴρ ὃς καθίσει ἡμᾶς. H.

47. ἀναστρεπτέον τὴν ὑπό. H.

56. θεῖον] γρ. δῖον. H.

57. πόθεν τοι ξεῖνος] ὅτι νῦν ὀρθῶς εἴρηται πῶς ἀφῖκται πτωχὸς ὤν· κατὰ δὲ τὴν πρώτην ὅτε Μέντῃ εἰκάζεται ἡ Ἀθηνᾶ οὐχ ὑγιῶς. H.Q.

58. εὐχετόωνται] λέγουσι. Gl. H.

62. εὔχεται] νῦν, λέγει. V.

64. ἐπέκλωσεν τάγε δαίμων] εἱμαρμένον γενέσθαι ἐποίησεν. Q.V.

66. ἐγγυαλίξω] ἐγγυήσομαι καὶ παρέξω. H.

70. ἐμῷ] γρ. ἐγών. M.

1. ἐπίφθεγμα τιμητικὸν — ἄττα] Hæc ex Etym. M. p. 167, 33. illata videntur.

4. δοτικαί] δοτικά H. δοτικῇ Q. Correxi δοτικαί, quum non verisimile sit scholiastam duali uti voluisse δοτικά, aut neutro plurali, cui non aptum est quod sequitur ἡ μὲν—ἡ δὲ—. In lemmate ἐνευναίῳ correxi pro ἐνευναίων.

6. Præfixi lemma ἐνευναίων et separavi hoc scholion a præcedente, quocum coaluerat. Priori scholio χήτει ἐνευναίῳ, posteriore χήτει ἐνευναίων explicatur. De utraque scriptura Eustath. p. 1793, 47. τὸ δὲ χήτει φασὶν οἱ παλαιοὶ εὐθεῖαν ἔχειν τὸ χῆτος, οἳ καὶ ἐνευναίῳ γράφουσι κατὰ δοτικὴν πτῶσιν, χήτει ἐνευναίῳ, ἵνα εἴη τὸ ἐνεύναιον χῆτος· τὸ μέντοι συνηθέστερον κατὰ γενικὴν πληθυντικὴν γράφεται ἐνευναίων, ἵνα λέγῃ πάλιν ἐν χήτει τῶν ἐγκοιμήτρων.

8. συνευνηθησομένων H. εὐνασθησομένων B.

14. Post hoc scholion desiderantur quæ ad v. 49. dicta excerpsit Athen. 6. p. 228 D. de Aristophanis observatione quadam.

15. γρ. δῖον] Correctio scripturæ vitiose θεῖον. Conf. ad θ, 87.

17. Μέντῃ H. μέν τοι Q. Vid. schol. α, 171. et ξ, 188. item textum α, 406. 7. quanquam ibi nihil in scholiis. BUTTM.

www.libtool.com.cn

71. αὐτὸς μὲν νέος εἰμὶ] παῖς εἰμι καὶ οὐκ ἔχω ἰσχὺν τῇ ἀσθενείᾳ τῆς ἀτελοῦς ἡλικίας μου, ὅπως ἀμύνωμαι τοὺς κατ' ἐμὲ χαλεπαίνοντας, καὶ διὰ τοῦτο δυσχερῶς ἔχω τοῦτον τὸν ξένον μόνος ἐγὼ ὑποδέξασθαι. H.Q.

72. δύο μέρη λόγου τὸ ὅ τε· σημαίνει δὲ τὸ ὅς τε, ἵν' ᾖ, τὸν ἄνδρα ὃς ἂν πρῶτος ᾖ χαλεπώτερος. H.

χαλεπήνῃ] χαλεπῶς πράξῃ, εἰς χαλεπότητα τραπείη. H.

74. κομίζοι] ἐπιμέλοιτο. V.

77. δόξαν γὰρ ταῖς ἀγαθαῖς ἔφερον τὸ πολλὰ ὑπὲρ τοῦ μὴ γαμηθῆναι λαβεῖν. H.

79. ἔσσωμι] τηρητέον τοῦ ἔσσω τὸν τόνον· πλεονάζει γὰρ τὸ μι, ὡς κτείνωμι, ἀγάγωμι, τύχωμι. H.

82. κόμισσον] ἐπιμελείας ἀξίωσον. Q.

88. πρῆξαι δ' ἀργαλέον] δύσκολόν ἐστι μάχεσθαι μετὰ πλεόνων καὶ αὐτὸν τὸν ἰσχυρόν. Q.

91. τὴν τελευταίαν τοῦ ἐπεί ὀξυντονητέον, διὰ τὴν μοι ἐγκλιτικὴν οὖσαν. H.

92. δάπτεται] ἐσθίεται. V. 93. ὀξυτόνως τὸ φατέ. H.

95. ἦ σέ γε λαοὶ] ὁ δεύτερος ἦ περισπᾶται. H.

96. ἐπισπόμενοι θεοῦ ὁμφῇ] κατὰ κέλευσιν θεοῦ ἀφαιρούμενοί σε τῆς βασιλείας. B.Q.

97. ἤ τι κασιγνήτοις] ἆρα τοῖς σοῖς ἀδελφοῖς μαχομένοις ἐπιμέμφεαι ἤτοι αἰτιᾷ, καὶ διὰ τούτου τις τῶν ὑβριστῶν μνηστήρων μέγα θάρσος κατὰ σοῦ καὶ τῶν σῶν ἔχει καταναλίσκων τὴν περιουσίαν σου. H.Q. ἦ ἆρα ἀδελφοῖς μέμψιν τινὰ ἐχθρὰν ἔχεις, οἵτινες σοι ταῦτα ἐπαγείρουσιν. H.

ἐπιμέμφεαι] ἐστέρησαι. P. κασιγνήτοις ἐπιμέμφεαι] ἀντὶ τοῦ, οὐκ εἰσί σοι ἀδελφοί. V.

1. μὲν] γὰρ H.

5. δύο μέρη] Et sic H. in textu ὅ τέ τις.

τὸ ὅς τε, ἵν' ᾖ correxi pro τὸ οὕτε, ἵν' ᾖ ὁ.

6. Addidi ᾖ.

7. πράξῃ] ει super η scriptum in H.

11. ἔσσωμι—τύχωμι] Sic correxi pro ἔσσω μιν (sic H. in textu): τηρητέον τοῦ ἔσσω—γὰρ ἡ μιν, ὡς ἐκτείνω μιν, ἀγάγω μιν, τύχω μιν. Dixit de his formis in ωμι Eustath. p. 679, 40. 1279, 48. 1873, 9.

22. ἆρα om. Q.

23. αἰτιᾷ] αἰτιᾷς Q.

24. περιουσίαν σου] Sequitur in B.Q. scholion quod vide ad ρ, 97. Eodem modo erratum in Q. in scholio versui 103. adscripto, quod transposuimus ad ρ, 503., ubi legitur in H.

27. ἐστέρησαι Buttm. pro ἐνστέρεσαι.

www.libtool.com.cn

99. ἐνὶ θυμῷ] λείπει ἡ σύν, σὺν τῷ θυμῷ· Ἀρίσταρχος ἐπὶ θυμῷ. H. τῇ προθυμίᾳ. λείπει ἡ σύν. ὁ δὲ νοῦς, εἴπερ ἦμην ἐπὶ τούτῳ τῷ θυμῷ ᾧ νῦν ἔχω, καὶ νεότητα κεκτημένος, ὑπῆρχον δὲ υἱὸς Ὀδυσσέως ἢ καὶ αὐτὸς Ὀδυσσεύς, παρεκινδύνευσα ἂν ἀνελεῖν τοὺς μνηστῆρας. ὃ μὴ νοήσαντές τινες προσέθηκαν τὸ "ἔλθοι ἀλητεύων." ἔστι δὲ περιττὸς ὁ στίχος καὶ διαλύων τὸ πᾶν νόημα. H.M.

101. οὗτος ὁ στίχος ὀβελίζεται καὶ καλῶς. M.

104. ἀθετεῖ Ζηνόδοτος. H. καὶ οὗτος ἀθετεῖται· δύο γὰρ μόνα εὔχεται, ἢ παῖς ἐξ Ὀδυσσέως εἶναι, ἢ μόνος αὐτὸς ὁ Ὀδυσσεύς. H.

106. βουλοίμην κεν] οὕτως. H.

ἐνταῦθα σαφέστερον αἰνίττεται ὁ Ὀδυσσεὺς εἶναι τὸν οἶκον ἑαυτοῦ ἐν ᾧ οἱ μνηστῆρες προσεκάθηντο. H.

108. στυφελιζομένους] ὑβριζομένους ἢ προπηλακιζομένους. B.V.

109. ῥυστάζοντας] ἕλκοντας, βιαζομένους. B.V. μεθ' ὕβρεως σπαράσσοντας. Q.V.

111. ἀνηνύστῳ] ἀκωλύτως ἄνυσιν καὶ πέρας μὴ ἐπιδεχομένῳ. οὐ γὰρ ἤνυον οἱ μνηστῆρες τὸ γυναῖκα λαβεῖν τὴν τοῦ Ὀδυσσέως. Q.

117. οὕτως. H.

118. Ἀρκείσιος Εὐρυοδίας καὶ Διὸς, Λαέρτης δὲ Χαλκομεδούσης. Τηλεμάχου καὶ Πολυκάστης Περσέπτολις. Q.

126. ἵνα μὴ ἐπιβουλεύσωσιν αὐτῇ οἱ μνηστῆρες. H.

128. ἐχρῆν ὀρθοτονεῖσθαι τὴν με. H.

130. ἄττα] φίλε γηραιὲ, Εὔμαιε. H.

σὺ δ' ἔρχεο θᾶσσον] ἀναγκαία ἡ Εὐμαίου πρὸς τὴν πόλιν ἀποστολή. τοῖς γὰρ ἑταίροις εἰρήκει "αὐτὰρ ἐγὼν ἀγροὺς ἐπελεύσομαι ἠδὲ βοτῆρας, ἐσπέριος δ' εἰς ἀστὺ ἰδὼν ἐμὰ ἔργα κάτειμι" (ο, 504.). Q.

2. τῇ π. λείπει ἡ σύν addidi ex M.
ὁ δὲ νοῦς M. Legebatur ὁ λόγος.
4. ἂν addidit Buttm.
5. ἔλθοι H.M. ἔλθῃ Q.
6. περιττὸς ὁ στίχος καὶ M. περιττὸς ὁ καὶ H. περιττὸν ὃ καὶ Q., utergue omisso στίχος.
διαλύων H.M. διαλύων Q.
7. οὗτος — καλῶς a m. sec. habet M.
10. κεν] Sic, non κ' ἐν, H. in textu: quo fortasse spectat adscriptum in margine οὕτως. Idem ad v. 117, adscriptum est, ubi lectio in textu posita non differt ab vulgata.
19. Εὐρυοδίας] Sic etiam apud Eustath. p. 1796, 35. Sed scribendum Εὐρυοδείας, de quo dixi ad α, 275.
20. Περσέπτολις] Scribendum potius Περσέπολις, ut apparet ex versibus Hesiodi, quos apposuit Eustathius.
25. ἐπελεύσομαι] Vide ad ο, 504.

www.libtool.com.cn

ἐχέφρονι] γρ. περίφρονι. H. Vind. 133.

136. γιγνώσκω, φρονέω] ὅ τι ἐπιβουλείῃ γιγνώσκω, καὶ φρονῶ ἄτινά μοι κελεύεις. Q.

138. εἰ καὶ] γρ. ἦ. H. cum gl. ἆρα.

140. ἔργα] τὰ κτήματα καὶ τὸν οἶκον τοῦ Ὀδυσσέως. H.

141. κελεύοι] γρ. ἀνώγοι. Vind. 5.

143. αὖτως] ἀντὶ τοῦ ὡσαύτως. B. γρ. καὶ ἔμπης, ἀντὶ τοῦ ὁμοίως καὶ ὡς πρώην ἤσθιεν. H.

147. ἄλγιον] ἄλγιον μὲν τὸ μὴ εἰπεῖν. B.Q.

148. αὐτάγρετα] αὐθαίρετα, αὐτεξούσια ἢ παραυτὰ ἀγρευόμενα, ἀντὶ τοῦ, εἰ ὅσα ἐθέλομεν παραυτὰ καὶ ἐγίνετο. B.H. αὐθαίρετα, αὐτόληπτα, χωρὶς καμάτου. V.

151. πρὸς μητέρα εἰπεῖν] γρ. μητρός. H.

152. ἀμφίπολον] εἰπὲ τῇ Πηνελόπῃ ἐκπέμψαι τὴν δουλίδα πρὸς τὸν Λαέρτην λάθρα· ἐκείνη γὰρ αὐτῷ δύναται ἀναγγεῖλαι. ἀπὸ κοινοῦ γὰρ τὸ κρύβδην. B.Q.

152. 153. νοθεύονται, ὅτι μὴ πέμπει Πηνελόπη πρὸς Λαέρτην, εἰ μὴ ἄρα σιωπωμένως. H.

158. ἀπὸ γὰρ τοῦ εἴδους ἐμφαίνεται καὶ τὸ ἦθος. εἰσὶ γὰρ εἴδη τινὰ σωμάτων ἐντρεχῆ. H.

159. στῆ δὲ κατ' ἀντίθυρον] ἀντικρὺ τῆς θύρας. B.V.

φανεῖσα] ἀντέστραπται. οὐ γὰρ φανεῖσα ἔστη, ἀλλὰ σταθεῖσα ἐφάνη. B.

163. κνυζηθμῷ] ἤτοι ποππυσμῷ, ἢ μετὰ κλαυθμοῦ ποιῷ ἤχῳ τῶν κυνῶν. B.Q.V.

165. τειχίον] γρ. καὶ θριγκίον. M. θριγκίον] τὸ περίφραγμα. V.

168. φάεο] λέγε. V.

169. ἀραρόντε] νῦν ἀντὶ τοῦ κατασκευάσαντες. B.

171. ὀρθοτονητέον τὴν σφῶϊν. H.

173. εὐπλυνὲς] οὐχ ἕτερον, ἀλλ' ὅπερ εἶχεν, εὐπλυνὲς καὶ λαμπρὸν φαίνεσθαι ἐποίησεν. B.

1. γρ. om. Vind. In M. περίφρονι est in textu, sed superscriptis literis ἐχέ.

7. γρ.—ὁμοίως] Hoc est etiam in Vind. 133. In Vind. 56. voci αὖτως superscriptum γρ. ἔμπης. Ad ἔμπης ἀντὶ τοῦ ὁμοίως conf. schol. ε, 205. σ, 354. BUTTM.

10. παραυτὰ] παρ' αὐτὰ H.

11. εἰ om. B.

17. πέμπει] πέμπη H.

www.libnoo.com.cn

175. πολλῶν δὲ κατορθωμάτων αἴτιος ἔμελλεν ἔσεσθαι ὁ ἀναγνωρισμὸς, ὡς ἐκ φύσεως ἦν. στεριφώτερα δὲ τὰ μέλανα τῶν σωμάτων. H.

ἆψ δὲ μελαγχροιὴς] ὀξυτόνως. τοῦτο δὲ κατὰ συγκοπὴν Ἀττικοὶ μελαγχρής φασιν, ὡς Εὔπολις. H.Q. καὶ τὸ οὐδέτερον Μένανδρος εἴρηκε "μελαγχρὲς μειράκιον." H.

καὶ πῶς ἐν τῇ μεταμορφώσει φησὶ "ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τρίχας" (ν, 399.); φαμὲν οὖν πρὸς τὸ πιθανὸν τῆς φαλακρώσεως. αἱ γὰρ ξανθαὶ τρίχες ἀραιαί εἰσι καὶ εὐχερῶς φαλακροῦνται. ὀλέσω οὖν τὰς τρίχας ἔμφασιν παρέχουσα ξανθότητος. καὶ οἱ φαλακροὶ γὰρ ἔχουσιν ἐλλείμματα δεικνύντα τὴν προτέραν τρίχωσιν. H.Q.

185. δῶρα τετυγμένα] ἀναθήματα, ἀγάλματα. V.

φείδεο δ' ἡμῶν] φειδὼ ἡμῶν λάμβανε καὶ ἐλεημοσύνην. Q.

δ' ἡμέων] γρ. δ' ἡμῶν. H.

191. πάρος δ' ἔχε] πρότερον κατέσχεν αὐτὸν τῶν δακρύων ἀγνοῶν εἶναι τὸν υἱὸν αὐτοῦ τὸν Τηλέμαχον. Q.

195. θέλγει] ἡ κυκλικὴ, θέλγεις. H.

197. ᾧ] γρ. οἷ. H.

202. οὐχ ἁρμόζει διὰ βάθους καὶ ἐκ ψυχῆς ὄντα φίλων ὑμῶν. H.

205. ἀνατλάς] γρ. ἀληθείς. Vind. 133.

207. Ἀθηναίης ἀγελείης] τῆς ἀγούσης τὰς λείας ἤτοι τὰς λαφυραγωγίας. ἡ γὰρ φρόνησις τοιαῦτα δρᾶν οἶδε. Q.

208. Ἀρίσταρχος ἀντὶ τοῦ τίθησιν τὸ ἔθηκεν ἐξηγεῖται. H.

212. ἠμὲν κυδῆναι] γρ. ηὐδῆναι. H.

214. Ἀρίσταρχος ἀμφιχυθείς. H.

2. στεριφώτερα] στερεότερα (corr. στερεώτερα) scriptum apud Eustath. p. 1799, 15.

5. μελαγχρής pro μέλαγχρις correxi ex Eustathio p. 1799, 16. Dixit de hac forma Lobeck. Paral. p. 256.

7. ὀλέσω] ὤλεσε H.

10. παρέχουσα] παρεχούσας H.

11. De versu proximo (176.) schol. Theocriti 1, 34. ἔθειρα ἡ τῆς κεφαλῆς θρίξ. ὅθεν Ἀριστοτέλης (Ἀρίσταρχος Lehrs. Arist. p. 50.) ἐν Ὁμήρῳ ἔγραψεν "κυάνεοι δ' ἐγένοντο γενειάδες ἀμφὶ γένειον," οὐκ ἐθειράδες.

17. ἡ κυκλικὴ hic et ad ρ, 25. videtur esse editio quæ in Cyclo h. e. cum poetis cyclicis ceteris circumferebatur. BUTTM. Eadem Lehrsii sententia est de stud. Aristarchi p. 30.

18. οἷ Buttm. pro οἱ. Fort. οὗ. Mox ad v. 203. in V. scholion est de voc. περιώσιον ex Etym. M. p. 665, 28. compilatum.

24. γρ. ηὐδῆναι] ?

25. Ἀρίσταρχος ἀμφιχυθείς] Sic nunc libri omnes. Altera scriptura quæ fuerit nescimus.

www.libtool.com.cn

216. ἀδινώτερον ἦ τ' οἰωνοί] ἀντὶ τοῦ πλέον τῶν οἰωνῶν. Ἀττικὴ ἡ φράσις. B.Q.

217. φῆναι ἢ αἰγυπιοὶ] εἶδη ταῦτα ἀετῶν. ἡ φήνη ζῷόν ἐστι πτερωτὸν, ἥπερ τῶν τέκνων αὐτῆς στερηθεῖσά ποτε ἐλεεινῶς πέφυκεν ἀποδύρεσθαι. Q.

218. πάρος πετεηνὰ γενέσθαι] πρὸ τοῦ ἰσχύειν πέτεσθαι. H.

230. εἰς Ἰθάκην γὰρ αὐτὸν κατήγαγον ἐκεῖνοι· αὐτὸς δὲ ἐν Ἰθάκῃ ἐστὶν, ὥστε εἰς Ἰθάκην γραπτέον. H.

234. περιβουλεύσωμεν] ἀναστρεπτέον τὴν περί. H.

236. ὄφρα ἴδέω] ὄφρα εἰδέω. H. εἰδέω] μάθω. V.

239. ἀθετεῖ Διονύσιος. H.

διζησόμεθ'] εὐθεῖα δυϊκῶν. H.

245. ἀτρεκὲς] νῦν, μόνον, ὡς τὸ "ἀτρεκὲς αἶμ' ἔσσευα βαλών" (Il. ε, 208.). δύναται μέντοι κἀκεῖ τὸ φανερὸν καὶ πρόδηλον, καὶ ἐνταῦθα τὸ ἀκριβὲς καὶ ἀληθές. Q.

246. ἀλλὰ πολὺ πλέονες] γρ. ἀλλὰ πολὺ πλεῖον. H. τοὺς μνηστῆρας ρή' Ἀρίσταρχός φησι, συμφωνεῖ δὲ τῷ ἀριθμῷ καὶ τὰ ἔπη. H.

249. φῶτες ἔασιν] γρ. Ἀχαιῶν. H.

250. φῶτες Ἀχαιῶν] γρ. κοῦροι. Vind. 133.

253. δαιτροσυνάων] μαγειρικῶν ἔργων. H.

255. μὴ] ὑπακουστέον τὸ δέδοικα. σύνθετον τὸ πολύπικρα, καὶ ἔστιν ἀντὶ τοῦ πολυπίκρως. H.

πολὺ πικρὰ] γρ. πολύπικρα, ἐπίρρημα. Vind. 133.

πολύπικρα] πολυπίκρως καὶ δεινῶς. V.

265. ἀνδράσι τε] ἀντὶ τοῦ, ἄλλων ἀνδρῶν καὶ θεῶν. B.

267. κείνω] ὁ Ζεὺς καὶ ἡ Ἀθηνᾶ. B.Q.

270. τὸ νῦν ἀντὶ τοῦ δή, ὁμοίως τῷ "ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον." (Il. λ, 362.). H. ἔρχε'] ἔρχου. V.

10. ὄφρα ἴδέω scripsi pro ὄφρά οἱ ἰδέω, quod H. in textu habet post lituram. Recte ὄφρα ἰδέω M. in textu, ὄφρ' εἰδέω ex correctione.

ὄφρα εἰδέω] Scribendum γρ. ὄφρ' εἰδέω.

16. πολὺ πλεῖον correxi pro πολλοὶ πλεῖον. Hanc scripturam πολὺ πλεῖον in textu habet M.

18. φῶτες ἔασιν] Sic H. in textu et v. 249. κοῦροι Ἀχαιῶν. In libris deterioribus sedes nominum φῶτες et κοῦροι permutata est ita ut prior versus verbis κοῦροι ἔασιν, alter verbis φῶτες Ἀχαιῶν terminetur. Rectam scripturam in libro suo habuit Eustathius. "Versibus 247. 249. 250. 251. in M. adscripti obeli —, fortasse pro ※" COBET.

27. τὸ νῦν—δή] Hæc verba sunt etiam in B.

www.libtool.com.cn

271. ὑπερφιάλοισιν] πεπληρωμέναις φιάλαις. Q.

277. σὺ δ' εἰσορόων] γρ. σὺ δ' ὁρόων. H.

280. ἡ ἡμέρα τῆς κακῆς αὐτῶν μοίρας περιμένει αὐτούς. H.

281. ἄλλο δέ τοι ἐρέω] νοθεύονται ιή. πόθεν γὰρ ᾔδει τὰ ὅπλα ἐν τῷ ἀνδρῶνι ἀντικείμενα; οἰκείως δὲ χρήσεται τῷ λόγῳ ὅταν αὐτὰ θεάσηται. H.Q. Vind. 133. ἀθετεῖ Ζηνόδοτος ιή. H.

287. παρφάσθαι] παραπεῖσαι, παραλογίσασθαι, συμβουλεῦσαι. B.H.Q.

288. ὅτε, φησὶ, τὰ ὅπλα τῶν μνηστήρων κρύψεις, Τηλέμαχε, καὶ οἱ μνηστῆρες ταῦτα ψηλαφῶσιν, εἰπὲ αὐτοῖς ὅτι ταῦτα κατέκρυψα διὰ τὸ τήκεσθαι ἐκ τοῦ καπνοῦ καὶ τοῦ πυρὸς τῆς οἰκίας. H.Q.

295. αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος] πρόχειρος γὰρ ἀνὴρ πρὸς φόνον παρακειμένου σιδήρου. B.Q.V.

304. ἰθύν] τῆς διανοίας διάθεσιν. B. οὕτως αἱ Ἀριστάρχου. ὁρμὴν, σκοπόν. H.

305. καί τε τέο] τὸ τε ἀόριστον. διὸ καὶ ἐπὶ τοῦ κέ ὁ τόνος. ὁ δὲ Ἀσκαλωνίτης ἐτεοδμώων, τῶν ἀγαθῶν θεραπόντων. τινὲς δὲ οὕτως, ὅτεο δμώων, τῶν ὄντων ἡμετέρων δούλων. H.Q.

πειρηθῶμεν] γρ. πειρηθείημεν. Vind. 133. διάπειραν λῃψώμεθα. V.

306. ἠμὲν ὅπου τις νὼ τίει] τὸ ὅπου τοπικόν ἐστιν ἀντὶ τοῦ, καὶ ὅπου τις ἡμᾶς τιμᾷ γνῶμεν, καὶ ὅπου τις οὐ φροντίζει ἡμῶν. πολλάκις γὰρ κατὰ πρόσωπον τῆς Πηνελόπης καλῶς ἡμᾶς λέγει, ἀπούσης δὲ ἀτιμάζει. B.Q.

ὅπως] γρ. ὅπου. Vind. 133.

310. χαλιφροσύναι] ἤτοι ἀφροσύναι ἢ κεχαλασμέναι καὶ ἔκλυτοι φρένες, ἢ σκαιαὶ καὶ ἀβέλτεροι τῇ διανοίᾳ. B.Q.V.

4. νοθεύονται ιή (id est v. 281—298.) H.Q. ἀθετεῖ ζηνόδοτος ιή Vind.

5. οἰκείως] οἰκείῳ Vind.

ὅταν αὐτὰ θεάσηται] Conf. schol. τ, 4. Eustath. p. 1803, 4. ἱστέον δὲ ὅτι ἡ περὶ τῶν ὅπλων ἐνταῦθα παραγγελία τῇ τῆς Τ μάλιστα ῥαψῳδίᾳ φκείωται κατὰ τοὺς παλαιούς· ὧδε γὰρ ὀβελίζονται, φασὶ, τὰ τοιαῦτα ἔπη μετὰ καὶ ἀστερίσκων, ἐκεῖ δὲ καιριώτατα κεῖνται ὅπου καὶ εἶδεν Ὀδυσσεὺς τὰ ὅπλα. νῦν γὰρ, φησὶν, ἐν ἀγροῖς ὢν πῶς οἶδεν ὅτι πρόχειρα κεῖνται ὅπλα ἐν τῷ οἴκῳ;

7. παρφάσθαι] παρφᾶσθαι H.

συμβουλεῦσαι] εἰπεῖν B.Q.

9. κρύψεις H. κρύψας Q.

14. οὕτως αἱ Ἀριστάρχου] Alii igitur aliter.

16. τὸ τε] In Vind. 133. ipse textus habet καί κέ τε et diserte suprascriptum γρ. καί κε τέο. Neque sane rejicula esset scriptura καί κεν τε. In nostro tamen scholio istud τε merum esse mendum pro τεο contextus docet. BUTTM.

21. γνῶμεν Buttm. pro γνώμῃ.

www.libtool.com.cn

314. μετερχόμενος] διὰ σπουδῆς ἔχων. V.

316. δεδάασθαι] ἀντὶ τοῦ καταμανθάνειν· ἀνυπόπτως γὰρ τὰ τούτων ἤθη μαθήσῃ κατὰ τὴν οἰκίαν. H. μανθάνειν τὰ τούτων ἤθη. Q.

317. νηλητεῖς] ἀναμάρτητοι, ἐκ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ἁλιταίνω τὸ ἁμαρτάνω. B.

318. σταθμοὺς] νῦν τοὺς οἴκους. H.V.

319. ἀλλ' ὕστερα] μετὰ τὴν μνηστηροκτονίαν· ἤτοι ἐὰν γινώσκῃς τι ἀπὸ χρησμοῦ. B.

324. τοῦτο δευτερολογία. H.

326. τεύχεα δέ σφ'] ἀντὶ τοῦ αὐτῶν. καὶ αὐτοὶ γὰρ εἶχον ὅπλα. B.

327. Κλυτίοιο] τοῦ πατρὸς τοῦ Πειραίου. B.

333. συναντήτην] συνέδραμον, συνήντησαν. V. συνήντησαν ὅ τε κῆρυξ καὶ ὁ συφορβὸς ἀλλήλοις. H.

335. βασιλῆος] γρ. Ὀδυσῆος. M.

337. ἐκ Πύλου ἦλθεν] γρ. εἰλήλουθε. H.

342. ἀκάχοντο] ἐλυποῦντο. κατήφησαν] ἐστύγνασαν, κατηφεῖς ἐγένοντο. H. ἐλυπήθησαν, ἐστύγνασαν. V.

343. ἐκ δ' εἶλον] ἐξελάβοντο δέ. V.
ἐκ δ' ἦλθον] ἐξῆλθον δέ. V.

344. αὐτοῦ] γρ. ἀγχοῦ. M.

346. ὑπερφιάλως] ὑπερηφάνως ὁ κατὰ τοῦ Τηλεμάχου λόχος ἡμῖν ἐτελέσθη καὶ ἡ ὁδὸς αὕτη. ἐλέγομεν δὲ ὅτι οὐ μὴ τελέσῃ τὴν πρὸς τὸν οἶκον ὁδὸν αὐτοῦ ἀκινδύνως. Q.

τετέλεσται] γρ. ἐτελέσθη. H.M.

ἐτελέσθη] ἐτελειώθη, ἐπράχθη. V.

347. φάμεν] παροξυτόνως, ἵνα ᾖ παρατατικός. B.

350. κείνοις] ἤτοι τοῖς ἐλλοχῶσι τῷ Τηλεμάχῳ. B.

351. τοῦτο ἐκ τοῦ ποιητοῦ. H.

354. ἠδὺ δ' ἄρ' ἐκγελάσας] γελάσας εἶπε τοῖς ἰδίοις ἑταίροις μνηστῆρσι, μή τινας ὑμῶν ὀτρύνητε ἀπελθεῖν καὶ εἰπεῖν τοῖς τὸν

5. νηλητεῖς] Cum hoc scholio conf. schol. τ, 498. In V. longior de vocabulo νηλητεῖς annotatio est compilata ex Etym. M. p. 603, 49., ut alia hujusmodi additamenta notata ab nobis supra ad v. 31. 203. et ad ρ, 71.

16. In Vind. 133. oscitanter ita scriptum, γρ. φίλος πάϊς ἐκ Πύλου εἰλήλουθεν. BUTTM.

23. τελέσῃ] τελέσει Buttm.

Τηλέμαχον λοχῶσιν ἐλθεῖν· ἤδη γὰρ ἐκεῖνοι μεμαθηκότες τοῦ Τηλεμάχου τὴν ἐνταῦθα ἐπιδημίαν ἐντὸς τῆς αὐτοῦ οἰκίας εἰσέρχονται. H.

μετεφώνεεν] γρ. προσεφώνεεν. H.

357. κιχάναι] γρ. κιχῆσαι. H.

360. τεύχεα δέ σφ' ἀπένεικαν] νῦν ἄμφω, καὶ τὰ τῆς νεὼς καὶ τὰ πολεμιστήρια. B.

365. ἐπ' ἄκριας] ἐπὶ τὰ ὑψηλότατα μέρη τῶν ὀρῶν. H.

367. ἄσαμεν] ἐκοιμήθημεν, ἐκαθευδήσαμεν, ἢ ἀνεπαύθημεν. H.

375. ἐφ' ἡμῖν ἦρα φέρουσιν] ἡ ἐπί πρὸς τὸ ἦρα, ἐπίηρα, τὴν μετ' ἐπικουρίας χάριν. B.Q.

377. οὐ γάρ τι μεθησέμεναι] οὐ γὰρ καταλείψει Τηλέμαχος τὸ ἀθροῖσαι ἀπὸ τῆς ἀγορᾶς λαὸν καὶ εἰπεῖν τὴν αὐτοῦ συμφορὰν καὶ ἅπερ παρ' ἡμῶν ἔπαθεν ἡ οἰκία αὐτοῦ. Q.

383. ἀλλὰ φθέωμεν] ἢ ἐν τῷ ἀγρῷ ἢ ἐν ὁδῷ ἐπανιόντι. ἐπανέλαβε δὲ διὰ τοῦ ἀλλά τὸν λόγον, ἐπεὶ μεταξυλογίᾳ ἐχρήσατο. B.

385. κατὰ μοῖραν] γρ. καὶ κατὰ δῆμον. M. Vind. 133.

ἐφ' ἡμέας] τουτέστι, καθ' ἑαυτούς. B.V. μὴ τοῖς ἀποῦσι μερίσωμεν. V.

389. θυμηδέα] τὰ τῇ ψυχῇ ἡδονὴν παρέχοντα. B.Q.V.

403. αἰνήσωσι] ἐπινεύσωσι, συγκατάθωνται. V.

410. ὑπέρβιον ὕβριν ἔχουσιν] γρ. ἀπεχθομένοισί περ ἔμπης. Vind. 133.

412. μέδων] ἐκ βίας γὰρ εἶχον αὐτὸν ὡς καὶ τὸν Φήμιον. Q.

418. ἄμεινόν ἐστιν ὀρθοτονεῖν τὴν σέ. H.

420. ἔησθα] ὑπάρξεις. V.

421. βαρυτονητέον τὸ μάργε· ἔδει δὲ ὀξύνεσθαι. H.

422. ἱκέτας] τοὺς προσδεχομένους ἱκέτας ὠνόμασεν ὁμωνύμως αὐτοῖς τοῖς ἱκετεύουσιν, ὡς ἄν τις εἴποι τοὺς ἱκετοδόχους, ὥσπερ χρῆσται λέγονται οἱ ὀφείλοντες καὶ οἱ δανείζοντες. V. οὕτως εἶπε τοὺς ἱκετοδόχους, ὡς χρῆσται καὶ οἱ χρεωστοῦντες καὶ οἱ δανείζοντες. Ἄλλως. καὶ τὸν ἱκετεύσαντα καὶ τὸν ἱκετευθέντα. οὐ χρὴ γὰρ τούτων τὸν ἕτερον κακῶς φρονεῖν θατέρῳ. οὐκ αἰσχύνῃ οὖν οὔτε τὸν σὸν πατέρα ἱκετεύσαντα, οὔτε τὸν Ὀδυσσέα τὴν ἱκεσίαν δεξάμενον; Q.

4. κιχάναι] Sic H. in textu, vitiose pro κιχῆναι.

21. γρ. ἀ. π. ἔμπης] Illatum ex σ, 165. Versum 410. M. a m. recentiore habet in margine post 412. Est igitur fortasse delendus.

31. τὸν ante ἕτερον addidit Buttm. σὸν Buttm. pro ἑόντα.

www.libtool.com.cn

ἱκέτας ἐνταῦθα τοὺς προσδεχομένους μᾶλλον ἢ τοὺς προσιόντας αὐτοῖς φησιν. B.

423. μάρτυρος] μάρτυς κατὰ Ἴωνας. V.

οὐδ' ὅσιον] γρ. οὐδ' ὁσίη. Vind. 133.

424. ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων] τοὺς Ἰθακησίους φεύγων εἰς τὸν οἶκον Ὀδυσσέως κατέφυγε. τὸ δὲ δεῦρο δεικτικὸν εἰς τὴν Ὀδυσσέως οἰκίαν. Ἰθακήσιος γὰρ ἦν ὁ Εὐπείθης. B.

427. πολλοὶ ὀρθοτονοῦσι τὴν ἥμιν, κακῶς. H.

428. κτεῖναι] γρ. φθεῖσθαι. M.

429. ζωὴν] τὸν βίον τὸν τῆς οὐσίας περιεκτικόν. V.

κατὰ ζωὴν φαγέειν] δημεῦσαι τὰ χρήματα. πλείων δὲ ἡ κατηγορία ὅτι καὶ πολλῆς οὐσίας ἀζημίωτον αὐτὸν ἐποίησεν ὁ Ὀδυσσεύς. ὥστε πλείω ὄφειλεν εἶναι ἢ χαρίζεσθαι ὅτι πολλὰ ἔχων νῦν ἀλλότρια ἐσθίει. Q.

μενοεικέα] τὴν προσήκουσαν τῷ μένει καὶ τῷ θυμῷ ἐκείνου. Q.

431. ἄτιμον] ἀντὶ τοῦ ἀτίμως. Q. ἀτιμώρητον. ἔδεις δὲ προῖκα, μὴ καταβάλλων τὴν τιμὴν τῶν ἐσθιομένων. B.H.

434. Πολύβου παῖς] γρ. πεπνυμένος. H.

441. ταχέως τὸ αἷμα τὸ σκοτεινὸν χυθήσεται παρὰ τῷ ἐμῷ δόρατι, τοῦ ὁρμήσαντος φονεῦσαι τὸν σὸν υἱὸν Τηλέμαχον. H.

αἶψά κεν] γρ. αἶψά οἱ. Vind. 133.

449. ὑπερῴϊα] γρ. ὑπερῶα. H.

σιγαλόεντα] ποικίλως κατεσκευασμένα. Q.V.

453. ἐπισταδὸν] ἐπιστημόνως. V. ἐπισταμένως. Q.

ὁπλίζοντο] οὕτως διὰ τοῦ ο. H.

457. λυγρὰ] εὐτελῆ, ἢ λαμπρά. V.

461. ἐρωτηματικῶς, κεῖθεν ἦλθες ὅπου καὶ ἐπέμψαμέν σε; ἢ ἀποφαντικῶς, ἴδου, φησὶν, ἦλθες ἀπαγγείλας. H.

466. βλώσκοντα] ἀντὶ τοῦ καταβλώσκοντι· ἐστὶ δὲ μολίσκοντι, φοιτῶντι. ἀναστρεπτέον τὴν κατά. H. ἀνύοντα· ἢ κατελθόντα· ἢ πορευόμενον. V. καταβλώσκοντα] μολίσκοντα, φοιτῶντα, κατελθόντα, ἢ πορευόμενον. B.Q.

ἄνωγεν] γρ. ἀνώγει. H.

468. ὠμήρησε] ὁμοῦ συνέβαλε, συνέτυχεν. V. ὠμήρησε δέ μοι]

1. ἢ addidit Buttm.
16. ἀντὶ τοῦ ἀτίμως Buttm. pro ἀντὶ τοῦ ἀτίμων. Recte ἀτίμως in V.
ἔδεις] εἶναι H.
24. ἐπισταδὸν] Conf. ad ν, 54.
34. ὠμήρησε] Etym. M. ὠμήρησε —

www.libtool.com.cn

συνέτυχεν, ἐκ μεταφορᾶς τῶν ὁμοῦ ἐρεσσόντων, ἢ ἀπὸ τοῦ ἅμα ἀρηρεναι. τινὲς δὲ παρῆχθαι, ὡς οἶνος οἰνηρός, οἶσυπος οἰσυπηρός (οἶσυπος δέ ἐστιν οἰὸς ῥύπος), οὕτω καὶ ἐκ τοῦ ὅμος ὅμηρος. B.H.Q.

471. ὑπὲρ πόλιος] ἀντὶ τοῦ ἔξω τῆς πόλεως. V.

Ἑρμαῖος λόφος] ὁ σωρὸς τῶν λίθων ἐν ταῖς ὁδοῖς ἑρμαῖον ὀνομάζεται. ἢ πάθος ἰώμενος βωμὸς ἢ λόφος ἑρμαίου. ἢ ὡς ἐπί τινος λόφου Ἑρμοῦ ἱδρυμένου. V.

Ἑρμῆς πρῶτος ἐκάθηρε τὰς ὁδούς, καὶ εἴ που ἐκάθηρε, λίθον ἀπέθετο ἔξω τῆς ὁδοῦ, ὃ σημεῖον ἦν. Ἑρμαῖος οὖν λόφος ἀντὶ τοῦ σημεῖον τῆς ὁδοῦ. τὰ γὰρ σημεῖα τῶν Ῥωμαίων μιλίων Ἑρμαίους λόφους καλοῦσιν. B.H.Q.

Ἑρμῆς κατὰ Διὸς κέλευσιν ἀνελὼν Ἄργον τὸν τῆς Ἰοῦς φύλακα ἦχθη ὑπὸ δίκην, Ἥρας αὐτὸν καὶ τῶν ἄλλων ἀγαγόντων θεῶν εἰς κρίσιν ὅτι πρῶτος ἐπεβεβλήκει δαιμόνων θνητῶν μιάσματι τὸν Ἄργον καὶ ἀνῃρήκει. κρίνοντας δὲ τοὺς θεοὺς εὐλαβεῖσθαι μὲν τὸν Δία διὰ τὸ ὑπόδικον γεγενῆσθαι τὸν Ἑρμῆν ταῖς αὐτοῦ παραγγελίαις. ἅμα δὲ ἀφωσιωμένους τὸ ἄγος καὶ τῆς ἀνδροφονίας ἀπολύοντας αἷς εἶχον ὀργαῖς προσβαλεῖν αὐτῷ τὰς ψήφους, καὶ οὕτως ἐπισωρευθῆναι πρὸς τοῖς ποσὶ τοῦ Ἑρμοῦ ψήφων πλῆθος. ὅθεν καὶ τοὺς ἀνθρώπους ἄχρι τοῦ νῦν εἰς τιμὴν Ἑρμοῦ κατὰ τὰς ὁδοὺς, διὰ τὸ τὸν θεὸν εἶναι τοῦτον καθηγεμόνα καὶ ἐπίτροπον τῶν ἐκδημούντων, σωροὺς ποιεῖν λίθων καὶ διάγοντας προσβάλλειν λίθους, καὶ τούτους καλεῖν Ἑρμαίους λόφους. ἔστι δὲ λόφος πᾶν τὸ εἰς ὕψος μετέωρον. ἡ ἱστορία παρ' Ἀντικλείδῃ. Q.V.

477. ἐξέφυγε, μὴ γνῶσιν ὅτι τὸν πατέρα εἶδεν. H.

478. πόνου] τοῦ περὶ τὸ δεῖπνον. V.

481. κοίτου τε μνήσαντο] γρ. δὴ τότε κοιμήσαντο. H.P.

— ὠκύς, Ὀδυσσείας Π, ἀντὶ τοῦ συνέτυχεν, ἀπὸ μεταφορᾶς τῶν ὁμοῦ ἐρεσσόντων. Πῶς δὲ ἐν Τεμνήματι τῆς Π ἀντὶ τοῦ συνήντησεν. BUTTM.

3. οὕτω—Ὅμηρος om. B.Q.

10. Ῥωμαίων Buttm. pro ἑρμείων, quod om. H.

μιλίων Buttm. pro μειλίων. Eustath. p. 1809, 33. ἄλλοι δὲ νοοῦσιν ἑρμαίους κοινῶς λόφους σημεῖα ὁδῶν κατὰ τοσήν τινα διάστασιν μιλιασμοῦ τυχὸν ἢ σταδιασμοῦ.

15. διὰ addidit Buttm.

16. αὐτοῦ Buttm. pro ἑαυτοῦ.

18. ὀργαῖς Buttm. pro ὀργήν.

21. ἐπίτροπον Barnes. pro τρόπον.

ἐκδημούντων] ἐκδικούντων V.

23. Ἀντικλείδῃ] In ejus ἐξηγητικῷ, sive vocum dictionumque reconditæ originis explicatione. Vid. Voss. it. Schweigh. in Ind. Auct. ad Athenæum. BUTTM. Ad Νόστους Anticlidis refert Meierus in Comment. Andocid. 6, 3. p. vii.

www.libtool.com.cn

P.

ΥΠΟΘΕΣΙΣ.

Εἰς τὴν πόλιν ἐλθὼν Τηλέμαχος διηγεῖται τῇ μητρὶ Πηνελόπῃ τῆς ἀποδημίας τὰ κεφάλαια. ὕστερον δὲ Ὀδυσσεὺς ἀχθεὶς ὑπὸ τοῦ Εὐμαίου εἰς Ἰθάκην ἀπὸ τῶν ἀγρῶν εἰς τὸ συμπόσιον τῶν μνηστήρων εἰσέρχεται. ὁ δὲ ποιητὴς ἀπαγγέλλει πῶς ὁ κύων ἀναγνωρίζει τὸν δεσπότην. καὶ Εὔμαιος εἰς τοὺς ἀγροὺς ὑποστρέφει, Ὀδυσσεὺς δὲ ἐν αὐτοῖς μένει. P.V.

ΑΛΛΩΣ.

Ὀδυσσέως ἄφιξις εἰς τὴν πόλιν. τὰ δὲ κατὰ μέρος ἐστὶ τοιαῦτα. Εὐμαίῳ προστάσσει Τηλέμαχος ἵνα μεθ' ἑαυτοῦ ἀγάγῃ τὸν Ὀδυσσέα εἰς τὴν πόλιν. ἐκείνου τοῦτο ποιοῦντος Μελάνθιος ὁ αἰπόλος συντυχὼν αὐτῷ κατὰ τὴν ὁδὸν ὑβρίζει τὸν Ὀδυσσέα λακτίσας. ὁ δὲ ὀλιγώρως ἤνεγκε τὴν ὕβριν. ἐπεὶ δὲ εἰς τὰ βασίλεια κατήντησε, καὶ ὡς ξένος θεωρεῖται. συνευωχούμενος δὲ Τηλέμαχος αὐτῷ παρέσχε τὰ χρήσιμα. προστάξαντος δὲ τοῦ λοιποῦ προσῄτει, καὶ ὑβρίζεται ὑπὸ Ἀντινόου. μαθοῦσα δὲ ἡ Πηνελόπη τὴν ὕβριν μεταπέμπεται αὐτόν. ὁ δὲ οὐ παραγίνεται κατὰ τὸ αὐτό, ὑπέσχετο δὲ τοῦτο ποιῆσαι νύκτωρ. ἐπειγομένης νυκτὸς καὶ Εὔμαιος εἰς τοὺς ἀγροὺς πορεύεται. καὶ ἐν τούτοις λήγει ἡ ῥαψῳδία. Q.

---

4. εἴλετο δ' ἄλκιμον ἔγχος] μόνον τοῦτο ὠνόμασε, τὸ δὲ ξίφος σεσιώπηκεν, ἐπειδὴ τὸ ξιφηφορεῖν ἀεί τε ἦν καὶ σύνηθες. ὡς τὸ πρὸ τῆς τροφῆς μὲν ἀεὶ τὰς χεῖρας ἀπονίπτεσθαι δηλοῖ, τὸ δὲ μετὰ τὴν τροφὴν, ὡς ἀκόλουθον, ἡμῖν σιωπῇ κατέλιπεν ὑπονοεῖν. Q.

10. τὸν ξεῖνον δύστηνον] πρὸς τὴν τοῦ ἄρθρου μετάθεσιν. ὅμοιόν ἐστι τῷ "οὔτε τὰ τεύχεα καλά" (Il. φ, 317.). Q.

14. μηνίει] ὀργισθῇ. M. ἑαυτὸν λυπήσει μηνίων. H.

20. τηλίκος] τῆς δεούσης ἡλικίας. V.

21. σημάντορι] τῷ ὀπωσοῦν ἐπιτάσσοντι. καὶ ἐν τῷ "σημάντορος εὐ παρεόντος" (Il. ο, 325.), νομέως. B.Q.

3—8. Hoc Argumentum apud Eustathium p. 1810.

25. Ad v. 10. ex H. enotatum ἀνθρώπινον δὲ τὸ μεταβουλεύσασθαι.

www.libtool.com.cn

23. λείπει τὸ διά, διὰ πυρός. H.

ἀλέη] θερμασία, κυρίως ἡ τοῦ ἡλίου. Q. ἡ θερμασία τοῦ ἡλίου. σημαίνει δὲ καὶ τὴν ἀποφυγήν. V.

ἀλέη] ἡ θερμότης τοῦ ἡλίου. P.

24. αἰνῶς] κομιδῇ, λίαν, ὡς "αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν" (Il. γ, 158.). "αἰνῶς γὰρ τάδε εἵματ' ἔχω." καὶ ἐντεῦθεν ἡ ὥρα φαίνεται φθινοπωρινὴ, καὶ πρὸς χειμῶνα ἤδη. H.

25. στίβη ὑπηοίη] ὁ παγετὸς ὁ ὀρθρινός. V.

ὑπηοίη] ἡ κυκλικὴ, ἐπηοίη. H.

26. διὰ σταθμοῖο] γρ. διὲκ μεγάροιο. H.

29. ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρήν] γρ. ἔγχος μὲν στῆσεν πρὸς κίονα μακρὸν ἐρείσας. H.

30. αὐτὸς δ' εἶσω ἴεν] ἐνήλλακται ἡ τάξις. τὸ γὰρ ἑξῆς, αὐτὸς δ' ὑπέρβη λάϊνον οὐδὸν καὶ εἶσω ἴεν. V.

32. κώεα καστορνῦσα] καταστρωννῦσα. οὐκ οἶμαι τοῖς τῶν μνηστήρων θρόνοις Εὐρύκλεια, ἀλλ' ἐνδοτέρω μετὰ τὸν ἀνδρῶνα. Q.

35. καὶ κύνεον] ὡς ἂν δοῦλαι τοὺς ὤμους· ἡ δὲ Πηνελόπη κεφαλήν τε καὶ ἄμφω φάεα καλά. τὸ γὰρ στόμα οὔτε δοῦλοι οὔτε ἐλεύθεροι ἐφίλουν. H.Q.

36. τὴν σωφροσύνην καὶ τὸ κάλλος καὶ τὸ μέγεθος πασάων ὑπερῆεν. H.

43. λάθρη ἐμεῦ ἀέκητι] ποιότητος ἐπίρρημα. ποιότης δέ ἐστιν ἡ τὸ ποιὸν σχῆμα τοῦ σώματος ἢ τῆς ψυχῆς δηλοῦσα. B.Q.

47. τὸ περ ἀντὶ τοῦ δή. H.

50. τελεέσσας ἑκατόμβας] γρ. Τηλέμαχ' ἑκατόμβας. H.

51. ἄντιτα] ἀντίτιτα. ἔστι δὲ συγκοπή. Q. ἄντιτα] ἀντιτιμώρητα. V.

52. ἀγορήνδε ἐλεύσομαι] νῦν τὸν τόπον ἐκάλεσεν ἀγοράν. H.Q. ἀγορὴν ἐσελεύσομαι] Ἀριστοφάνης ἐλεύσομαι. H.

5. Addidi ἔοικεν.

9. ἡ κυκλικὴ] Vide ad π, 195.

17. δοῦλαι Buttm. δούλας H. δούλους Q.

25. γρ. Τηλέμαχ' ἑκατόμβας] En gemina plane hic et ad v. 529. ac memorabilia exempla sphalmatum putidissimorum, quæ tamen cum gravi sigla γρ. in alia etiam apographa derivata sunt. BUTTM.

26. ἄντιτα et ἀντίτιτα Buttm. pro ἀντίτιτα, ἀντέποιτα. In H. annotatum συγκοπή ἐστι τοῦ τίτιτα (corr. ἀντίτιτα).

28. νῦν] νῦν δὲ H.

29. ἀγορὴν ἐσελεύσομαι] Sic H. in textu, inserto a correctore δ'. In M. est ἀγορήνδ' ἐλεύσομαι, in aliis ἀγο-

www.libool.com.cn

55. ἠνώγεα] γρ. ἤνωγον. H.

57. ἄπτερος μῦθος] ἤτοι ἰσόπτερος, ταχύς. V. ταχὺς πρὸς τὸ πεισθῆναι καὶ ἰσόπτερος. Q. ἢ οὐκ ἀπέπτη ὁ λόγος, ἀλλ' ἐπέμεινε μὴ ἔχων πτερόν. λέγει δὲ ὅτι ταχέως προσήκατο τὸν λόγον, ταχέως ἤκουσεν. Q.V. Ἡρωδιανὸς δὲ, ἕτοιμος, λέγει. MS. Barnes.

ἢ πάγιος καὶ ἀμετακίνητος, ἐκ τοῦ α στερητικοῦ μορίου. ἢ μᾶλλον σύντομος καὶ ταχὺς, ἐκ τοῦ ἐπιτατικοῦ. B. ἔνιοι, ἔμμονος. H.

64. πάντες λαοὶ] οἱ κατὰ τὴν πόλιν λαοὶ, οὐχ οἱ μνηστῆρες. H.

71. ἀντίον] γρ. ἐγγύθεν. M.

73. τράπετ'] ἐτράπη. V.

75. ὄτρυνον] ἔπειξον. V.

81. ἐχρῆν ὀρθοτονεῖν τὴν σέ. H.

ἐπαυρέμεν] ἐπεντρυφῆσαι. V.

90. πρῶτον ἐλούοντο, καὶ οὕτως ἐχρίοντο. οὐ γὰρ ἐνήλλακται ἡ φράσις. H.

95. παρεόντων] τῶν παραμενόντων καὶ ταχέως μὴ σπομένων. V.

97. κλισμῷ κεκλιμένη] ἐπὶ τὰ ἀριστερὰ μέρη κεκλιμένη. B.Q.

109. γρ. ἐς Πύλον. H.

111. ἐνδυκέως ἐφίλει ὡσεί τε πατὴρ ἑὸν υἷα] οὕτως Ἀρίσταρχος. ὁ δὲ Ζηνόδοτος, ἐνδυκέως ἐφίλει ὡσεί τε πατὴρ ἑὸν παῖδα. H. Vindob. 133.

ρήνδε ἐλεύσομαι, quæ Aristophanis lectio fuit, ut videtur, nisi mutilata est annotatio scholiastæ, quæ fortasse ad ἀγορήν vel ἀγορήνδε potius spectavit quam ad verbum ἐλεύσομαι vel ἐσελεύσομαι: quemadmodum a, 88. libri alii Ἰθάκην, alii Ἰθάκηνδ' ἐσελεύσομαι. Ceterum Cobetus conjicit utrique versui ἐσελεύσομαι ex antiquo glossemate illatum esse pro ἐπιείσομαι, quod servatum est ε, 504. αὐτὰρ ἐγὼν ἀγροὺς (vel ἀγρόνδ') ἐπιείσομαι. οἰκόνδ' ἐσελεύσομαι est Il. ζ, 365. ubi libri plures οἶκόνδε ἐλεύσομαι eodem cum hiatu quo hic ἀγορήνδε ἐλεύσομαι.

10. In V. sequuntur verba ex Etymol. Mag. p. 723, 22. repetita, στέρχω σημαίνει τὸ κατεπείγομαι σπεύδω καὶ συστρέφω. ἴσως ἀπὸ τοῦ περιέχεσθαι. συμπεριέχω οὖν, καὶ συγκοπῇ στέρχω.

17. κλισμῷ] Vid. ad π, 97.

19. ἐνδυκέως—υἷα] Sic H. et Vind. in textu, nisi quod υἱόν est in Vind.

20. In his aliquid erroris est. Nec ἑὸν παῖδα, quod Duentzer. p. 86. metro utcunque adaptavit ἦν παῖδα scribendo, ab Zenodoto scribi potuit, nec sufficit conjicere ἑὸν υἱόν vel φίλον υἱόν. Nam quum scholiasta versum totum ponat, videntur Aristarchi et Zenodoti exemplaria non in ultimo solum vocabulo inter se discrepasse. Videtur scripsisse ἐνδυκέως, ὡσεί τε πατὴρ ἦν παῖδ', ἐφίλησε, fortasse inductus duorum similium locorum comparatione, Il. ι, 481. ὁ δέ με πρόφρων ὑπέδεκτο, καί με φίλησ', ὡσεί τε πατὴρ ἦν παῖδα φιλήσῃ μοῦνον τηλύγετον etc. et Od. π, 17. ὡς δὲ πατὴρ ἦν παῖδα

www.libtool.com.cn

118. πολλοὶ] γρ. πολλά. Vind. 133.

119. μόγησαν] γρ. δάμησαν. H. Vind. 133.

130. ἐφῄει] γρ. ἐφῆκεν. H.

134. Φιλομηλείδῃ] ἄδηλον τίς ὁ Φιλομηλείδης, καὶ εἰ κύριον τὸ ὄνομα. H. ὁ Φιλομηλείδης ὡς Φιλομήλου υἱός. ὁ γὰρ Πάτροκλος οὐ δύναται δηλοῦσθαι ὡς Φιλομήλας υἱὸς, ὅτι τὰ ἀπὸ μητέρων οὐ σχηματίζει ὁ ποιητὴς, καὶ ὅτι τὸ ἐπιφερόμενον οὐκ οἰκεῖον ἦν ἐπὶ Πατρόκλου, "καδδ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί." καὶ ἐν Ἰλιάδι δὲ λέγει (ρ, 670.), "νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο μνησάσθω." Q.V.

150. ἀθετοῦνται ις' στίχοι. H.

158. ἦ ἕρπων] κατ' ὀλίγον προσερχόμενος. H.

159. ἔστιν] γρ. ἔστιν. H.

160. καὶ μὴν οὐδέπω εἰσελθὼν εἰς τὴν ναῦν θεᾶται τὸν οἰωνόν. H.

οἷον ἐγὼ] θαυμαστικῶς. H. ἐν τοῖς χαριεστέροις οὗτοι μόνοι οἱ β' ἀθετοῦνται, ἐπεὶ καὶ πρὶν εἰσελθεῖν ἐν τῇ νηὶ τὸν οἰωνὸν εἶδε, καὶ

φίλα φρονέων ἀγαπάζει ἐλθόντ' ἐξ ἀπίης γαίης— ὃς τότε Τηλέμαχον θεοειδέα δῖος ὑφορβὸς πάντα κύσεν περιφύς.

3. ἐφῄει] Hujusmodi scriptura si exstitit, debuit esse ἐφίει.

4. Conf. schol. δ, 343.

9. δὲ om. Q.: ego malim abesse καί: opponuntur enim hæc ex Iliade verbis his κεχάροντο π. Ἀ. BUTTM.

11. Præfixi huic annotationi numerum versus 150. cum Buttmanno. Referebatur ad v. 147. unde Porsonus numerum ις' in ιε' mutari volebat, "nimirum quoniam sextus decimus ab 147. versus est hic τὸν δ' αὖτε προσέειπε π. Πηνελόπεια, qui ante insequentes abesse non potest. In ed. Mediol. eadem nota e cod. Q. legitur, sed cum numero ιβ', relataque ad versum 150. Quod præferendum utique est Porsonianæ rationi, quoniam servantur ita ultimi versus e sermone Telemachi, qui cur improbati fuerint plane non apparet. Sed in utraque ratione istud remanebat maximum incommodum, quod responsio Penelopes αἲ γὰρ τοῦτο, ξεῖνε κ. τ. ἐ. Theoclymeni oratione abjecta stare plane non poterat. Manifestum est itaque veram esse lectionem Harleianam ις', sed eo referendam ubi notam ponit cod. Q. et ponere volebat scriba quoque codicis Harl. aberrans ille quidem a versu ὣς φάτο retro ad versum ὣς ἔφατ'. Ita salva narrationis serie tolluntur versus 150–165. comprehendentes sermonem Theoclymeni cum responsione Penelopes. Atque sic diserte schol. 160. quanquam corruptum et ipsum." BUTTM.

13. γρ. ἔστιν] Hoc Porsonus admodum probabili conjectura natum putat ex ἰστὴ, allito olim primæ versus 156. voci ἱστὴ: sic enim Harl., sed alia exempla ἐστὶν, quo probabilior etiam fit conjectura. BUTTM.

15. οἱ β'—ἀκαίρως Buttm. pro οἱ ιβ'—οὐκ ἀκαίρως.

16. ἐπεὶ καὶ] ἐπεὶ δὲ Vind.

πρὶν εἰσελθεῖν ἐν τῇ νηὶ] Verba mu-

ἐγεγώνειν ἀκαίρως ἐστίν. ἐν δὲ τοῖς κοινοτέροις ἀπὸ τοῦ "ὣς ἔφατο" ἕως τοῦ "ἐξ ἐμεῦ." Q. Vind. 133.

ἐγεγώνειν] ἐσήμαινον, ἔλεγον. V.

170. δειπνητὸς] ὀξυτόνως μὲν τὸ δεῖπνον, βαρυτόνως δὲ ὁ καιρὸς τοῦ δείπνου. B.H.Q.

δειπνηστὸς] βαρυτόνως μὲν ἡ τοῦ δείπνου ὥρα, ὀξυτόνως δὲ τὸ δεῖπνον. V.

172. καὶ τότε δή σφιν ἔειπε Μέδων] εὐνούστατος μὲν ὁ Μέδων τῇ Ὀδυσσέως οἰκίᾳ, δι' ἐπιείκειαν δὲ ἤθους καὶ οἱ μνηστῆρες αὐτὸν ἐτίμων καὶ ὁμοτράπεζον εἶχον. Q.

176. οὐ μὲν γάρ τι χέρειον] ἤτοι καλόν ἐστιν· ὡς τὸ οὐχ ἥκιστα ἀντὶ τοῦ μᾶλλον. B.

177. ποτὶ οἶκον ἕκαστος] γρ. πείθοντό τε μύθῳ. H.

181. ἴρευον] ὡς συγκοπτόμενον ψιλοῦται. B.

ἀθετεῖ καὶ Ἀριστοφάνης. H.

185. πόλινδ' ἰέναι] γρ. δ' ἴμεναι. H.

190. μέμβλωκε μάλιστα] μεμόληκε, ἀντὶ τοῦ προσήκει, καὶ με-

tila fortasse sic restituenda, πρὶν εἰσελθεῖν (sc. εἰς ἄστυ) οὐκ ἐν τῇ νηΐ —. LEHRS. Arist. p. 107.

1. κοινοτέροις] εἰκαιοτέροις Vind.

ἀπὸ—ἐμεῦ] Hac ultimi versus indicatione nostra quam supra exposuimus ratio confirmatur plenissime, apparetque simul, istud ἔφατο quod in scholio hic præcedit mutandum esse non in ἔφατ', sed in φάτο. Verum nova nunc oritur quæstio quinam sint illi duodecim versus qui in præstantioribus exemplis damnabantur. Eam tamen, ne longus sim, ita statim dirimam, ut manifestas hujus scholii corruptelas probabili ratione tollam. Atque hoc certe facile omnibus, opinor, persuadebo, pro οἱ ιβ' legendum esse οἱ β', spectarique hos ipsos versus 160. 161. A qua ratione hoc neminem certe absterrebit quod verbum ἐγεγώνειν a scholiaste videtur defendi. Nam hoc utique manifestum est, sententiam horum versuum damnari his ἐπεὶ καὶ κ. τ. ἑ. Perversa autem condemnationis causa affertur, quod ante conscensam navem augurium fecerit Theoclymenus; nam post descensionem potius hoc evenit (ο, 525 sqq.). Verum hæc ipsius scholiastæ confusio relinquenda est eidem. Pro οὐκ ἀκαίρως autem legendum esse ἀκαίρως sponte nunc patet; nisi quis alium corrigendi modum comminisci potest quo locutio quoque aptior prodeat. Quare hoc etiam observo pro ἐγεγώνειν in schol. Vind. scriptum esse ἐγεγώνει, in Mediol. ἐγεγώνεις. BUTTM.

4. Idem significationis discrimen tradit Eustath. p. 1814, 36. qui de utraque scriptura. δειπνητός et δειπνηστός dixit. Conf. etiam Etym. M. p. 262, 45.

11. καλόν Buttm. pro οὐ καλόν.

15. καὶ Ἀριστοφάνης] καὶ indicat hunc versum non ab solo Aristophane esse rejectum. Sic p. 662, 20. est ἠθέτει καὶ Ἀρίσταρχος.

www.libtool.com.cn

σημβρία λοιπόν ἐστι, καὶ παρελήλυθε τὸ πλεῖστον τῆς ἡμέρας. B.Q.

191. ποτὶ ἕσπερον ῥίγιον] πρὸς ἑσπέραν μᾶλλον χειμών ἐστιν. V.

195. ῥόπαλον] παρὰ τὸ εἰς ἕτερον μέρος ῥέπειν. B.

196. ἀρισφαλέα] ἄγαν σφαλερὰν, τραχεῖαν, σκληρὰν, σφῆλαι πάνυ δυναμένην, δύσβατον, ὀλισθηρὰν ὥστε κινδυνεύειν καταπεσεῖν. B.Q.

τραχὺν, σκληρὸν, σφῆλαι πάνυ δυνάμενον, δύσβατον, ὀλισθηρὸν ὥστε κινδυνεύειν καταπεσεῖν. οὐδὸν δὲ νῦν ἀντὶ τοῦ τὴν ὁδόν. V.

τὸ οὐδόν ἀντὶ τοῦ τὴν ὁδόν. νῦν δὲ μόνως μετὰ τοῦ υ. B.

206. τυκτὴν] οὐκ αὐτοφυῆ. οὐ λέγει δὲ τὴν Ἀρέθουσαν. B.

207. Ἴθακος καὶ Νήριτος ἠδὲ Πολύκτωρ] Πτερελάου παῖδες Ἴθακος καὶ Νήριτος ἀπὸ Διὸς ἔχοντες τὸ γένος ᾤκουν τὴν Κεφαλληνίαν. ἀρέσαν δὲ αὐτοῖς τοῦτο καταλιπόντες τὰ σφέτερα ἤθη παραγίνονται εἰς τὴν Ἰθάκην. καὶ τόπον ἰδόντες εὖ πεποιημένον εἰς συνοικισμὸν διὰ τὸ τῶν παρατεθειμένων ὑψηλότερον εἶναι κατοικήσαντες δεῦρο τὴν Ἰθάκην ἔκτισαν. καὶ ἐκ μὲν τοῦ Ἰθάκου ἡ νῆσος ἐπωνομάσθη Ἰθάκη, τὸ δὲ παρακείμενον ὄρος ἐκ τοῦ Νηρίτου Νήριτον. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ. V.

οὗτοι Πτερελάου παῖδες καὶ Ἀμφιμέδης. καὶ ἀπὸ μὲν Ἰθάκου Ἰθάκη, ἀπὸ δὲ Νηρίτου Νήριτον ὄρος, ἀπὸ δὲ Πολύκτορος Πολυκτόριον τόπος ἐν τῇ Ἰθάκῃ. B.Q.

208. ἀμφὶ δ' ἄρ' —] ἱστορία. Ἥλιος Ῥόδῃ μιχθεὶς τῇ Ἀσωποῦ παῖδας ἴσχει Φαέθοντα καὶ Λαμπετίην καὶ Αἴγλην καὶ Φαέθουσαν. ἀνδρωθεὶς δὲ ὁ Φαέθων ἤρετο τὴν μητέρα τίνος εἴη πατρός. πυθόμενος δὲ ὡς Ἡλίου, παρεγένετο ἐπὶ τὰς τοῦ πατρὸς ἀνατολάς. γνωρισθεὶς δὲ οὕτως ἐδεῖτο τοῦ πατρὸς ἐπ' ὀλίγον αὐτῷ συγχωρῆσαι τὸ ἅρμα καὶ τοὺς ῥυτῆρας, ὅπως κατοπτεύσειε τὸν κόσμον. ὁ δὲ Ἥλιος ἀκούσας

1. Verba τὸ πλεῖστον τῆς ἡμέρας παρελήλυθεν sunt etiam in P.V.

10. τὴν ὁδόν] Conf. Apollon. Lex. s. v. οὐδός.

12. Πτερελάου codex Barnesii et Eustathius p.1815, 50. Περελάου V.

13. Κεφαλληνίαν scripsi pro Κεφαληνίαν.

16. εἶναι Buttm. pro εἶναι καί.

17. Pro ἡ νῆσος Spohnius (de extr. Odyss. parte p. 84.), ob sequens verbum παρακείμενον, rescribendum putabat ἡ πόλις. Ego logicis his legibus scholiastas astrictos non existimo. BUTTM.

20. Πτερελάου] περελάου B.Q. Recte scriptum apud Eustath., qui hoc scholion excerpsit p.1815, 50.

24. Λαμπετίην Barnes. ex cod. Λαμπετήεντα H.Q.V.

27. οὕτως] τούτῳ H.Q.

www.libtool.com.cn

παραυτὰ μὲν ἀντέλεγεν εἰδὼς ἃ πείσεται, σφόδρα δὲ αὐτῷ ἐγκειμένῳ συγχωρεῖ διδάξας ὅ τι τὸ μεταίχμιον. ἐπιβὰς δὲ ἐκεῖνος τοῦ ἅρματος ἀτάκτως ἐφέρετο, ὥστε πάντα τὰ ἐπὶ τῆς γῆς φρύγειν. καὶ δὴ τῆς ἀφροσύνης ἐπισχεῖν αὐτὸν κεραυνῷ τὸν Δία. καταπεσόντος δὲ αὐτοῦ μετὰ τῆς θείας φλογὸς ἐπὶ τὸν Ἠριδανὸν ποταμὸν καὶ φθαρέντος αἱ ἀδελφαὶ παραγενόμεναι κατὰ τὸν τόπον τοῦ Κελτικοῦ πελάγους ἐθρήνουν ἡμέρας ἀδιαλείπτως καὶ νυκτός. ὅθεν κατελεήσας ὁ Ζεὺς ταύταις ἀνάμνησιν ἐνεποίησε τῶν κακῶν μεταβάλλων αὐτὰς εἰς αἰγείρους, αἵπερ εἰσὶ δένδρα. λέγεται δὲ καὶ ἐντεῦθεν ἀπογεννᾶσθαι τὸν ἤλεκτρον, τῆς ἀρχαίας οἰμωγῆς ἀποδακρύοντα τοῦτον καρπὸν ἀπὸ τοῦ δένδρου. ἡ δὲ ἱστορία παρὰ τοῖς τραγικοῖς. H.Q.V.

216. περιττὸς ὁ καί. H.

217. ἠγηλάζει] οὕτως Ἀρίσταρχος καὶ Ἀριστοφάνης, χωρὶς τοῦ σ. H.

219. μολοβρὸν] τὸν μολοῦντα πρὸς τὴν βρῶσιν, μεταίτην, τὸν μολίσκοντα ἐπὶ βοράν. Q. τὸν ἐπαίτην, τὸν γαστρίμαργον, τὸν μολίσκοντα ἐπὶ τὴν βοράν, τὸν ἀκόρεστον τροφῆς. V.

ἀμέγαρτε συβῶτα] ἢ ἐν τῷ συβωτεῖν ἀφθόνητε, ὃ δηλοῖ τὸ κακῶς

1. εἰδὼς om. Q.

2. διδάξας — ἐπιβὰς δὲ] Sic V. in editionibus recentioribus. Nam in antiquis :—διδάξας. ὅτι δὲ μεταίχμιον ἐπιβὰς ἐκεῖνος τοῦ ἅρματος. In Mediol. ita : διδάξας. ἐπιβὰς δὲ ἐκ. τ. α. omissis intermediis. BUTTM.

3. ἐφέρετο] ἤλαυνεν V.

ὥστε πάντα τὰ] ὥστε ταπεινῶντα παντα τὰ Barnes. e MS. Nam in edd. ant. erat ταπεινῶν τὰ πάντα, in quibus nominativus quidem non reprehendendus erat, sed articulus non suo loco stabat. Vix hujus loci est verbum ταπεινοῦν. BUTTM.

8. κατελεήσας (καὶ ἐλεήσας Q.) ὁ Ζεὺς] κατελεήσαντα τὸν Δία H.

9. μεταβάλλων] μεταμορφῶν V.

αὐτὰς om. H.Q.

10. οἰμωγῆς ἀποδακρύοντα τοῦτον] Vulg. —οἰμωγῆς. ἀποδακρύονται δὲ τοῦτον—. Sed Mediolanensis scriptura præferenda videtur. Ignota enim vox media ἀποδακρύονται; contra non male, opinor, ὁ ἤλεκτρος dicitur τῆς ἀρχαίας οἰμωγῆς ἀποδακρύειν (decidere ut lacrima) καρπὸς ἀπὸ τοῦ δένδρου. Atque ita pro superiori ἀνάμνησιν reponendum quod res poscit, ἀμνήστίαν. BUTTM.

11. τοῦ δένδρου H. τῶν δένδρων Q. V.

ἡ δὲ—τραγικοῖς om. H.Q.

14. χωρὶς τοῦ σ] Alii igitur quidam legebant ἠγηλάζεις. Quæ sane lectio, principum criticorum pace dixerim, mihi longe melior videtur. Alloquitur enim subulcum Melantheus et singularem propositionem generali sententia comprobat. PORS. Non assentior. Singularitas enim sententiæ satis exprimitur illo νῦν, irridenti autem longe melius convenit usus tertiæ personæ. BUTTM.

18. συβωτεῖν — κακῶς Buttm. pro βωτεῖν—καλῶς.

www.libook.com.cn

πράττειν. ἢ ᾧ οὐκ ἄν τις φθονήσειε τοῦ συβωτεῖν, οἷον ἄξιε τοῦ συφορβεῖν. V. οὐδενὸς λόγου ἄξιε. Q.

220. δαιτῶν ἀπολυμαντῆρα] ὑφ' ἓν τὸ ἀπολυμαντῆρα. H. τὸν τὰ ἀποκαθάρματα τῶν εὐωχιῶν ἐσθίοντα. B.H.Q. λυμεῶνα τῶν εὐωχιῶν, ἢ τὸν τὰ καθάρματα προσφερόμενον τῶν εὐωχιῶν. V.

221. φλιῇσι] ταῖς παραστάσι τῆς θύρας. V.

θλάψεται ὦμους] θλίψεται Αἰολικῶς ἀντὶ τοῦ θλιβήσεται, ὃς οὐκ ἐκβήσεται τῶν φλιῶν, οὐδὲ εἴξει. εἰώθασι δὲ οἱ πτωχοὶ προσκλίνεσθαι ταῖς θύραις, ἢ προστρίβεσθαι. Q.V.

φλίψεται] διὰ τοῦ θ, ὡς καὶ Ζηνόδοτος. H.

θλίψεται ὦμους] γρ. θλάψεται ἦτορ. Vind. 133.

222. ἀκόλους] οὓς οὐκ ἄν τις κολούσῃ διὰ τὴν βραχύτητα. B.Q. ψωμοὺς ὧν οὐκ ἄν τις κωλύσηται διὰ τὴν σμικρότητα. P.

ἄορας δὲ οἱ μὲν τὰς ἀπὸ τῶν ἀγώνων λαμβανομένας ἆθλα γυναῖκας, οἱ δὲ τοὺς ὦτα οὐκ ἔχοντας τρίποδας, παρὰ τὸ αἴρεσθαι, ὅ ἐστι βαστάζεσθαι· οἱ δὲ οὐδετέρως χωρὶς τοῦ σ τὰ ἄορα, ἵνα σημαίνῃ τὰ ξίφη. B.Q. οὐδετέρως τὰ ἄορα, ἵνα λέγῃ τὰ ξίφη. οἱ δὲ τοὺς οὔατα οὐκ ἔχοντας τρίποδας, παρὰ τὸ αἴρεσθαι, ὅ ἐστι βαστάζεσθαι. H. οἱ μὲν χωρὶς τοῦ σ τὰ ξίφη, παρὰ τὸ ἆορ, οἱ δὲ μετὰ τοῦ σ ἄορας· οἱ μὲν τὰς ἀπὸ τῶν ἀγώνων λαμβανομένας ἆθλα γυναῖκας· λέγει γάρ που "ἡ τρίπους ἡ γυνή" (Il. χ, 164.)· οἱ δὲ τοὺς τρίποδας τοὺς ὦτα ἔχοντας, ἐξ ὧν αἴρεσθαι δύνανται. V.

224. σηκοκόρον] ἐπιμελητὴν ἐπαύλεως, ἢ τὸν σαίροντα τοὺς σηκούς. σηκοὶ δὲ λέγονται αἱ μάνδραι καὶ οἱ τόποι ἔνθα συγκλείονται αἱ αἶγες καὶ τὰ πρόβατα. V.

6. παραστάσι Buttm. pro παραστάσεσι.

7. θλιβήσεται] Sic in Vulg. ed. ant. et in Q., ut videri possit Æolismus esse in usu futuri medii pro fut. pass. Sed satis manifestum est referri hoc ad scripturam φλίψεται. Vid. Eustath. Quare in recentt. editionibus ita interpolatum legitur scholium: φλίψεται] Αἰολικῶς. ἔνιοι, θλίψεται, θλιβήσεται, ὃς οὐκ κ. τ. λ. BUTTM.

ὃς οὐκ ἐκβήσεται om. Q.

8. εἴξει] ἄξει Q.

10. φλίψεται] Sic H. in textu, sed mutatum a correctore in θλίψεται.

13. ψωμοὺς—] Manifesta prioris scholii depravatio, cujus initia in V. ubi est ψ. οὓς οὐκ ἄν τις κωλύσῃ δ. τ. βρ. BUTTM. Solœcus utroque in scholio est usus conjunctivi pro optativo.

14. λαμβανομένας] λαμβανόμενα B. Q.

16. ἄορα] ἀόρια B.Q.

19. μετὰ τοῦ σ Buttm. pro μετὰ τοῦ σ τρίποδας.

21. ἢ ἄορας post γυνή lectum delevit Buttm.

24. αἱ μάνδραι] Conf. Eustath. p. 1818, 13.

www.libpool.com.cn

θαλλόν] πᾶν τὸ ἐκ γῆς φυέν. ἢ τὴν φυλλάδα. πᾶς γὰρ κλάδος δένδρου θαλλὸς προσαγορεύεται, ὑπὸ τῶν Ἀττικῶν δὲ μόνος ὁ τῆς ἐλαίας. V.

225. καί κεν ὀρὸν πίνων] ὀρὸς ψιλῶς καὶ ὀξέως, παρὰ τὸ αἴρω. H. ὀρὸς ἡ ὑδατώδης καὶ ἐφθαρμένη ὑποστάθμη τοῦ γάλακτος, ἢ τὸ ἄπηκτον γάλα, τὸ ὑπολειπόμενον ὑδατῶδες. ἐπιγουνίδα δὲ λέγει τὴν τοῦ σώματος εὐεξίαν. ἀπὸ γὰρ μέρους τοῦ κατὰ τὸ γόνυ δέρματος τὸ πᾶν ἐσήμανεν. ἢ τὸ ὑπεράνω τοῦ γόνατος. Q.V. ἐπιγουνίδα] τινὲς τὴν λεγομένην ἄντζαν. B.

227. πτώσσων] πτωχεύων, μεταιτῶν. καὶ πτωχὸς ὁ πτώσσων περὶ τὴν ὀχήν. H.

228. ἄναλτον] ἀπλήρωτον. V. ἀκόρεστον, παρὰ τὸ μηδέποτε ἄλις ἔχειν. ὁ δὲ Ἡρωδιανὸς τὴν γαστέρα ἀναύξητον, ἄναλδόν τινα οὖσαν, τὴν ἀεὶ ξηρὰν καὶ ταπεινήν. B.Q. Vind. 133.

231. ἀμφὶ κάρη] γρ. ἀμφικαρῆ. H. τινὲς μὲν ἀμφοτέρωθεν οἱονεὶ κεφαλὰς ἔχοντα. ἄμεινον δὲ κατὰ παράθεσιν ἀναγινώσκειν, ἀμφὶ κάρη, περὶ τὴν κεφαλήν. V.

ἀμφὶ κάρη σφέλα] ὁ μὲν Ἀσκαλωνίτης ἀμφικαρῆ σφέλα τὰ μικρὰ ὑποπόδια διὰ τὰς βάσεις, ὁ δὲ Ἡρωδιανὸς ἀμφὶ κάρη, ὡς εἰ ἔλεγε, πεμπόμενα ἐπὶ τὸ κάρη καὶ κατερχόμενα εἰς τὰς πλευρὰς συντρίψουσιν αἱ πλευραί. ὑπερβολικῶς δὲ εἶπεν ὡς εἰ φαίη τις ὅτι πολλὰς μάστιγας κατέτριψεν ὁ νῶτος τοῦδε. ἔνιοι δὲ "ἀμφὶ κάρη σφέλα" ὡς αὐτῶν τῶν βαλλόντων ἐπὶ τὴν κεφαλὴν ἐχόντων τὰς χεῖρας, ὁπότε μέλλοιεν ἀποπέμπειν κατ' αὐτοῦ. B.H.Q.

σφέλα] τὰ ὑποπόδια, ἢ τὰ ἐντινάγματα τὰ δυνάμενα σφῆλαι, ὅ ἐστι κινῆσαι. Q.V. τὰ ἀμφοτέρωθεν ἐξοχὰς καὶ ἐπαναστάσεις ἔχοντα, ὅ ἐστιν ἑκατέρωθεν ἔχοντα βάσιν, ὡς ἐπὶ τῶν παρ' ἡμῖν διφρίων, ὥσπερ ἐπ' Ὀλύμποιο καρήνων τῶν ἐξοχῶν καὶ ἀκρωτηρίων. H.

4. ὀρὸς] ὀρρῶς H.

5. ὀρὸς (ὀρρὸς Q.) ἡ ὑδατώδης—ὑποστάθμη] θορόν, ὀρὸν, ἀντὶ ὀρρόν. τὴν ὑδατώδη καὶ ἐφθαρμένην ὑποστάθμην V. In M. qui in textu καὶ ὀρὸν habet, in marg. annotatum γρ. θορόν.

12. ἀκόρεστον — ἄλις ἔχειν om. Vind. In H. hoc est scholion, ἄναλτον: ἀπὸ τοῦ μηδέποτε ἄλις ἔχειν. ὁ δὲ Ἡρωδιανὸς ἄναλδον.

13. ἄναλδον] ἄναλγον Q. ἄναλσον Vind.

18. ἀμφὶ κάρη] ἀμφικάρη H. in textu.

ἀμφικαρῆ] ἀμφικάρη hic quoque H. ἀμφὶ κάρη B.Q. Correxi ἀμφικαρῆ ex Eustathio p. 1818, 47. qui de utraque scriptura dixit, omissis tamen grammaticorum nominibus.

25. ἐντινάγματα V. cum Eustath. p. 1818, 39. τινάγματα Q.

σφῆλαι, ὅ ἐστι om. Q.

26. κινῆσαι] κινηθῆναι Q.

τὰ ἀμφωτέρωθεν ἐξοχὰς καὶ ἐπαναστάσεις ἔχοντα. ἢ ἴσως παρὰ τὸ ἀπὸ σφηνῶν συμπεπῆχθαι. σφῆνες δὲ τὰ μικρὰ ξύλα. σφέλα δὲ τὰ μικρὰ ὑποπόδια. V.

232. πλευραὶ ἀποτρίψουσι] ἐμφαντικῶς, ὅτι αἱ τούτου πλευραὶ ἀποτρίψουσι τὰ ὑποπόδια. V.

237. ἢ πρὸς γῆν ἐλάσειε] τὸ ἢ τὸ δεύτερον περισπαστέον. τὸ δὲ ἀμφουδίς ὀξύνεται ὡς λικριφίς. H. περὶ γῆν ὡς εἰς τὸ ἔδαφος. H. περὶ τὸ ἔδαφος. V.

ἀμφ' οὖδας ἐρείσας] γρ. ἀείρας. M.

240. νύμφαι κρηναῖαι] προείρηται γὰρ ὡς ἐπὶ κρήνην ἀφίκοντο. H. ταύταις προσεύχεται ἤτοι καθὸ ἀγροϊκός ἐστιν, ἢ ὅτι τότε τὴν κρήνην προῄει. H.Q.V.

244. ἀγλαΐας] τοὺς καλλωπισμούς. V.

245. σοῦ γὰρ ὄντος ὧδε, ὃ θέλουσι ποιοῦσιν οἱ ὑπὸ σέ. H.

246. ἄστυ κάτα] εἰ καὶ συναλοιφὴ, ὅμως δύναται ἀναστρέφεσθαι διὰ τὴν ἀνάπαυσιν. τὸ δὲ μῆλα νῦν μόνως τὰς αἶγας. H.

256. κάθισεν] ἐκαθέζετο. V.

257. τὸν γὰρ φιλέεσκε μάλιστα] ἐπεὶ τῇ ἀδελφῇ αὐτοῦ ἐμίγνυτο Μελανθοῖ. Q.

261. περὶ δέ σφεας] ἀντὶ τοῦ, περὶ γάρ σφεας, ἵνα τοῦ στῆναι φαίνηται ἡ αἰτία. H.

266. ἐξ ἑτέρων ἕτερ' ἐστὶν] διὰ τούτων βούλεται δηλοῦν ὡς οὐ μονοστέγων τῶν βασιλείων ὄντων, ἀλλὰ πολυστέγων. V. κατ' ἀκρίβειαν τὸ ἕτερα διὰ τὸ δίστεγα εἶναι, ὡς μονοστέγων ὄντων τῶν ἰδιωτικῶν οἰκημάτων. B.Q. δηλονότι τρίστεγοί εἰσι. P.

ἐπήσκηται] μετ' ἐπιμελείας διακεκόσμηται. Q.V.

267. τοίχῳ καὶ θριγκοῖσι] τοῖς ἐπὶ τῶν τοιχίων ἀκανθώδεσι περιφράγμασιν εὖ ἠσφαλισμένοις. B.Q. ἀστέγαστόν τι περίφραγμα πρὸ τῶν οἰκημάτων. H.

εὐερκέες] ἀσφαλεῖς. εἰ δὲ εὐεργέες, καλῶς εἰργασμέναι. V.

1. E cod. B. qui habet posteriora inde ab ἴσως, postrema afferuntur ita: σημαίνει δὲ (mendose pro σφέλα δὲ) τὰ μ. υ. καὶ τὰς βάσεις. BUTTM.

4. ἐμφαντικῶς Eustath. p. 1818, 49. ἐμφατικῶς V.

7. ἀμφουδὶς] Conf. schol. λ, 597.

10. προείρηται γὰρ ὡς] προῄρηται γὰρ καὶ H.

14. Sequitur in H. annotatio ad v. 250. adscripta τιμὴν ἀφ' ἧς ἔξω τίθησιν.

15. ἀναστρέφεσθαι] Conf. Joann. Alex. Των. παραγγ. p. 28, 11.

www.iliion.com.cn

268. μιν] αὐτὸ τὸ δῶμα. H.

ὑπεροπλίσσαιτο] ἤτοι ὑπερηφανήσει, ἢ εὐχερῶς ἐπιβουλεύσει. V.

269. δαῖτα τίθενται] γρ. πένονται. H.

270. ἀνήνοθεν] ἀνέρχεται. H.V.

Ἀρίσταρχος ἐνήνοθεν, αἱ δὲ κοιναὶ ἀνήνοθεν. H.

276. δῦσε δὲ] γρ. δύσεο. H.M. εἴσελθε. H.

277. προπάροιθεν] πρότερον χρονικῶς, ὅμοιον τῷ "τὸν δ' Ὀδυσεὺς προπάροιθεν ἰδὼν Διομήδεϊ δεῖξε." τοπικῶς δὲ "ἔστι δέ τις προπάροιθε πόλιος αἰπεῖα Κολωνή.' (Il. β, 811.). H.

283. ἀδαήμων] λείπει τὸ εἰμί. H.

284. τολμήεις] ὑπομονητικός. Q.

286. γαστέρα δ' οὕπως ἔστιν ἀποκρύψαι] ἀνεξέλεγκτον ποιῆσαι. ἐμφαίνει γὰρ ἑαυτήν. B.

287. οὐλομένην] συνήθως κακίζει τὴν γαστέρα, ὡς καὶ ἐν τούτοις "ἀλλ' ἕνεκ' οὐλομένης γαστρός" (Od. ο, 344)· "ἀλλά με γαστὴρ ὀτρύνει κακοεργός" (σ, 53.)· "οὔτ' ἄρ τι στυγερῇ ἐπὶ γαστέρι" (η, 216.). Q.

291. ἂν δὲ κύων] πῶς τὸν μεταμεμορφωμένον ἐπιγινώσκει; ὅτι παρὰ τοὺς ἀνθρώπους καὶ τὰ ἄλογα ζῷα μᾶλλον ἀντιλαμβάνεται καὶ ἐκ τῆς ὀδμῆς αὐτὸν ἐπέγνω. ἀλλὰ μετὰ τοσαῦτα ἔτη πῶς ἔζη ὁ κύων; Ἀριστοτέλης φησὶ τέσσαρα καὶ εἴκοσι ζῆν ἔτη κύνα. Q.V.

292. Ἄργος] ὄνομα κύριον τοῦ Ὀδυσσέως κυνός. V.

294. πάροιθεν] πρότερον πρὸ τοῦ γηράσαι, ἢ ἔμπροσθεν τῆς Ἰθάκης εἰς τὴν ἤπειρον. λαγωὸς γὰρ οὐ γίνεται ἐν Ἰθάκῃ, ὥστε δῆλον ὅτι εἰς τὴν ἤπειρον ἐκυνηγέτουν. B.

295. πρόκας] πρὸξ εἶδος ἐλάφου ταχυτάτης, ἀπὸ τοῦ προϊκνεῖσθαι. B. δορκάδων εἶδος ἢ ἐλάφων. Q.V. ἢ τὰ ἔκγονα τῶν ἐλάφων. V.

296. ἀπόθεστος] ἀπόθητος, ἀνεπιμέλητος. H.

ἀποιχομένου Ὀδυσῆος] γρ. ἀποιχομένοιο ἄνακτος. H.

2. ὑπεροπλίσσαιτο] Aristarchi interpretationem νικήσειεν memorat Apollon. in Lexico: qui haud dubie non simpliciter per νικήσειεν, sed νικήσειε τοῖς ὅπλοις explicuerat, ut monuit Lehrs. Aristarch. p. 147.

εὐχερῶς ἐπιβουλεύσει est etiam in Q.

6. δύσεο M. δύσαιο H.

19. καὶ τὰ] καὶ om. Q.

29. ἀπόθητος et ἀνεπ. et etiam in V. editionibus recentioribus, addito ἀτημέλητος.

30. Addidi ἀποιχομένοιο, quod in H. indicatur literis οιο super ου in textu scriptis.

www.libtool.com.cn

299. τέμενος] χωρίον. κοπρίσοντες] κοπρίσαι ὀφείλοντες. V. κοπρήσσοντες] κοπρεύσοντες, κόπρον τῇ γῇ ἐπιβάλλοντες. κατα-χρηστικῶς δὲ τέμενος τὸ χωρίον. B.

300. κυνοραιστέων] τῶν κροτώνων. τινὲς δὲ λέγουσιν ἄλλα ζῷα ἐγγίνεσθαι, ἃ λέγεσθαι κυνοραϊσταί. V. κροτώνων. ῥαίουσι γὰρ τοὺς κύνας πίνοντες τὸ αἷμα αὐτῶν. εἰσὶ δὲ ταῦτα τὰ καλούμενα τζιβίκια. V. ἔνιοι μὲν κυνομυιῶν, Ἀρίσταρχος δὲ τῶν κροτώνων. τινὲς δὲ λέγουσιν ἄλλα ζῷα ἐγγίνεσθαι, ἃ λέγεται κυνοραισταί. M.Q.

305. ἐρεείνατο] γρ. ἐρεείνετο. H.

309. ἢ αὕτως] ἁπλῶς καὶ ὡς ἔτυχε. B.

310. ἀγλαΐης δ' ἕνεκεν] κόσμου χάριν ἢ καλλωπισμοῦ. B.Q. καλλονῆς. V.

316. βένθεσιν] γρ. τάρφεσιν. βάθεσι, πυκνώμασι. M.

317. κνώδαλον] κυρίως μὲν τὸ θαλάσσιον θηρίον τὸ κῆτος, νῦν δὲ θηρίον ὑπὸ κυνῶν ἁλισκόμενον. H.V.

δίοιτο] διώξειε. B.

318. γαίης] γρ. πάτρης. M.

περιῇδη] περισσῶς ᾔδη τὴν ἄγραν αὐτοῦ δηλονότι. B.

319. τὸ ἀκηδέες ἀντὶ τοῦ ἀμελεῖς, φροντίδα οὐ τιθέμενοι. H.

321. οὐκέτ' ἔπειτ' ἐθέλουσιν] οἱ μὲν φαῦλοι οὐ βούλονται, οἱ δὲ ἀγαπῶντες οὐ δύνανται. τὸ γὰρ ἐθέλειν καὶ ἐπὶ τοῦ δύνασθαι καὶ ἐπὶ τοῦ βούλεσθαι. B.

322. ἀρετῆς] τῆς ἑκουσίου πρὸς τὰ ἔργα ῥοπῆς. Q.V.

ἀρετήν φησι τὴν ἀγαθὴν ἐργασίαν τὴν μετὰ προαιρέσεως γινομένην. οἱ δὲ δοῦλοι, κἂν ἀγαθόν τι πράξωσι τοῦ δεσπότου κελεύσαντος, ἧττον ἐπαινετοί εἰσι. B.

330. νεῦσ' ἐπί οἱ καλέσας] τὸ δὲ ἐξῆς, ἐπένευσεν αὐτῷ ἐξ ὀνόματος καλέσας. B.

331. ἐνθάδε δαιτρὸς ἐφίζεσκεν] ἐν ᾧ δίφρῳ ὁ μάγειρος ἐκαθέζετο κρέα πολλὰ δαιόμενος μνηστῆρσι. B.

335. προτίθει] παρετίθει. V.

7. ἔνιοι μὲν κ. Ἀρίσταρχος δὲ et δὲ post τινὲς om. Q.

8. κυνοραισταί M. κυνοραϊστά Q.

9. ἐρεείνετο] ἐρέεινε H., sed eraso, ut Porsono videbatur, το.

13. τάρφεσιν] Sic est Il. ε, 555. ε, 606.

15. κυνῶν V. κυνός H. Plurali utitur Eustath. p. 1822, 39.

23. ῥοπῆς] ὁρμῆς V.

www.digitalhumanities.org

339. μελίνου] ἀπὸ μελίας ξύλου γενομένου. μελία δὲ εἶδος δένδρου. H.

340. κυπαρισσίνῳ] ἀπὸ κυπαρισσίνου ξύλου γενομένῳ. H.

343. οὖλον] ὅλον, κατὰ ἔκλειψιν τοῦ υ. V.

344. ὥς οἱ χεῖρες] νῦν τὸ ὡς ἀντὶ τοῦ ὅσον αἱ χεῖρες αὐτοῦ περιεβάλλοντο, ἐχάνδανον. B.

ἀμφιβαλόντι] γρ. ἀμφιβαλόντε. H.

347. ἀνδρὶ παρεῖναι] εἰς τὸ παρεῖναι κεχρημένῳ ἀνδρὶ οὐκ ἔστιν ἐπωφελὴς ἡ αἰδώς. B.

καὶ Ἡσίοδος "αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει." Vind. 133.

352. αἰδῶ δ' οὐκ ἀγαθήν] γρ. αἰδὼς δ' οὐκ ἀγαθή. Vind. 133.

ἀνδρὶ προΐκτῃ] ἵκτης ψιλωτέον, παρὰ γὰρ τὸ παραβάλλειν τὴν χεῖρα καὶ αἰτεῖν δωρεάν. ἢ ὁ πρὸ τοῦ αἰτεῖν ἱκετεύων, εἰ δασύνεται. Q. μεταίτῃ, παρὰ τὸ ἱκετεύειν καὶ προσαιτεῖν. V. παρὰ τὸ προϊκετεύειν. H.

354. ὄλβιον εἶναι] ἀπὸ κοινοῦ, ποίησον. V.

357. ἐπὶ πήρης] ἐπάνω τῆς πήρας. ἁπλώσας γὰρ τὴν πήραν ἀντὶ τραπέζης ἐπάνω ἔθηκεν. B.Q.V.

358. ὡς ὅτε] μέχρις οὗ, ἕως ὅτε. Gl. M.

359. εὖθ' ὁ δεδειπνήκειν] οὕτω, δεδειπνήκειν, ἀντὶ τοῦ δεδειπνήκει. ὡς τὸ "ἤσκειν εἴρια καλά" (Il. γ, 388.). H.Q.

362. πύρνα] πύρνα τοὺς πύρνους, ὡς κύκλα τοὺς κύκλους. B. πύρινα πύρινα σιτία. V.

364. ἀπαλεξήσειν κακότητος] κωλύσει καὶ ἀπολήξει τοῦ κακοῦ. πάντες γὰρ ἦσαν μοχθηροί. Q.

365. ἐνδέξια] ἀπὸ τοῦ δεξιοῦ μέρους. V. διχῶς, ἐνδέξια καὶ ἐνδεξία. H.

366. πτωχὸς πάλαι εἴη] ὡς μεμελετηκὼς ἐκ πολλοῦ τὴν πτωχείαν· ὡς εἰ πτωχὸς ὑπῆρχεν ἐκ πολλοῦ. B.

1. μελίας—μελία] μελείας—οὐμελία H.

10. Ἡσίοδος] Op. 315. Conf. 498.

20. μέχρις οὗ] Hoc etiam in V.

21. Dedi quod uterque dare voluit. Nam in Harl. ultimo loco iterum δεδειπνήκειν pro -ει; in Q. autem lacunose οὕτω δεδειπνήκει. Tum in Q. mendose ἤσκει κεν ε. κ. In cod. B. nil nisi hoc: εὖθ' ὃ' ἐδειπνήκει] ἀντὶ τοῦ δεδειπνήκειεν. BUT.

27. ἐνδεξία] Fort. ἐν δεξιᾷ, licet contra metrum, vel ἐπιδέξια.

www.libtool.com.cn

369. *αἰπόλος αἰγῶν*] *περισσὸν τὸ αἰγῶν.* H.

375. *ὦ ἀρίγνωτε*] *ὦ πᾶσι δῆλε συβῶτα ὤν. ἢ ἐπίσημε διὰ κακίαν ἢ πτωχείαν.* B.Q. *ἀρίγνωτε*] *ἐπίσημε, ἄγαν ἔκδηλε ὅτι συβώτης ὑπάρχεις.* V.

376. *προοικονομεῖ τὸ καὶ ἄλλων εἰωθέναι μεταστάσεις εἶναι ὡς αὐτοὺς, ἵνα μὴ ξενισθῶσι περὶ Ὀδυσσέως.* H.

378. *ἢ ὄνοσαι*] *ἐκφαυλίζεις, εὐκαταφρόνητον καὶ τὸ μηδὲν νομίζεις.* B. *νῦν ἀντὶ τοῦ ὠφελῇ.* V.

Καὶ ἄλλως. εἰρωνεύεται πρὸς τὸ τοῦ Εὐμαίου φιλοδέσποτον. H.

379. *ποθι*] *ποθέν.* V. *καὶ προτὶ*] *γρ. καί ποθι.* H. *ἐγκλιτικὸν τὸ ποθι.* H.

382. *τίς γὰρ δὴ ξεῖνον καλεῖ;*] *ξεῖνον νῦν ἀλλότριον.* B.

383. *δημιοεργοὶ*] *χειροτέχναι, δημοσίαν παρέχοντες τὴν ἑαυτῶν τέχνην.* B.Q.

384. *μάντιν ἢ ἰητῆρα*] *ἀπὸ κοινοῦ, ἢ τίς ἀλλότριον ἄνδρα καλεῖ, εἰ μὴ μάντιν ἢ ἰατρὸν, ἢ τέκτονα ἢ καὶ ἀοιδόν;* H.

385. *θέσπιν ἀοιδὸν*] *ἐκ θεοῦ τὴν ὅπα ἔχοντα. τὸ δὲ τέρπῃσιν ἀντὶ τοῦ τέρπῃ, ὡς τὸ "νῦν δ' ἂν πολλὰ πάθῃσι"* (Il. χ. 505.). B.

387. *τρύξοντα*] *καταπονήσοντα, ἀπὸ τοῦ τρύξαι καὶ συνθλῖψαι. Ἄλλως βραχὺ τὸ υ τοῦ τρύξοντα, ὡς ἐρύκω ἐρύξω, σμύχω σμύξω, ψύχω ψύξω, τρύχω τρύξω· ἔνθεν καὶ τρυγίας καὶ τρύγη. σημαίνει δὲ τὸ καταπονήσοντα.* B.Q.

391. *ἐν τοῖς Ὀδυσσέως οἴκοις οὐκ ἄλλῳ γαμηθεῖσα.* H.

393. *ἄττα*] *γρ. σίγα.* H. Vind. 56. *μὴ ἐξ ἀμοιβῆς ἀποκρίνου, μὴ ἀμείβου τοῦτον πολλὰ τοῖς λόγοις.* H.

397. *υἷος*] *γρ. υἱοῦ.* H.

398. *δίεσθαι*] *διῶξαι, ἀπὸ τοῦ δίημι.* B. *προπαροξυτόνως ἀπὸ τοῦ δίημι. οἶδε δὲ τὸ δίω καὶ διῶ καὶ δίημι.* H.

399. *ἀναγκαίως*] *ἀναγκαστικῶς.* V.

401. *μὴ ἐντρέπου εἰς τοῦτο τὴν ἐμὴν μητέρα.* H.

405. *γρ. ἀπαμείβετο φώνησέν τε.* H.

407. *εἴ οἱ τόσσον ἅπαντες*] *δοκεῖ μὲν λέγειν ὅτι εἰ πάντες αὐτῷ*

10. *καί ποθι*] *καί ποθι πόθεν* H. *ποθὲν* est glossema ad *ποθι* adscriptum.

20. Addidi *Ἄλλως.*

21. *τρύξω—καταπονήσοντα*] *τρύξω. σημειωτέον* (*σημαίνει* Buttm.) *δὲ τὸ καταπονήσοντα. ἔνθεν—τρύγη. ἀποτρύξαι καὶ συνθλίψαι* B.Q.

www.libtool.com.cn

τοσοῦτον παράσχοιεν ὅσον ἐγὼ, μένοι ἂν πόρρω τῆς σῆς οἰκίας ἔχων ἐφόδια ἐπὶ τρεῖς μῆνας. τὸ δὲ ἀληθὲς βούλεται εἰπεῖν ὅτι τρεῖς μῆνας μένοι πόρρω τῆς οἰκίας ὀδυνώμενος, εἰ τοσαύτας παρὰ τῶν μνηστήρων λάβοι πληγὰς ὅσας παρ' ἐμοῦ. τὸ δὲ "Τηλέμαχ' ὑψαγόρη μένος ἄσχετε, ποῖον ἔειπες;" ἀντὶ τοῦ διὰ τί μοι ὠνείδισας ἀμεταδοσίαν, καίτοι προαίρεσιν ἔχοντι παρασχεῖν; εἰ γὰρ παρὰ τῶν ἄλλων τοσοῦτον λάβοι, ἀρκέσει αὐτῷ καὶ εἰς τρεῖς μῆνας τὰ διδόμενα. B.H.Q.

τόσσον κακὸν, ὅσον ἐγὼ δίδωμι. ἢ ἐν εἰρωνείᾳ, τόσσον ἀγαθόν. B.

408. τρεῖς μῆνας] οὐκ ἂν ἐπὶ τρεῖς μῆνας προέλθοι αἰτήσων. V.

οἶκος ἐρύκοι] ἤτοι διὰ τὴν πληγὴν νοσῶν, ἢ ἐν εἰρωνείᾳ μέχρι τριμήνου ἐφόδια ἔχοντα αὐτόν. H.

409. ἔδειξεν ὡς τούτῳ βαλῶν, εἰ προσέλθοι αἰτῶν αὐτόν. H.

413. προικὸς] τῆς δωρεὰν δόσεως. V. τὴν δωρεάν· ὧδε γὰρ ὄνομά ἐστι. H.

414. στῆ δὲ παρ' Ἀντίνοον] ἀντὶ τοῦ, παρ' Ἀντινόῳ, ὡς τὸ "στῆ παρὰ Πρίαμον Διὸς ἄγγελος." (Il. ω, 169.). B.H.Q.

415. οἷον ἐν τῇ πόλει κάκιστος λεγόμενος. H.

416. περισσὸν τὸ ἀλλ' ὥριστος. H.

418. κλείω] δοξάσω, ὑμνήσω. ἐνεστὼς ἐστιν ἀντὶ μέλλοντος. H.

419. καὶ γὰρ ἐγώ ποτε] οὐκ ἐκ γένους ταπεινοῖ ἑαυτὸν, ἵνα δι' εὐγένειαν καὶ τῷ Ἀντινόῳ δοκῇ παρρησιάζεσθαι καὶ ὑπὸ Πηνελόπης μᾶλλον ἐλεεῖσθαι. Q.

κατὰ τὴν ἀξίαν τῶν δυστυχούντων ἕκαστα τῷ μὲν εὐγενεῖ λαμπρὰ, τῷ δὲ ταπεινῷ τὰ ἐοικότα. Q.

423. οἵσίν τ' εὖ ζώουσιν] δι' ὧν καλῶς ζῶσιν. H.

442. αὐτὰρ ἔμ' ἐς Κύπρον] ὅτι ἀεὶ πολλοὺς εἶχεν ἡ Κύπρος βασιλεῖς ἐν ταὐτῷ φησι καὶ ὁ Μένανδρος ἐν Μισουμένῳ "ὡς ἐν παραβάσει ἐκ Κύπρου λαμπρῶς πάνυ πράττων· ἐκεῖ γὰρ ὑπό τιν' ἦν τῶν βασιλέων." H.Q.

2. βούλεται om. H.
4. λάβοι H. λάβῃ B.Q.
5. μοι Buttm. pro με.
17. Διὸς ἄγγελος om. B.Q.
19. περισσὸν hic et in scholio ad v. 369. scripsi pro περισσός.
28. Μισουμένῳ H. μασουμάνῳ Q.

Verba ὡς ἐν παραβάσει, quæ ego non magis intelligo quam Meinekius Com. vol. 4. p. 168., corrupta videntur.

29. λαμπρῶς πάνυ Meinekius pro λαμπρῶς πάνυ λαμπρά.

www.libtool.com.cn

πέπεισται ὁ Εὔμαιος τἀληθῆ αὐτῷ διηγήσασθαι τὸν μεταίτην διὰ τὴν εὔνοιαν, καὶ ταῦτα πρὸς τὴν Πηνελόπην μηνύει (522.) περὶ αὐτοῦ ὡς αὐτὸς ἤκουσε. καὶ οἴεται αὐτὸν ψεύδεσθαι τοὺς μνηστῆρας, ἵνα μὴ παραγυμνώσῃ αὐτοῖς ἃ πέπυσται ἐν Θεσπρωτίᾳ περὶ Ὀδυσσέως. H.Q.

γρ. ξείνῳ. H.

ἀντιάσαντι] αἰτήσαντι, ὑπαντήσαντι ἐχαρίσαντό με. B.

443. Δμήτορι] Κινύρου ἀποθανόντος Δμήτωρ ἐβασίλευσε Κύπρου. ἢ οὐδὲ εἴρηται ὁ Κινύρας ἐν Ἰλιάδι (λ, 20.) Κύπρου βασιλεὺς, ἀλλὰ Κύπριος ἁπλῶς. B.Q.

καὶ ἐν Ἰλιάδι πολλοὶ ὑπὸ βασιλέας ἦσαν. V.

446. δαιτὸς ἀνίην] πρὸς ἡμᾶς ἤγαγε λύπην καὶ εὐωχίαν. B.

444. μετὰ δείξεως, ὁμοίως τῷ "ἀμφίπολοι, στῆθ' οὕτω ἀπόπροθεν," (Od. ζ, 218.) καὶ τῷ "Ἥφαιστε, πρόμολ' ὧδε," (Il. σ, 392.) οὕτως ὡς ἔχεις σχήματος. ὁ δὲ λόγος ὡς νῦν, ἵστασαι, στῆθι κατὰ τὴν αὐτὴν στάσιν, μὴ πλησίον τῆς τραπέζης μου. H.

448. πικρὴν] ἣν εἶπες πικρήν σοι εἶναι. H.

ἵκηαι] γρ. ἴδηαι. H. Vind. 133.

450. ἐξείης] τρεῖς νοθεύονται. ἐφ' οἷς γὰρ Ἀντίνοος ὀνειδισθεὶς ὤργισται εἰκὸς ἦν ἀχθεσθῆναι καὶ τοὺς λοιπούς. H. Vind. 133.

455. οὐδ' ἄλα] οὕτως Ἀρίσταρχος ἀνέγνωκε, καὶ ἀπέδωκε τοὺς ἅλας. ὁ δὲ Καλλίστρατος οὔδαλα, τὰ κόπρια, παρὰ τὸ ἐν τῷ οὐδῷ κεῖσθαι. οὐδὸς δὲ ὁ βατήρ. B.H.M.Q.

462. θρῆνυν ἑλὼν βάλε] εἰώθαμεν ἐν ταῖς ὀργαῖς ῥίπτειν ὃ ἐπὶ χεῖρας ἔχομεν. Q.

1. ὁ Buttm. pro ὡς.

2. εὔνοιαν H. ἄνοιαν Q.

6. ξείνῳ] Hoc ipsum in libris omnibus legitur. Non apparet quid scholiasta voluerit.

11. πολλοὶ] Barn. habet πόλεις, sed tacite, et per sphalma, opinor: certe obscuritas scholii ita non tollitur. In ed. ant. punctum est post Ἰλιάδι. Hinc suspicor primam scholii partem mutilam esse, quæ mentionem Cinyræ ex Iliade olim habuerit, posteriorem autem depravatam ex his, πολλοὶ γὰρ Κύπρου βασιλεῖς ἦσαν: vid. schol. 442. init. BUTTM.

18. ἴδηαι] Hoc in textu habet M. cum γρ. ἵκηαι.

20. ἀχθεσθῆναι H. ἀσχεθῆναι Vind.

21. ἀνέγνωκε H. ἀνέγνωσε B.Q. In V. hoc scholion sic scriptum, ὁ μὲν Α. δασέως ἀνέγνω καὶ ἀ. τοὺς ἅλας, Κ. δὲ ψιλῶς οὐδ' ἄλλα, ἐκδεχόμενος τὰ κόπρια, ἃ παρὰ τῷ οὐδῷ κεῖται, οὐδὸς δὲ ὁ βατήρ. Hesych. Οὐδ' ἅλα· οὐδὲ τὸ ψυχρὸν καὶ ἄφθονον εἰς χρῆσιν.

22. οὔδαλα M. οὐδάλα H. οὐδ' ἄλα B.Q. οὔδαλα ψιλῶς Eustathius, qui hoc scholion excerpsit p. 1828, 3.

www.libtool.com.cn

465. ἀκέων] ἀκεόντως, ἡσύχως, ἀφανῶς· λέγεται γὰρ ἐπὶ πράξεως τὸ ἀκέων, οὐκ ἀεὶ ἐπὶ φωνῆ. H.

466. ἆψ ὅγ' ἐπ' οὐδὸν] γρ. ἆψ δ' ἄρ' ἐπ' οὐδόν. H.

468. κέκλυτε] αἰνιγματωδῶς φησι ταῦτα. B.

475. ἀλλ' εἴ που] νοθεύοντας ς'. πῶς γὰρ ὁ Ἀντίνοος ἐκαρτέρησεν ἐπὶ ταῖς κατάραις, ὃς ἐπὶ τοῖς ἐλάσσοσιν οὕτως ἠγρίανε; πῶς τε συναλγοῦσιν αὐτῷ οἱ λοιποὶ εἰ τοιοῦτος ὢν οὕτω κατηρᾶτο πικρῶς; H.Q. Vind. 133.

478. ἔσθ'] ἀντὶ τοῦ ἔσθιε. Vind. 133.

479. οὐδὲ τῷ τοιούτῳ προσώπῳ ἐοικότες οἱ λόγοι. H. καθ' ἑαυτὸ οἷ' ἀγορεύεις· κατὰ ἔκπληξιν· λείπει ἡ διά, δι' οἷα. H.

484. εἰ δή πού τις ἐπουράνιος θεός ἐστι] λείπει, τί ποιητέον εἰ θεός ἐστι; B.H.

485. οὐκ ἄπιστον οὖν εἰ καὶ μεταίτῃ εἰκασθήσεταί τις θεῶν. H.

487. εὐνομίην] ἅπαξ εἴρηται παρὰ τῷ ποιητῇ. H.

εὐνομίην] εὐνεμεσίαν, καθ' ἣν εὖ νεμόμεθα καὶ διατελοῦμεν. V.

496. εἰ γὰρ ἐπ' ἀρῇσιν] εἰ προβαίη ἐπὶ ταῖς ἡμετέραις εὐχαῖς τὰ πράγματα. τοῦτο γὰρ λείπει. B.Q.

501. νοθεύει Ἀρίσταρχος δ'. πῶς γὰρ ἂν ταῦτα εἰδείη, εἰ μή πως κατὰ τὸ σιωπώμενον; H. Vind. 133.

ἀλητεύει] νῦν ἀντὶ τοῦ ἐπαινεῖ. V.

503. ἐνέπλησαν] ἐκόρεσαν. πλήρεις ἔχοντι τὰς χεῖρας καὶ ἄλλα προσέδοσαν. H.Q.

504. οὐκ ἂν οὕτως ἀκριβῶς εἰδείη τὸ βληθὲν μέρος. H.

507. ἡ δ' ἐπί οἱ καλέσασα] μετακαλεσαμένη αὐτὸν διά τινος. οὐ γὰρ οὕτως ἐγγὺς ἦν. B.Q.

509. προσπτύξομαι] νῦν προσδέξομαι. γράφεται προσφθέγξομαι. M.V.

514. οἷ' ὄγε μυθεῖται] θαυμαστικῶς διὰ μέσου ἀναπεφώνηται, οἷα ὄγε μυθεῖται. B.H.Q.

οἷ' ὄγε] γρ. ἦ ὄγε. H.

---

6. τοῖς Buttm. pro ταῖς.

7. αὐτῷ οἱ λοιποὶ] Sc. Ulyssi proci ceteri. BUTTM.

12. λείπει om. H. qui τί τι post θεός ἐστιν habet.

19. εἰδείη] εἴδει ἢ H. εἴδῃ ἢ Vind.

22. πλήρεις—προσέδοσαν] Sic hoc loco H. In Q. legitur ad π, 103.

27. προσφθέγξομαι Buttm. pro φθέγξομαι.

www.libtool.com.cn

518. θεῶν ἐξ δεδαώς] μαθὼν παρὰ θεῶν, θεόπνευστος. H.

519. ἔπε' ἱμερόεντα] γρ. ἐπιμερόεντα. H.

525. προπροκυλινδόμενος] μετὰ κακοπαθείας ἀπὸ πόλεως εἰς πόλιν φερόμενος. B.Q. προκυλινδόμενος] πλανώμενος. V. ἄλλοτε ἄλλους τῆς οἰκουμένης ἀμείβων τόπους. M.

529. ἴν' ἀντίον αὐτὸς] γρ. ἵν' Ἀντίνοος. H.

530. ἐψιαάσθων] ἀντὶ τοῦ παιζέτωσαν, διαλεγέσθωσαν. V. παιζέτωσαν. ἀπὸ τοῦ ἔπω, ἔψω, ἐψιάω. τοῦτο δὲ οὐχ ὡς προστάσσουσα, ἀλλ' ὡς εἰδυῖα τὸ ἔθος ὅτι καθήμενοι ἔπαιζον. B.Q.

531. ἐΰφρων] ἄφροντις καὶ ἐν εὐφρασίᾳ. H.

532. ἀκήρατα] ὑπὸ ἀλλοτρίων. ἃ δὴ οἰκεῖοι αὐτῶν ἔδουσι. B.

542. κονάβησε] γρ. κανάχησε. H.M

555. ἐντεῦθεν δῆλον ὡς καὶ τὸ Ἰλιακὸν διὰ τοῦ α ἐστιν, "ἐπεὶ πολλὰ κακὰ πέπασθε" (Il. γ, 99.). H.

πεπαθοίης] ἀντὶ τοῦ πέπονθας. Q. πεπαθοίῃ] γρ. πεποθυίῃ. M.

558. χρῄζεις] γρ. χρηίζεις. H.

563. ὁμὴν] τὴν αὐτήν. B.V.

567. ῥέξαντα] γρ. ῥέζοντα. M.

577. ἐξαίσιον] μεγάλως. V.

578. κακὸς δ' αἰδοῖος] κακὸς, ἀλυσιτελὴς ἑαυτῷ. αἰδοῖος, ὁ αἰδούμενος. B.Q. αἰδοῖος] νῦν ὁ αἰδούμενος. V.

580. ἅπερ κ' οἵοιτο καὶ ἄλλος] ἅπερ ἂν καὶ ἄλλος ὑπονοήσειεν. H.

581. ὕβριν ἀλυσκάζων] ἐν τοῖς πλείστοις ὕλην ἀλυσκάζων. H. ἀλυσκάζειν] ἐκφυγεῖν. MS. Barnes.

586. ὥσπερ ἂν ἀποβαίη, ἵνα εἴπῃ ὑπό τι νόει τὸ μέλλον. H.

596. Ἀχαιοί] γρ. Ἀχαιῶν. Vind. 133.

599. τηρεῖσθαι βούλεται τὸ ἔθος θηρώμενος τὸ ἀνύποπτον. H.

δειελιήσας] πρὸς τὴν δειλινὴν ὥραν παραγενόμενος, τουτέστι τὴν μεσημβρίαν· ἢ τὴν ἑσπερινὴν διατρίψας. ἔνιοι δὲ, τὴν δειλινὴν τρο-

2. ἐπιμερόεντα] Hoc dupliciter accipi potest, vel ἔπεα μερόεντα, a recto μερόεις i. q. ἱμερόεις, vel ἔπε' ἠμορόεντα sive ἀμορόεντα, id est οἷον ἀθάνατα, μόρου μὴ μετέχοντα, ut μορόεντα explicat Apollon. Lex., uno verbo ἄμβροτα, ut Sophocles Antig. 1121. ἔπη ἄμβροτα. LOBECK. Pathol. Elem. vol. 1. p. 72. Nihil horum satis probabile.

6. Ἀντίνοος] Absurde: vid. ad 50.

15. πεπαθοίης] Manifestum indicium variæ lectionis καὶ κήδε' ἅπερ πεπαθοίης. BUTTM.

23. ὕλην] Corruptum.

28. παραγενόμενος Buttm. pro παραγινόμενος.

www.libnol.com.cn

φὴν αἰτῶν. καὶ Καλλίμαχός φησι "δείελον αἰτίζουσιν, ἄγουσι δὲ χεῖρας ἀπ' ἔργου," τὴν πρὸς τῇ δειλινῇ τροφὴν αἰτοῦντες· οὐ δεόντως· προειρήκαμεν γὰρ ὅτι οἱ ἀρχαῖοι τρισὶ τροφαῖς ἐχρῶντο. V.

διελυνήσας] δειλινίσας, βρωματισάμενος δειλινὴν τροφήν. ἔνιοι δὲ, τὴν δείλην διατρίψας, οὐ φαγών. B.H.

602. ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη] ἔνιοι γρ. ἕζετ' εὐξέστου ἐπὶ δίφρου. H.

603. πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος. αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ] περισσὸς ὁ εἷς ἐκ τῶν β'. Q.

605. οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδήν] μετὰ τροφὴν αἱ ἀοιδαὶ, πρὸ τροφῆς δὲ γυμνασία σώματος, "δίσκοισι τέρποντο καὶ αἰγανέῃσιν ἰέντες" (Od. δ, 626.). H.

606. δείελον ἦμαρ] ἡ δειλινὴ τῆς ἡμέρας. B. τὸ τῆς δειλινῆς ὥρας κατάστημα. Q.V.

Σ.

ΥΠΟΘΕΣΙΣ.

Γενομένης μάχης Ὀδυσσέως πρὸς ἕτερον πτωχὸν ἐλθόντα πρὸς τοὺς μνηστῆρας, Πηνελόπη λαμβάνει δῶρα παρὰ τῶν μνηστήρων. καὶ κοινολογία γίνεται ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς Εὐρύμαχον περί τινος ἄλλου ἐν τῷ συμποσίῳ. H.P.Q.

ΑΛΛΩΣ.

Ὀδυσσέως καὶ Ἴρου πάλη, καὶ ἐξέλευσις Πηνελόπης πρὸς τοὺς

1. δείελον] Apud Eustath. p. 1832. extr. legitur δειελίην, quod indicium esse censeo veræ scripturæ hujus δειελίην αἰτοῦσιν. Operarii enim homines cibum sibi debitum non mendicant, sed poscunt, ideoque ab opere cessant. Quod autem Valckenarius (ad Callim. Eleg. fragm. p. 295.) corrigebat ἔχουσι, id necessarium fortasse non est. BUTTM.

5. δειλινὴν Buttm. pro δείλην.

ἔνιοι H. οἱ B.

6. ἐπὶ θρόνου ἔνθεν (ὅθεν M.) ἀνέστη] Hoc in textu habet M.

12. αἰγανέῃσιν] αἰγανέοισιν H.

14. κατάστημα om. V.

18. Πηνελόπη] πηνελόπης H.

19. γίνεται om. H.

μνηστῆρας ἐπιπλῆττούσης Τηλεμάχῳ περὶ τῆς τοῦ ξένου καταξενίας καὶ δωροδοκία τῶν μνηστήρων τῇ προειρημένῃ. καὶ ἀποπειρᾶται δὲ τῶν θεραπαινίδων Ὀδυσσεύς. P.Q.

ΑΛΛΩΣ.

Ὀδυσσέως καὶ Ἴρου πυγμὴ γίνεται. φαίνεται δὲ καὶ Πηνελόπη τοῖς μνηστῆρσι καὶ παρ' αὐτῶν δῶρα λαμβάνει. γίνεται δὲ καί τις κοινολογία ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς Εὐρύμαχον. V.

---

1. πτωχὸς πανδήμιος] ὁ δι' ὅλης τῆς πόλεως ἐπαιτῶν. B.H.Q. πανδήμιος] ὁ κατὰ τὸν δῆμον ἐπαιτῶν καὶ δι' ὅλης τῆς πόλεως ἐπιών. V.

2. γαστέρι μάργῃ] γαστριμαργίᾳ, ἀπληστίᾳ. H. [οὐδεὶς οὔτε γραμματικῶν οὔτε ῥητόρων ἐμνημόνευσεν· Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζῴων μέμνηται ζῴου μάργου, λέγων ὅτι γεννᾶται ἀπὸ σήψεως μεταξὺ γῆς καὶ ὕδατος. καὶ ἀφ' οὗ γεννηθῇ οὐ παύεται γαιηφαγοῦν ἕως οὗ ἐκτρυπήσῃ τὴν γῆν καὶ εἰς τὴν ἐπιφάνειαν ἔλθῃ, καὶ ἐλθὸν θνήσκει τρεῖς ἡμέρας· καὶ ἔρχεται νέφος μετὰ βροντῆς καὶ βρέχει ἐπάνω αὐτοῦ καὶ ἀναζῇ μηκέτι γαιηφαγοῦν. ἐκ τούτου οἶμαι τοὺς ἀρχαίους φιλοσόφους ὁρμηθέντας τοὺς πολυφάγους γαστριμάργους καλέσαι. δύναται δέ τις εὐσεβῶς καὶ κατὰ θεωρίαν ἐκλαβεῖν τὰ εἰρημένα. πᾶν γὰρ πάθος ἀπὸ σήψεως γεννᾶται, καὶ ἐπὰν γεννηθῇ, οὐ παύεται ἐσθίον τὴν ὑποστήσασαν καρδίαν, ἕως ἂν διὰ τῆς γνωστικῆς ἕξεως εἰς φανέρωσιν ἀληθείας ἔλθῃ, καὶ ἐλθὸν θνήσκει ταῖς τρισὶ

1. περὶ] ἐπὶ P.

καταξενίας] Vocabulum suspectum.

2. δωροδοκία Buttm. pro δωροδοκίας.

5—7. Legitur apud Eustathium p. 1833.

8. ὁ δι'] ὁ om. H.

11—14. οὐδεὶς—ὕδατος] Hæc pars scholii est etiam in Vind. 133. Totum scholion legitur in Etym. M. p. 222, 5. levi cum scripturæ diversitate. Seclusi autem hanc annotationem, quam scholiis Homericis temere illatam esse et per se manifestum est et planissime ostendunt quæ in fine dicuntur de ἁγίου πνεύματος σταλαγμοῖς.

14. γαιηφαγοῦν] γηΐφαγοῦν Etym. hic et infra.

15. ἐκτρυπήσῃ] ἐκτρυπήσει H.

16. μετὰ βροντῆς] βροχῆς Etym., omisso μετά.

17. οἶμαι—ὁρμηθέντας—καλέσαι] οἱ μετὰ—ὁρμηθέντες—ἐκάλεσαν Etym.

21. ἐσθίον ex Etym. correxi pro ἐσθίειν.

22. ἀληθείας om. Etym.

www.libtool.com.cn

δυνάμεσι τῆς ψυχῆς. καὶ οὕτως ἡ χάρις τοῦ ἁγίου πνεύματος διὰ νέφους σταλαγμοὺς δίδωσι γνώσεως, καὶ ζωοποιεῖ οὐ κατὰ τὴν προτέραν ἐμπαθῆ ζωὴν, ἀλλὰ κατὰ τὴν ἐνάρετον καὶ θεῷ οἰκείαν. H.Q.]

3. ἀζηχὲς] διηνεκὲς, ἀδιάλειπτον. V. πολλά. MS. Barnes.

5. Ἀρναῖος] ἢ ὅτι προβατώδης, ἢ παρὰ τὸ ἄρνυσθαι, ὅ ἐστι λαμβάνειν· ἢ ἀραῖος· ηὔχοντο γὰρ αὐτοῦ οἱ γονεῖς γεννηθῆναι· καὶ πλεονασμῷ τοῦ ν ἀρναῖος. B. γέγονε τὸ ὄνομα παρὰ τὴν ἀρὰν ἀραῖος, καὶ πλεονασμῷ τοῦ ν ἀρναῖος, ὁ εὐκταῖος τῇ μητρὶ γενόμενος· ἢ παρὰ τὸ ἄρνυσθαι τὸ λαμβάνειν ὡς πτωχὸς, ἵν' ᾖ ὄνομα πτωχῷ πρέπον· ἢ ἀπὸ τῶν ἀρνῶν, ἵν' ᾖ ὁ βληχώδης καὶ ἠλίθιος. Q.

6. ἐκ γενετῆς] ἐκ γενεῆς, διχῶς. H.

Ἶρος] ἀπὸ τοῦ Ἶρις ἡ ἄγγελος τῶν θεῶν. B. Ἶρος παρὰ τὸ εἴρω τὸ λέγω, ὁ τὰς ἀγγελίας κομίζων· λέγει γὰρ, οὔνεκ' ἀπαγγελίας. Q. παρὰ τὸ εἴρειν. V.

8. διώκετο] ἐδίωκεν. V. παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. B.H.

11. ἐπιλλίζουσιν] διανεύουσι τοῖς ὀφθαλμοῖς. Ἴλλοι γὰρ οἱ ὀφθαλμοὶ, ἀπὸ τοῦ εἰλεῖσθαι, ὅθεν τὸ δενδίλλων. B.Q. ἐπιλλίζουσιν διὰ δύο λλ. H.

15. ἐκ παντὸς τὸ ἀνενόχλητον αὐτοῦ δηλοῖ. H.

δαιμόνιε] δι' ἔργων σε οὐ κακοποιῶ. οὔτ' ἀγορεύω, οὔτε κακολογῶ σε, οὔτε τινα φθονέω δόμεναι, καὶ πόλλ' ἀνελόντα, οὐ φθονῶ σοι. H.Q.

17. οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται] χωρήσει, ἔνθεν καὶ χειὰ ἡ καταδυσις τῶν ὄφεων. B.Q.V. Δημήτριος δέ φησιν ὅτι ἀττικίζων ὁ ποιητὴς ἀντὶ τοῦ δέξεται χείσεται εἶπεν. B.Q. Vind. 133.

οὐ στενοχωρήσει. οὐδέ τί σε χρὴ ἀλλοτρίων φθονεῖν· οὐ γὰρ ἀπὸ τῶν σῶν λήψομαι. Q.

2. σταλαγμοὺς addidi ex Etym. γνώσεως H. et Etym. γνῶσιν Q.

3. ἐνάρετον] In ἐπ' ἀρετῇ corruptum in libris pluribus Etym.

5. προβατώδης Buttm. pro παραβατώδης.

7. γέγονε—] Ex antiquioris scholiastæ annotatione excerpta sunt quæ leguntur in Etym. p. 146, 11. καὶ ὁ ποιητὴς, "Ἀρναῖος ὄνομ' ἔσκε· τὸ γὰρ θέτο οἱ (οἱ om. libri duo: ex quo patet ποτε ex πότνια corruptum esse) ποτε μήτηρ ἐκ γενετῆς" παρὰ τὴν ἀρὰν, ἀραῖος, καὶ πλεονασμῷ τοῦ ν ὁ εὐκταῖος τῇ μητρὶ γενόμενος. οὕτως Ἡρωδιανὸς ἐν τῇ ἀνωμάλῳ προσῳδίᾳ. Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς, ἐν τῷ ὑπομνήματι τῆς Ὀδυσσείας, παρὰ τὸ ἄρνυσθαι, ὅ ἐστι λαμβάνειν, ὡς πτωχόν· ἵν' ᾖ πεποιημένον ὄνομα πτωχῷ πρέπον. ἢ ἀπὸ τοῦ (corr. τῶν) ἀρνῶν, ἵν' ᾖ ὁ βληχώδης καὶ ἠλίθιος.

τὴν ἀρὰν] τὸ ἀρὰν B.

20. οὐ κ.] οὐ om. Q.

www.libtool.com.cn

18. ἀλλοτρίων φθονέειν] οὕτως ἡ σύνταξις, οὐ χρή σε φθονεῖν μοι τῶν ἀλλοτρίων. B.H.Q. μέλλουσι δὲ οἱ θεοὶ εὐδαιμονίαν ἡμῖν παρέχειν, ἄδηλον γὰρ τὸ τῆς τύχης ῥεῦμα. B.Q.

19. ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν] ἐοίκασι δὲ οἱ θεοὶ δωρητικοὶ εἶναι εὐδαιμονίας, ὥστε οὐ φαίνονται ἡμῖν ἵλεω. Q.V.

21. μή σε, γέρων] ὅλον συνῆπται τὸ νόημα οὕτως, μήπως σε αἵματος πλησθῶ, καὶ πλέον ἡσυχίαν ἐμαυτῷ ποιήσω αὔριον. εἰ γὰρ σὺ πλησθείης, οὐκέτι ἐνταῦθα ἥξεις, καὶ εὑρίσκομαι ἐκτὸς ὢν μάχης, σοῦ μηκέτι ἐλθόντος. B.Q.

27. γρηῒ καμινοῖ] τῇ καμινοκαυστρίᾳ, τῇ φρυττούσῃ τὰς κριθὰς πρὸς τὸ ποιῆσαι ἄλευρα. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός. ὁ Ἀττικοὶ κοδομεύειν φασίν. ὁ δὲ Κομανὸς τῇ καμούσῃ τὰς ἶνας διὰ τὸ γῆρας. B.H.Q. Vind. 133. Καὶ ἄλλως. γρηῒ καμινοῖ, καμινευτρίᾳ, παραπλησίως κατὰ τὸ εἶδος καὶ τὴν ἐσθῆτα. ῥυπαρὰ γὰρ ἐφόρει. B.H.Q. καμινευτρίᾳ, φρυγούσῃ κριθάς. ἔστι δὲ ἡ εὐθεῖα καμινώ. V.

ἐν πολλοῖς, γρηῒ καμινῶ. H.

28. χαμαὶ δ' ἐκ πάντας] σχεδὸν πᾶσαι, χαμαὶ δέ κε πάντας. H. τοὺς ὀδόντας ἐκκόψω. H.

29. λῃϊβοτείρης] τῆς κατεσθιούσης τὸ λήϊον, ὅ ἐστι τὸ σιτοφόρον χωρίον. ἐὰν γὰρ εὑρεθῇ σῦς ἀλλότριον σπόριμον πεδίον βοσκομένη, ἐξοδοντίζεται. V. νόμος ἦν, ὡς ἐὰν εὑρεθῇ σῦς ἀλλότριον σπόριμον πεδίον βοσκομένη, ἐξωδοντίζετο. Q. ὡς χοίρου λήϊον βοσκομένης. εἴ που γὰρ εὑρίσκετο εἰς ἀλλότριον χωρίον χοῖρος, τοῦ τοὔπασχεν ὑπὸ τῶν δεσποτῶν τοῦ χωρίου κατεχομένη. οὗτος δὲ ὁ νόμος παρὰ Κυπρίοις. B.H.

30. ἐπιγνώωσι δὲ ἀντὶ τοῦ θεάσωνται. V.

33. πανθυμαδὸν ὀκριόωντο] μετὰ παντὸς θυμοῦ ἐτραχύνοντο, ἠγρι-

4. δωρητικοὶ] δωτικοὶ V.
5. εὐδαιμονίας] εὐνοίας Q.
ὥστε—ἵλεω om. Q.
11. ἄλευρα] ἄλευρον Vind.
Ἀρίσταρχος καὶ ὁ (ὁ omisi) Ἡρωδιανὸς Vindob. ἀριστοφάνης καὶ ἡρώδης B.H.Q. Veram scripturam suo in libro habuit Eustath. p. 1835, 40. τὸ δὲ καμινοῖ διὰ τὸ ἐπιφαινόμενον μέλαν ὡς οἷον ἔκ τινος ἀσβόλης. Ἀρίσταρχος δὲ καὶ Ἡρωδιανὸς καμινῶ φασι τὴν καμινεύτριαν, ἤτοι φρύττουσαν κριθὰς πρὸς εὐχερεστέραν ἀλευροποιΐαν.
ὁ Ἀττικοὶ κοδομεύειν Buttm. pro ὁ (ὁ om. B. Q.) Ἀττικὸς οἰκοδομεύειν.
12. Κομανὸς Eustathius. Scribebatur Κόμανος.
διὰ τὸ γῆρας] ἀπὸ τοῦ γήρως Vind.
13. γρηῒ] γυνὴ B.Q.
17. γρηῒ] γρηοῖ H.
καμινῶ] Sic H.
23. βοσκομένης H. βοσκομένου B.

www.libtool.com.cn

αἴνοντο. καὶ λίθον ὀκριόεντά φησι τὸν τραχὺν καὶ οἷον ἄκρα ἔχοντα, καὶ ἀκριόεντα. B.H.Q. *πανθυμαδὸν*] *ἐκθύμως, πάσῃ τῇ ψυχῇ, ἄγαν ὀργίλως. ὀκριόωντο*] *ἐτραχύνοντο, διεφέροντο, διεπλημτίζοντο.* V.

41. *κακοείμονας*] *κακὰ ἱμάτια περιβεβλημένους.* H.

43. *ἀγήνορες*] *νῦν οἱ ἄγαν ἀνδρεῖοι.* Q.V.

44. *γαστέρες*] *οἰκεῖον τὸ ἆθλον τοῖς διὰ γαστέρα ἁμιλλωμένοις. ἐν πυρὶ δὲ ἀντὶ τοῦ παρὰ πυρί. οὕτως Ἀρίσταρχος. ὁ δὲ Ἀριστοφάνης ἐν πυρὶ, ἐν τῷ καταφωτιζομένῳ τόπῳ, ὡς ἐν Ἰλιάδι* (ι, 206.) *"αὐτὰρ ὅγε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ."* B.Q. *προσηκόντως γαστέρα πρὸς βρῶσιν τίθησι τῷ νικήσαντι. καὶ οὗτοι γὰρ διὰ τὴν γαστέρα ἐμάχοντο.* Vind. 133. *γαστέρες αἶδ' αἰγῶν*] *τὰς φύσκας λέγει. οἰκεῖον δὲ τὸ ἆθλον τοῖς διὰ γαστέρα δυστυχοῦσιν.* V. *αἶδε δεικτικῶς, ἐν μέσῳ γὰρ τῷ ἀνδρῶνι τὸ πῦρ.* H.

48. *εὐλογώτατα πρὸ τῆς μνηστηροκτονίας τὸν Ἶρον ὑπεξάγει ὁ ποιητής.* H.

50. *ἤνδανε*] *ἤρεσκε.* V.

56. *ἦρα*] *τὸ ἐντελὲς ἐπίηρα.* B. *ἐπίηρα ἐστὶ τὸ ἐντελὲς, καὶ ἐν Ἰλιάδι "μητρὶ φίλῃ ἐπίηρα," ὁ μεσολαβήσας τῷ ὀνόματι εἶπεν.* H.

57. *ἀτασθάλλων*] *ἐνυβρίζων με ὑπερηφάνως ἢ ἀδικῶν με.* B.H.Q.

58. *ἐπώμνυον*] *ἐπώμνυον, οὐκ ἀπώμνυον.* B.H. *ἀπώμνυον*] *γρ. ἐπώμνυον.* Vind. 133.

63. *θείνῃ*] *γρ. δείρῃ.* Vind. 56.

64. *ξεινοδόκος*] *ὁ τοὺς ξενοὺς ὑποδεχόμενος, διὰ τοῦ κ ἀντὶ τοῦ χ, ὡς ἱστοδόκος, ἢ ἀπὸ τοῦ δέχεσθαι.* H.

ἐπὶ δ' αἰνεῖτον] *συγκατατίθενται.* V. *συντίθενται δὲ κελεύσει μου ὁ Ἀντίνοος καὶ Εὐρύμαχος.* H.Q.

67. *ζώσατο*] *περιεζώσατο μὲν τοῖς ῥάκεσι τὰ αἰδοῖα, ἢ περὶ τὰ αἰδοῖα ἐζώσατο.* B.Q.

70. *μέλε' ἤλδανε*] *ψιλῶς ἀπὸ τοῦ ἀλδαίνω. καὶ Αἰολεῖς ἄλματα καλοῦσι τοὺς κλάδους, οἷον ἀλδήματα καὶ αὐξήματα.* B.Q.

73. *ἄϊρος*] *Ἶρος ὀνομασθείς. ἐπίσπαστον*] *ἑκούσιον, ἀπὸ τῶν ὀρνίθων τῶν δελεαζομένων καὶ ἐπισπωμένων ἑαυτοῖς τὸν ὄλεθρον.* V.

1. *φησι* om. H.

11. *ἐμάχοντο*] Addit Vind. verba scholii superioris *ἐν πυρὶ δὲ ἀντὶ τοῦ περὶ* (sic) — — *ὁ δὲ ἀριστο* (cetera non comparent.)

12. *φύσκας*] Cf. Eustath. p. 1837, 13.

26. *Ἀντίνοος*] *ἀντίνους* H.Q.

31. *ὀνομασθείς*] *ἐπὶ κακῷ* addit Barnes. Sic Apoll. Lex. s.v. *ἄϊρος*.

www.libtool.com.cn

ἄϊρος ἐπίσπαστον] ὁ μηκέτι ἐν ζωῇ ἐσόμενος, ὁ μηκέτι ἐσόμενος Ἶρος. τὸ δὲ, ἐπίσπαστον, αὐθαίρετον, ὃ αὐτὸς ἑαυτῷ ἐπεσπάσατο. B.H.

ἕξει] γρ. ἄξει. H.

74. ἐπιγουνίδα] τὸν ἐπάνω τοῦ γόνατος τόπον. ἀπὸ δὲ μέρους τὸ πᾶν σῶμα φησίν. εἰ γὰρ τὸ ὀστῶδες μέρος εὔσαρκον, πῶς οὐκ ἂν καὶ τὰ ἄλλα; B.Q.

75. ὠρίνετο] κατεταράσσετο, οὐκ ὠργίζετο. H.

76. ἀλλὰ καὶ ὡς δρηστῆρες] ἁπλῶς. οὐ γὰρ ἐπὶ τῶν μαγείρων. "οὗτοι δῶμα κάτα δρηστῆρες ἔασιν" (Od. κ, 349. τ, 345.). Q.

δρηστῆρες] οὐ πάντες δοῦλοι, ἀλλ' ἴσως θεράποντες, ὃ καὶ ἄμεινον. H.

77. ὅμοιον τῷ "Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσε." (Il. η, 216.). H.

79. νῦν μὲν μήτ' εἶῃς] ἀντὶ τοῦ ἀποθάνοις νῦν. μήτε γένοιο, ἀντὶ τοῦ μηδὲ ἐν παλιγγενεσίᾳ ἔλθοις τὸ δεύτερον. B.

βουγάϊε] μεγάλως ἐπαιρόμενε, βοῶν ἔργα ποιῶν. V. ἀκουστέον ὑπερμεγέθη ἔχων βοείαν ἀσπίδα, ἐπὶ τοῦ Αἴαντος, ὅταν λέγῃ "ὦ Αἶαν ἀμαρτοεπὲς βουγάϊε" (Il. ν, 824.), ὡς εἰ ἔλεγεν, ὁ γαίων ἐπὶ τῇ ἀσπίδι, ὡς "κύδεϊ γαίων" (Il. α, 405.). ἐπὶ δὲ τοῦ Ἴρου χαριεντιζόμενός φησι, διὰ τὸ μέγεθος, ὡς ὑπερμεγέθη ἀνέχοντος ἀσπίδα. λέγει δὲ, μὴ εἶῃς μέγας, μηδὲ γένοιο· ὅμοιον τῷ "ἦ μάλα Ἶρος ἄϊρος" (73.), ἀπαγγέλλων ὅτε πού τις ἀνώγοι (7.). τοῦτο ὅμοιον καὶ τῷ "οὕτω γάρ κεν δή μοι ἐϋκλείη τ' ἀρετή τε εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα καὶ μετέπειτα" (Od. ξ, 402.). τοῦτο γὰρ ταυτὸν τῷ εἶῃς καὶ γένοιο. H.Q. βουγάϊε] ἐπὶ μὲν τοῦ Αἴαντος, ἐπὶ τῇ βοὶ γαίων, ὅ ἐστι τῇ ἀσπίδι· νῦν δὲ χαριεντιζόμενος ἐπὶ τῷ γαυριῶντι τῇ ἀναισθησίᾳ φησί. B.Q.

84. πέμψω σ' Ἠπειρόνδε] Ἤπειρος χώρα ἐστὶν ἐναντίον τῆς Ἰθάκης οὕτως ἰδικῶς λεγομένη. B.Q.

85. εἰς Ἔχετον βασιλῆα] Ἔχετος ἦν μὲν υἱὸς Βουχέτου, ἀφ' οὗ καὶ ἐν Σικελίᾳ πόλις Βούχετος καλεῖται. Σικελῶν δὲ τύραννος λέγε-

1. ὁ μ. ἐν ζ.—ἐσόμενος Ἶρος H. οὐκέτι ἐν ζῶσιν ἐσόμενος Ἶρος B.
2. τὸ δὲ ἐπίσπαστον om. H.
4. ἐπιγουνίδα] Conf. ad ρ, 225.
7. οὐκ] καὶ ?
17. ἔχων Buttm. pro ἔχειν.
23. δή om. Q.
28. χώρα] χωρίον B.
30. In V. ed. ant. hoc quidem scholium ad calcem libri rejectum, alterum, quod ordine tertium exhibemus, suo loco positum est. BUTTM.
31. ἐν Σικελίᾳ πόλις Βούχετος] Epi-

www.libtool.com.cn

ται. τοῦτον τοὺς μὲν ἐγχωρίους κατὰ πάντα τρόπον σίνεσθαι, τοὺς δὲ ξένους ἀναιρεῖν λωβώμενον· τοσαύτην δὲ κακίαν ἔχειν ὡς καὶ τοὺς μακρὰν οἰκοῦντας ὅτε θέλοιεν σφόδρα τινὰ τιμωρῆσαι καὶ ξένῳ περιβαλεῖν θανάτῳ ἐκπέμπειν αὐτῷ. πολλὰς γὰρ μηχανὰς ἐξευρεῖν τοῦτον αἰκίας. ὅθεν τὸν λαὸν οὐχ ὑπομένειν τὴν πικρὰν ταύτην τυραννίδα, λίθοις δὲ αὐτὸν ἀνελεῖν. ἡ ἱστορία παρὰ Μνασέᾳ καὶ Μαρσύᾳ. Q.V. οὗτος Ἠπείρου βασιλεὺς Εὐχήνορος καὶ Φλογέας υἱὸς, ὃς τὴν θυγατέρα Μετώπην ἢ Ἄμφισσαν ὑπὸ Αἰχμοδίκου φθαρεῖσαν πηρώσας ἠνάγκασεν ἀλήθειν κριθὰς σιδηρᾶς, τότε φήσας ἀποδώσειν αὐτῇ τὰς ὄψεις ὅταν ἀλήσῃ τὰς κριθάς. τὸν δὲ Αἰχμόδικον ὡς ἐπὶ ἑστίαν καλέσας ἠκρωτηρίασε. καὶ εἰς ὠμότητα τραπεὶς μισθὸν ἐλάμβανεν ὑπὲρ τοῦ ἀκρωτηριάζειν τοὺς ἐπὶ τούτῳ πεμπομένους αὐτῷ ξένους. ὕστερον μέντοι μανεὶς ἐνεφορήθη τῶν ἰδίων σαρκῶν. τινὲς δέ φασιν ὅτι ἐπ' αὐτοῦ Ὁμήρου ἦν ὁ Ἔχετος· ἐπειδὴ δὲ ἐπλημμέλησεν εἰς αὐτὸν, ἐμνήσθη αὐτοῦ ὡσανεὶ παλαιοῦ τινος ἀδίκου. H.Q. Ἔχετος βασιλεὺς ἦν τῆς Ἠπείρου, Εὐχήνορος παῖς, ὠμὸς καὶ ἀπότομος, ὃς καὶ τὴν θυγατέρα Μετώπην ἢ Ἄμφισσαν ὑπὸ Αἰχμοδίκου φθαρεῖσαν πηρώσας ἠνάγκαζε σιδηρᾶς ἀλεῖν κριθὰς, λέγων τότε ἀποδώσειν τὰς ὄψεις, ὅτε ἀλέσει τὰς κριθάς. τὸν δὲ Αἰχμόδικον ἐπὶ ἑστίασιν καλέσας ἠκρωτηρίασε καὶ τὰ αἰδοῖα αὐτοῦ ἀπέκοψεν. ὕστερον μέντοι μανεὶς καὶ τῶν ἰδίων ἐμφορηθεὶς σαρκῶν ἀπέσβη. V.

89. ἄναγον] Ἴωνες τὸ ἄγειν ἀνάγειν λέγουσιν. "οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσι" (Il. θ, 203.). B.H.Q.

91. ἐλάσει] πλήξει βαλών. V.

95. ἀνασχομένω] ἀνασχόμενοι. ἔστι δὲ ἀντὶ τοῦ ἀνασχομένων. H.

ἀνασχομένω] ἀνατείναντες. V.

98. μακὼν] ἐπὶ ἀνθρωπείας φωνῆς. B.

ἡ Αἰολὶς, χανών. H.

rotica hæc urbs fuit, non Sicula, nec Βούχετος appellata est, sed Βούχετα vel Βουχέτιον. Dixi de ea in Thesauro vol. 2. p. 382. 383. Scholiastæ errorem notarunt Buttm. et Ebert. Dissert. Sic. vol. 1. p. 109. qui aliorum scriptorum de Echeto narrationes collegit.

7. Εὐχήνορος] Αὐχήνορος apud Hesych. s. v. Ἔχετος.

Φλογέας correxi ex Eustathio p. 1838. extr. φληγυίας H.Q. Φλογίας Hesych. Φλεγέας Eudocia p. 163.

8. Αἰχμοδίκου Eustathius et Eudocia. Αἰχμοδόκου H.Q. In Αἰχμόδημος corruptum apud schol. Aphthonii in Walzii Rhet. vol. 2. p. 48. 473.

9. ἀλήθειν H. et Eustathius. ἀλεῖν Q.

10. αὐτῇ] αὐτῆς H.

Αἰχμόδικον] Iterum Αἰχμοδόκον H.Q.

22. δέ τοι] δ' ἔτι H.

σὺν δ' ἤλασ' ὀδόντας] συνέκρουσε. B.Q.V.

100. γέλω ἔκθανον] ὑπὸ γέλωτος ἀπέθανον. Gl. H. διεχύθησαν τῷ γέλωτι τερπόμενοι. H.

101. εἶλκε δι' ἐκ προθύροιο] διὰ τοῦ προθύρου τοῦ ἀνδρῶνος εἶλκεν αὐτὸν, ἕως ὅτε κατέλαβε τὴν αὐλὴν, ὅπου εἰσὶν αἱ θύραι τῆς αἰθούσης. B.Q.

102. αἰθούσης]  παρὰ τὸ καθῆσθαι ἐκ τῆς αὐλῆς. H.

ποτὶ ἑρκίον αὐλῆς] εἰς τὸ περίφραγμα τῆς αὐλῆς, ἀντὶ τοῦ τῷ περιεχομένῳ τόπῳ τῆς αὐλῆς. B.Q.

105. ἐνταυθοῖ] ἐνταῦθα, ἐν τούτῳ τῷ τόπῳ. H.

106. εἶναι] ἀντὶ τοῦ ἔσο. Q.

107. ἐπαύρῃ] ἐπαύρομαι, ἐπαύρῃ, ἀντὶ τοῦ εὕρῃς. B.H.Q. γρ. ἄλλο πάθῃσθα. H.

111. δεικανόωντ' ἐπέεσσιν] ἤγουν ἐδεξιοῦντο, παρὰ τὸ δείκνυμι. MS. Barnes.

115. 116. οὗτοι οἱ β' ἐκ τῶν ἄνωθεν μετήχθησαν· ἐκεῖ μὲν γὰρ προτρέπων φοβεῖ, ἐνταῦθα δὲ ἀπάνθρωπον τελέως τὸ ἡμιονήπια τελεῖν· διὸ περιγράφονται. H.

115. ἀνάξομεν Ἠπειρόνδε] ἀναχθῆναι ποιήσομεν. B.Q.V. νῆσος γὰρ ἡ Ἰθάκη. B.Q. ἀπαγάγωμεν. V.

123. ἀτὰρ μὲν νῦν γε] νῦν δὲ δή γε· ὁ γὰρ μέν ἀντὶ τοῦ δή. H.

128. ἐπητῇ] παρὰ τὸ ἔπος. περισπωμένως, ἀντὶ τοῦ λογίῳ. B. H.Q. ἐπητῇ] δεινῷ εἰπεῖν, ἢ λογίῳ, παρὰ τὰ ἔπη. V.

130. ἀκιδνότερον] ὑπομονητικώτερον. B.Q.

132. οἷον οὐκ ἀνέξεσθαι, ἀλλ' αὐτὸν ἐξάξειν· οὕτως Ἀριστοφάνης. H.

133. ἀρετὴν] εὐδαιμονίαν, τὴν ὑπὸ θεῶν εὐπραξίαν. H.

ὄφρ' ἀρετὴν παρέχωσι] νῦν, τοῖς ἀγαθοῖς παρέχουσιν εὐδαιμονίαν· ὁμοίως τῷ "ἀρετῶσι δὲ λαοί." (Od. τ, 114.). Q.V.

134. τελέουσι] ποιοῦσιν, ἐπιφέρουσιν. V.

136. τοῖος γὰρ νόος ἐστὶν] οἱ μὲν φιλόσοφοι ἐκδέχονται ὅτι οἷον ἂν ᾖ τὸ κατάστημα τοῦ ἀέρος, τοιαύτην καὶ τὴν ἡμέραν διατελοῦσιν

5. αἰθούσης] αὐλῆς B.
12. ἐπαύρομαι, ἐπαύρῃ om. B.Q.
13. ἄλλο πάθῃσθα] Ex Il. ω, 551.
17. ἡμιονήπια] Corruptum.
22. παρὰ τὸ ἔπος om. B.Q.
28. παρέχουσιν] παρέχουσαν Q.

www.libtool.com.cn

οἱ ἄνθρωποι· ὁ δὲ ποιητὴς λέγει, ὁποῖα ἂν ᾖ τὰ προσπίπτοντα, τούτοις ἐξομοιούμεθα. B.Q.V. ὁποῖον γὰρ ἐπάγει ἦμαρ ὁ Ζεὺς τοῖς ἀνθρώποις, τοιοῦτός ἐστιν ὁ νοῦς αὐτῶν, ἐν μὲν ταῖς εὐτυχίαις ἐπαιρόμενος, ἐν δὲ ταῖς δυστυχίαις ταπεινούμενος πρὸς τὰς ἐφ' ἡμέραν τύχας. B.H.Q.

138. ἔμελλον] ἐῴκειν, ἐδόκουν. Q. ἐῴκειν, ἐνομιζόμην. V.

140. πατρί τ' ἐμῷ πίσυνος] θαρρῶν τῇ προστασίᾳ τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν. Q.

142. ἀλλ' ὄγε σιγῇ] ἡσυχῇ, ἐγκρατῶς, μήτε ἐπαιρόμενος, μήτε ἄγαν ὀδυρόμενος. δῶρα δὲ θεῶν ἁπλῶς τὰ διδόμενα ὁποῖα τύχῃ ὄντα. B.

143. οἷ' ὁρόω μνηστῆρας] θαυμαστικῶς τὸ οἷα. ἠρέμα ταῦτα πρὸς τὸν Ἀμφίνομον φησί. Q.

150. καὶ κεῖνον] πλήρης ὁ καί. H.

154. ἐμφαίνει τὸν ἐπιμελῶς ἀκούσαντα διὰ τοῦ νευστάζων. H.

ὄσσετο] προεμηνύετο. Q.

160. πετάσειε] ἐκπλήξειεν. V. ἀναστήσει πρὸς ἐπιθυμίαν. B.

γρ. θέλξειε. Vind. 50. 56.

οὐκ ἀλαζονικῶς δὲ πρόσεισιν ἡ Πηνελόπη, ἀλλ' ὅπως μὴ βιασθῇ προνοουμένη καὶ ἐλπιδοποιοῦσα τὸ δοκεῖν τινι συνοικῆσαι. Q.V.

162. μᾶλλον πρὸς πόσιος] ἵν' ἐκπλαγεὶς τῷ κάλλει αὐτῆς Ὀδυσσεὺς μᾶλλον κατὰ τῶν μνηστήρων ἐπιρρωσθείη. B.Q.

163. ἀχρεῖον] ἄκαιρον μηδενὸς προκειμένου, οὐ χρειώδες, οὐδὲ πρὸς χρείαν ἁρμοζόμενον. B.H.Q. οἷον οὐκ ἐκ σπουδῆς. V.

166. συμβουλεύσαιμι γὰρ ἂν τῷ παιδὶ ἔπος τὸ κέρδιον εἶη. H.

167. ἐπαινεῖν] συντίθεσθαι. V.

ἐπαινεῖν] γρ. ὁμιλεῖν. M.

βάζουσι] εἰς κενὸν λαλοῦσι. Q.

2. ὁποῖον H. ποῖον B.Q.
ἐπάγει] ἐπαγάγει Maii editio.

3. ἐπαιρόμενος (συνεξαιρόμενος Eustath. p. 1840, 51.)—ταπεινούμενος] ἐπαιρόμενοι—ταπεινούμενοι H.

4. ἡμέραν H. ἡμέρᾳ B.Q.

6. Ad ἔρεξα v. 138. in H. annotatum γρ. ἔρεζα (?)

14. πλήρης ὁ καί] Observatio sæpius repetita. Vid. ad α, 175.

15. διὰ τοῦ] διὰ τὸ H.

19. 20. In H. est οὐκ ἀλαζονικῶς πρόσεισιν, ἀλλ' ἐλπιοῦσα (corr. ἐλπιδοποιοῦσα, quo verbo utitur schol. infra v. 261. ἐλπιδοκοπήσασα est ap. Eustath. p. 1841, 48.) αὐτοὺς, ἵνα μὴ δοκῇ φεύγειν αὐτῶν τὴν συντυχίαν.

20. τὸ] τῷ V.

23. οὐ χρειῶδες] οὐ χρειώδη H. ἀχριῶδες B.Q.

24. ἁρμοζόμενον] ἁρμοζομένῳ H.

φρονέουσι] βουλεύονται, ἐννοοῦσι. V.

168. ὅμοιον τῷ "ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον" (Od. ρ, 66.). H.

172. ἐπιχρίσασα παρειάς] ἐλαίῳ λιτῷ ἢ σκευαστῷ. B.

174. ἄκριτον αἰεί] ἀδιαλείπτως, ἀδιαχωρίστως. H.

176. ἠρῶ] γρ. ἤρω. Vind. 133.

178. παραὶ δα] ἔξω τοῦ δέοντος λέγει ἢ κρύπτει. Q.

κηδομένῃ] μετὰ τοῦ ι, ἀντὶ τοῦ κηδευούσῃ πρὸς τὸ χ. H.

179. ἀλοιφῇ] ἐλαίῳ. H.V.

180. ἀγλαΐην] νῦν ἀντὶ τοῦ καλλωπισμόν. H.

182. ἀνώχθει] γρ. ἄνωχθι. H.

184. οὐ κεῖσ' εἶμι] τὸ πλῆρες, ἐκεῖσε εἶμι. τινὲς δὲ, εἴσειμ'. ἄμεινον δὲ τὸ πρῶτον. H.

186. ἀγγελέουσα] λέγουσα. V.

νέεσθαι] γρ. ἔσεσθαι. H.

192. κάλλει] νῦν τὰ μύρα. V. μυθικῶς θείῳ τινὶ χρίσματι. Q.

193. Κυθέρεια] ἢ ἀπὸ τοῦ κεύθειν ἢ ἀπὸ τοῦ κύειν ἔρωτα. B.

194. ἱμερόεντα] γρ. ἐρόεντα. Vind. 56.

195. πάσσονα] παχυτέραν πρὸς ἀναλογίαν τοῦ μήκους. H.

196. πριστοῦ] γρ. λευκοῦ. M.

197. δῖα θεάων] Ζηνόδοτος γράφει, δῖ' Ἀφροδίτη. H. Vind. 133.

199. φθόγγῳ ἐπερχόμεναι] σὺν φθόγγῳ, οὐ σιωπῇ βαδίζουσαι πρὸς αὐτήν. B. μετὰ φωνῆς ἐπιοῦσαι. V.

200. ἀπομόρξατο] ὃ συνήθως οἱ δυπνισθέντες ποιοῦσιν. H.

201. αἰνοπαθῆ] τὴν δεινοπαθῆ. H.

204. φθινύθω] φθείρω. V.

212. ἔθελχθεν] ἠλλοιώθησαν. Q.V.

ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν] γράφεται, ἔρως δ' ἄρα θυμὸν ἔθελγεν. B.M.

216. κέρδε'] κέρδεα νῦν τὰ βουλεύματα. B. συνέσεις. V.

2. βυσσοδόμευον] βυσσοδομεύουσιν H.

8. Lemma κηδομένῃ praefixit Cramerus. Nam sic, non κηδομένῃ, legisse scholiastam apparet ex verbis μετὰ τοῦ ι.

πρὸς τὸ χ] Fort. πρὸς τὸ χρῶτ' ἀπονίπτεσθαι etc.

12. Post v. 184. in Vind. 133. hic versus est illatus, μίσγεσθαι μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ.

21. δῖ' Ἀφροδίτη] Prava correctio, quæ si placuit Zenodoto, non huic demum versui, sed jam v. 190, adhiberi debebat: unde probabilis Duentzeri conjectura est hanc annotationem ad v. 190. referentis.

ἐνώμας] ἐκίνεις. ἀντὶ τοῦ ἐνενόεις. V.

217. νῦν δ' ὅτε] τὸ ἐξῆς, νῦν δ' ὅτε δὴ μέγας ἐσσὶ, οὐκέτι φρένες εἰσὶν, ὡς τὸν ξεῖνον ἔασας. B.Q.

221. οἷον δὴ] θαυμαστικῶς τὸ οἷον δή. B.

223. πῶς νῦν] τὸ ἐξῆς, πῶς εἰς τὸ μετέπειτά σοι αἶσχος λώβη τε πέλοιτο, εἴ τι ὁ ξεῖνος πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς; τὸ γὰρ νῦν μέλλοντός ἐστι χρόνου, τὸ δὲ πῶς θαυμαστικὸν μετὰ ἤθους. B. H.Q. ἐν μεταξυλογίαις θαυμαστικῶς, καὶ τοιοῦτος ὁ στίχος. πῶς ἀντὶ τοῦ ποδαπῶς, ὁποίως μετέπειτα· οὕτως εἴ τι ὁ ξεῖνος πάθοι. H.

224. ῥυστακτύος] ἑλκυσμοῦ, αἰκισμοῦ. κήδεται δὲ αὐτοῦ παρ' Εὐμαίου μαθοῦσα ὑπάρχειν αὐτὸν Ὀδυσσέως ἑταῖρον. Q.

227. κεχολῶσθαι] τὸ ἐξῆς, τὸ μὲν κεχολῶσθαί σε. ὁ δὲ νοῦς, διὰ τοῦτο μὲν ὀργίζεσθαι οὐ μέμφομαί σοι, οὐκ εἰμὶ δὲ ἀνόητος ὡς σὺ φῂς, ἀλλὰ νοῶν τὰ καθέκαστα. B.Q.

229. πάρος δ' ἔτι νήπιος ἦα] γράφεται, μέγας δέ κε νήπιος εἴην. ὁ δὲ ἀντὶ τοῦ γάρ· μέγας γὰρ ἀνόητος εἴην, εἰ μὴ νοῶ ἐσθλά τε καὶ τὰ χέρεια. μέγας δὲ, ἤτοι μέγας ὢν τῇ ἡλικίᾳ. ἢ δύναται καὶ ἐπιτάσεως εἶναι μέγας μωρὸς ἀντὶ τοῦ πάνυ ἀνόητος, ὡς καὶ ἐν τῇ συνηθείᾳ. ὅθεν καὶ ἐπίρρημα μέγα ἀντὶ τοῦ μεγάλως. H.Q.

ἠθέτει καὶ Ἀρίσταρχος. H.

233. οὐ μέντοι ξείνου] οὐ κατὰ τὴν βούλησιν τῶν μνηστήρων, οὐδὲ ὡς ἐπεθύμουν αὐτοὶ ἀπέβη τὰ τῆς μάχης. ὁ γὰρ Ὀδυσσεὺς κρείσσων ἐγένετο, ἐκείνων βουλομένων τὸν Ἶρον νικῆσαι. B.H.Q.

μῶλος] νῦν πυγμή. B.

234. ὁ δὲ ἀντὶ τοῦ γάρ. H.

235. αἲ γὰρ, Ζεῦ] ταῦτα σιωπῇ Τηλέμαχος πρὸς τὴν μητέρα φησὶ πρὸς τῇ παραστάδι παρεστηκώς. H.Q.

238. λελῦντο] προπερισπωμένως τὸ λελῦντο· τὸ δὲ νῦν τὸ τέλος. H.

λέλυτο] γρ. λῦτο, et γρ. λελῦτο. Vind. 133.

6. εἴ τι—πάθοι] ἐάν τι πάθῃ B.Q. Sequitur autem scholiasta scripturam librorum meliorum εἴ τι (τοι M.) ξεῖνος, non, quod est in aliis, εἴ τις ξεῖνος. Utrumque memorat Eustathius p. 1844, 46.

16. εἰ μὴ—χέρεια om. Q.

23. νικῆσαι] νικᾶν H.

27. παραστάδι H. παραστάτιδι Q.

28. Eustathius p. 1845, 1. τὸ δὲ λέλυτο δὲ γυῖα ἑκάστου, ταυτόν ἐστι τῷ λυθεῖεν, ὁριστικὸν μὲν ὄν, τεθὲν δὲ ἀντὶ εὐκτικοῦ. ἴσως δὲ καὶ ἀπὸ τοῦ λελύοιτο συγκέκοπται.

www.libtool.com.cn

239. νῦν] γρ. γοὺν. H.

ἐπ' αὐλίῃσι] γρ. ἐν αὐλείῃσι. H.

246. Ἴασον Ἄργος] Ἴασος βασιλεὺς Πελοποννήσου. Ἄργος οὖν νῦν τὴν Πελοπόννησον λέγει, ἢ καὶ ὅλην τὴν Ἑλλάδα ἀπὸ τοῦ μεσαιτάτου. Q.V. τὴν Πελοπόννησον, ἀπὸ Ἰάσου τοῦ τῆς Ἰοῦς. πρὸς τὴν αὐτὴν δὲ καὶ Ἀχαϊκὸν Ἄργος φησὶ, Πελασγικὸν δὲ Ἄργος τὴν Θεσσαλίαν. B.Q.

248. περίεσσι γυναικῶν] ἡ περί ἀντὶ τοῦ περισσότερον, ἤτοι ὑπερέχεις τῶν γυναικῶν. B.

249. φρένας ἔνδον ἐΐσας] ἀκλινεῖς. ἀπὸ τῶν ζυγῶν ἡ μεταφορά. ἢ ὁμοίας τῷ κάλλει. B.Q.

253. ἦεν] σὺν τῷ ι Ἀρίσταρχος καὶ Ἀριστοφάνης, ἀντὶ τοῦ ἦεν. H.

254. τὸν ἐμὸν βίον] τὴν ἐμὴν πολιτείαν, τὴν ἐμὴν ζωήν. Q.

ἀμφιπολεύοι] περιπέσοι, περὶ τὸν ἐμὸν βίον πολοῖτο καὶ ἀναστρέφοιτο. B. διέποι, θεραπεύοι. V.

257. λιπὼν κατὰ] τινὲς ἀναστρέφουσι τὴν κατά· ἔνιοι δὲ ἀντὶ τῆς ἀπό λέγοντες οὐκ ἀναστρέφουσιν. Q.

258. ἐμὲ χεῖρα] ἀντὶ τοῦ ἐμοῦ χεῖρα, ἢ ἐμὲ προσηύδα. B.

261. καὶ γὰρ Τρῶάς φασι] ἐλπιδοποιεῖ προφανῶς τοὺς μνηστῆρας, ὅτι σὺν τοῖς ἄλλοις εἰκὸς ἀνῃρῆσθαι αὐτόν. Q.V.

263. ἵππων δ' ὠκυπόρων ἐπιβήτορας] τὸ ἑξῆς, οἵτινες ἐπιβάται τῶν ἵππων διαχωρίζουσι τὴν φιλονεικίαν τοῦ πολέμου, τέμνοντες συντόμως τὴν μάχην. B.Q.

265. εἴ κέν μ' ἀνέσει θεὸς] ἐκ τοῦ θανάτου ἀφήσει, ἢ ἐκ τῆς ἀλλοδαπῆς εἰς τὴν πατρίδα ἀναπέμψει καὶ ἀνακομίσει. B.Q. ἀνέσει] ἐάσει, ἀναπέμψει. V.

268. ἢ ἔτι] ἀντὶ τοῦ, καὶ ἔτι. B.

269. γενειήσαντα] ἵνα μὴ ὑπὸ πατρῴου ἐξουσίας γένηται ὁ παῖς. Q. Καὶ ἄλλως. ἐν ᾧ προτρέπει, ἐν τούτῳ ἀποτρέπει· γραῦς γὰρ τότε ἐγένετο. Q.V.

ταῦδε δὴ νῦν τεχνικῶς. τὸ μὲν γὰρ παντελῶς εἴργειν τὸν γάμον ἐπαχθὲς, τὸ δὲ εἰς ἀνεπιτήδειον ἡλικίαν περιστῆσαι συνετόν. δυσωπητικὸν δὲ καὶ τὸ τεὸν δῶμα. Q.

12. τοῦ ἦεν] Immo τοῦ ἦει.
19. ἐ. προφανῶς] πιθανῶς ἐ. V.
20. σὺν] ἐν V.
30. ἐγένετο] ἐγίνετο Q.
31. ταῦδε δὴ νῦν] Tria hæc verba fuisse videntur lemmatis loco e versu 271. Sed scholium spectat ad v. 269. BUTTM.

www.libtool.com.cn

272. νὺξ δ' ἔσται, ὅτε δὴ στυγερὸς γάμος] ἐλπίδα πᾶσαν αὐτοῖς ὑποβάλλει τοῦ γάμου, δεδοικυῖα ἵνα μὴ βιασθῇ. Q.

ἀντιβολήσει] συντελεσθήσεται. ἤδη γὰρ πρὸς αὐτῷ τῷ τέλει εἰμί. V.

273. οὐλομένης] ἀπολλυμένης μᾶλλον ἢ προδούσης τὴν κοίτην τοῦ ἀνδρός. Q.V.

275. οὐχ ἥδε δίκη] ἔθος. ἀντὶ τοῦ, οὐχ οὗτος ὁ τρόπος ὑπῆρχεν τῶν μνηστήρων ἐν τῷ προτέρῳ χρόνῳ. B.Q.

277. ἐθέλωσι] ἀντὶ τοῦ ἤθελον. καὶ τὰ ἑξῆς οὕτως. H.

279. κούρης] τῆς νύμφης. οὐ μόνον δὲ ἡ παρθένος, ἀλλὰ καὶ ἡ γεγαμημένη κόρη καλεῖται. προσεῖπε δ' Ὀρέστης Λάκαιναν κόρην, ἐπὶ τῆς Ἑλένης. Q.

282. παρέλκετο] ἀντὶ τοῦ ἐφέλκετο. εὐτελὲς τοῦτο, διὸ καὶ κεραύνιον παρέθηκεν Ἀριστοφάνης. H. εἰ μὲν ὑπὸ ἓν παρέλκετο, παρολκὴν ἐλάμβανεν, εἰ δὲ διῃρημένως, παρὰ τούτων ἐλάμβανε, καὶ ἀνεπλήρου τὰ ἀναλώματα. H.Q.V. παρέλκετο] παρέσπα. V.

286. ἐνέγκαι] ἀντὶ τοῦ ἐνεγκεῖν. H.

289. ἐγκλιτικὸν τὸ τῷ. H.

291. πρόεσαν κήρυκα ἕκαστος] ἐνδέχεται καὶ καθ' ἕκαστον τῶν μνηστήρων κήρυκα εἶναι, ἢ καὶ τὸν αὐτὸν κήρυκα ἀπὸ πλειόνων πεμφθῆναι. Q.

292. περικαλλέα πέπλον] περιβόλαιον τὸ σκέπον τὸν ἀριστερὸν ὦμον ὄπισθεν καὶ ἔμπροσθεν, συνάγον τὰς δύο πτέρυγας εἰς τὴν δεξιὰν πλευράν, γυμνὴν ἐῶν τὴν δεξιὰν χεῖρα καὶ τὸν ὦμον. B.Q.

294. κληῖσιν] κατακλεῖσιν, εἰς ἃς καθίεσαν τὰς περόνας. V.

εὐγνάπτῃς] εὐπεριστρέπτοις, καλῶς ἐπικεκαμμέναις. H.

295. ὅρμον] ἐτυμολογεῖ τὸν ὅρμον παρὰ τὸ εἴρω τὸ συνάπτω, ἕρμος, εἱρμός τις ὤν. ὅρμος δέ ἐστιν ὁ κατὰ τοῦ τραχήλου περικείμενος χρυσοῦς κόσμος. B.Q.

11. Ὀρέστης] Apud Euripidem Or. 1437.

13. κεραύνιον] Hujus signi figuram alii aliam exhibent (v. Osann. Anecd. Rom. p. 161.), Isidorus Orig. 1, 20. cum hac explicatione "*Ceraunium ponitur quoties multi versus improbantur nec per singulos obelantur; κεραυνὸς enim fulmen dicitur.*" Anecd. Rom. Osanni p. 4. τὸ δὲ κεραύνιόν ἐστι μὲν τῶν σπανίως παρατιθεμένων, δηλοῖ δὲ καὶ αὐτὸ πολλὰς ζητήσεις πρὸς ταῖς προειρημέναις. ubi vid. Osann. p. 79. In scholiis Homericis nusquam alibi κεραύνιον memoratur: vocabulis εὐτελέσι διπλῇ apposita in Il. λ, 147.

26. καλῶς ἐπικεκαμμέναις] Hoc est etiam in V.

297. ἕρματα] δῶρα. V. τῶν ὤτων κόσμον, ὅ ἐστι τὰ ἐνώτια. MS. Barnes.

εἰς τὸ δύω ὑποστικτέον. δύο γὰρ ἕρματα. B.H.

θεράποντες] ἀντὶ τοῦ θεράπων, ὡς στήθεσι. προεῖπε γὰρ, κήρυκα ἕκαστος. οὐ μέντοι κωλύει ἕνα μὲν ἀπελθεῖν, πλείους δὲ εἶναι τοὺς κομίζοντας. B.Q.

298. τρίγληνα] τρίκορα κόσμια, ἐνώτια, τριόφθαλμα. τὸ δὲ μορόεντα ἀντὶ τοῦ μετὰ πολλοῦ μόρου καὶ κακοπαθείας κατεσκευασμένα. B.Q.V.

300. ἴσθμιον] ἰσθμὸς ὁ τράχηλος. ἴσθμιον οὖν περιτραχήλιον κόσμον περιπεπλεγμένον, οὐ μέντοι κοσμήματά τινα ἐκκρεμάμενα. B. Q. Καὶ ἄλλως. περιτραχήλιον, ἔνθεν καὶ παρίσθμια. διαφέρει δὲ τοῦ ὅρμου. τὸ μὲν γὰρ προσέχεται τῷ τραχήλῳ, ὁ δὲ ὅρμος κεχάλασται. ἰσθμὸς δὲ ὁ τράχηλος, ἀπὸ τοῦ εἰσιέναι δι' αὐτοῦ τὴν τροφήν. Q.V.

307. λαμπτῆρας] μετεώρους ἐσχάρας, ἢ τοὺς χυτρόποδας, ἐφ' ὧν ἕκαιον. B.Q.V.

308. ἐπὶ δὲ] γρ. περὶ δέ. H.

κάγκανα] τὰ ξηρὰ, τὰ πρὸς τὸ καίεσθαι ἐπιτήδεια. B.

309. αὖα πάλαι περίκηλα] περισσῶς εἰς τὸ καῦσαι εὔθετα, κήλεον γὰρ τὸ καυστικόν· "ἐν πυρὶ κηλέῳ" (Il. σ, 346.). βούλεται οὖν εἰπεῖν τὰ πάνυ ξηρά. B.Q.

310. καὶ δαῖδας κατέμισγον] κατέμισγον τοῖς ξύλοις, ἵνα ἐκ τῶν δᾳδῶν ἀνάπτωνται μᾶλλον. ἢ χωρὶς τῶν ξύλων τὰς ἐσχάρας ἢ ἀνὰ μέρος ἄλλοτε ἄλλη ὑπηρετοῦσα. B.Q. μετέμισγον] συνανεμίγνυον. V.

ἀμοιβηδὶς] ἐναλλὰξ, ποτὲ μὲν τὰς δᾷδας, ποτὲ δὲ τὰς ἐσχάρας, ἢ ἀνὰ μέρος. H.

315. ἠλάκατα νῦν ἀντὶ τῶν ἀτράκτων. H.

323. δίδου δ' ἄρ' ἀθύρματα θυμῷ] ἡ Μελανθὼ χλιδὰς καὶ παιδιὰς ἐλάμβανεν, ἀλλ' οὐ συνεχώρει αὐτῇ ἡ Πηνελόπη ἀθύρματα, ἀλλὰ τὰ πρὸς ἡδονὴν αὐτῆς ἔπραττε, δηλονότι νηπία ὑπάρχουσα. ἀθύρματα γάρ εἰσι τὰ τῶν νηπίων παίγνια. B.H.Q.

3. δύο γὰρ ἕρματα om. B.
7. τρίκορα (τρίκοκκα B.) κόσμια] τὰ κοροκόσμια conjecit Lobeck. Aglaoph. p. 1336.
10. ἰσθμὸς Buttm. pro ἴσθμιον.
13. τοῦ ὅρμου — προσέχεται correxi ex Eustath. p. 1847, 48. pro τῷ ὅρμῳ — προσέρχεται.
16. ἢ τοὺς] καὶ B.Q.
24. ἐσχάρας] δαῖδας B.
ἢ ἀνὰ μέρος — ὑ.] Hæc spectant ad ἀμοιβηδὶς.

328. χαλκήϊον ἐς δόμον ἐλθὼν] εἰς ἐργαστήριον χαλκέως, ὅ φησιν Ἡσίοδος "πὰρ δ' ἴθι χάλκειον θῶκον." B.H.Q. χαλκήϊον] χαλκέως οἶκον. V.

329. ἐς λέσχην] τόπον ἀθύρωτον, δημόσιον, ἔνθα συνιόντες λόγοις καὶ διηγήμασιν ἀλλήλους ἕτερπον. ὠνόμασται δὲ παρὰ τὸ λέχος, ἐπεὶ ἐκεῖ ἐκοιμῶντο οἱ πτωχοὶ παρὰ τὸ πῦρ. B.Q. δημόσιον οἴκημα, οἷον λέχην, παρὰ τὸ ἐν αὐτῷ τοὺς μὴ ἔχοντας οἰκήματα λέχη ποιεῖσθαι. ἢ παρὰ τὸ λεσχαίνειν ἐν αὐτῷ, ὅ ἐστιν ὁμιλεῖν. Q.V. δημόσια οἰκήματα. καὶ γὰρ ὅσοι οὐκ ἔχουσιν οἶκον ἐκεῖσε μένουσι. P.

λέχην] γρ. λέσχην. λέσχη παρὰ τὸ λέχος. H.

330. θαρσαλέως πολλοῖσιν] ἀθετοῦνται τρεῖς ὡς ἐκ τῶν ἑξῆς μετατιθέμενοι καὶ ὅτι ἐνθάδε μηδὲν ἐθρασύνθη. Q.

333. ἦ ἀλύεις] ἀλύεις νῦν ἀντὶ τοῦ χαίρεις, γαυριᾷς. ἔνιοι δὲ, ἐν ἄλῃ καὶ θορύβῳ τῆς διανοίας καθέστηκας, οἷον οὐκ ἔχεις σαυτὸν ὑπὸ πολλῆς χαρᾶς. Q.

334. μή τις τοι] λείπει, φοβοῦ. B.

335. κεκοπὼς διὰ τοῦ φ κεκοφώς. H.

336. φορύξας] μολύνας, αἱμόφυρτόν σε ποιήσας. B.Q.

338. ὄντως τάχα τῷ Τηλεμάχῳ λέγω οἷα ἀγορεύεις, ὦ κύον. H.

339. διαμελεῖστι] μεληδὸν, ἵνα σε ἐπὶ τόπῳ διατάμῃ μελεϊστί. H.

340. διεπτοίησε] διεσκόρπισε. B.

350. γέλων] γέλωτα, Ἀττικῶς. V.

γέλων δ' ἄρα τοῖσιν ἔτευξε] γρ. γέλων δ' ἑτάροισιν ἔτευχεν. H.

351. κελεύει] γρ. ἀνώγει. H.

353. οὐκ ἀθεεὶ] οὐ δίχα προνοίας θεοῦ. B. οὐκ ἄνευ θεοῦ. V.

354. ἔμπης] νῦν ἀντὶ τοῦ ὁμοίως. V.

ἔμπης μοι δοκέει] ὁμοίως μοι δοκεῖ εἶναι τὸ σέλας τῶν δαῖδων καὶ τῆς κεφαλῆς αὐτοῦ. B. ἀντὶ τοῦ ὁμοίως, ὡς τὸ "ἔμπης εἰς γαῖάν τε καὶ οὐρανόν." H.

σέλας] τὸ σέλασμα. H.

2. Ἡσίοδος] Op. 491.

πὰρ δ' ἴθι χάλκειον H. παρὰ δ' ἴθι χάλκειον Q. In B. est παρὰ δ' ἴθι χάλκειον οὐδόν, quod illatum ex Theog. 749.

11. θαρσαλέως] θαρσαλέος H. in textu et in lemmate.

14. σαυτὸν Buttm. pro αὐτόν.

16. φοβοῦ Buttm. pro φοβῇ.

27. ὁμοίως Barnes. (cujus codex ὅμοιον) pro ὅμως. Cf. schol. ε, 205. π, 143.

www.libtool.com.cn

355. ἐπεὶ οὔ οἱ ἐνὶ τρίχες οὐδ' ἠβαιαί] ἡ γὰρ Ἀθηνᾶ "ξανθὰς ἐκ κεφαλῆς ὤλεσε τρίχας" (Od. ν, 431.). Q.

357. ξεῖν'] τὸ ἐξῆς, ξεῖνε, εἴ σ' ἀνελοίμην ἀγροῦ ἐπ' ἐσχατιῆς, ἆρα ἐθελήσεις θητεύειν αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων, μισθὸς δέ τοι ἄρκιος ἔσται. B.Q.

358. ἄρκιος] ἱκανός. V.

359. αἱμασιάς τε] τοὺς ἐκ χαλίκων φραγμοὺς χωρίων. χάλικες δὲ οἱ τεθρυσμένοι καὶ μικροὶ λίθοι· καὶ ἔστιν ἡ εὐθεῖα ὁ χάλιξ τοῦ χάλικος. λέγων δὲ ἀντὶ τοῦ οἰκοδομῶν ἐκ πολλῶν καὶ λογάδων λίθων. B.H.Q.

αἱμασιάς] τοὺς περιβόλους τῶν τοίχων, τοὺς χάλικας. λέγων] οἰκοδομῶν ἐκ συλλέκτων λίθων. V.

361. ἀμφιέσαιμι] τὸ θέμα ἔω τὸ ἐνδύομαι, οὗ ὁ μέσος μέλλων πρῶτος ἕσομαι, καὶ ἐν πλεονασμῷ ἔσσομαι· ὁ εὐκτικὸς ἕσσαιμι. H.

367. ἦρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται] ζητοῦσι πῶς τὰς ἐαρινὰς ἡμέρας μακρὰς εἶπεν. ὅθεν ἠναγκάσθησάν τινες λέγειν ὅτι ἐαρινὴ τέθεικεν ἀντὶ τοῦ θερινή. ῥητέον δὲ ὅτι ἄλλο ἐστὶ τὸ πέλει καὶ ἄλλο τὸ πέλονται· τὸ μὲν γὰρ σημαίνει τὸ εἶναι, τὸ δὲ τὸ γίνεσθαι. ἐν δὲ τῷ ἔαρι μακραὶ γίνονται αἱ ἡμέραι, εἰς γένεσιν ἀγόμεναι τῶν μακρῶν. ἔστι δὲ ὅμοιον τῷ "ἥλιος ὃς διὰ γῆς πάντα βλαστάνει βροτοῖς φθίνει τε·" οὕτω γὰρ καὶ τὸ, μακραὶ γίνονται, κατὰ τὴν Ἀττικὴν συνήθειαν ἀκουστέον. Q. πέλονται] ἀντὶ τοῦ γίνονται, πρὸς τὴν παρουσίαν τοῦ θέρους. B.

368. ἐν ποίῃ] τῷ δημητριακῷ χόρτῳ. ἐν σιτοφόρῳ χωρίῳ. Q.

370. ποίη δὲ παρείη] μὴ ἐπιλείποι ὁ θερισμός. B.Q.

371. οἵπερ] γρ. ὥσπερ. H.

372. αἴθωνες] πυρροὶ ἢ μέλανες. B.Q.

373. ἥλικες ἰσοφόροι] ὁμήλικες ἴσως ἔλκοντες καὶ φέροντες. H.

9. λογάδων] μεγάλων H.

13. 14. In B. est, ἔω τὸ ἐνδύομαι, ὁ μέλλων ἕσω, ὁ μέσος μέλλων πρῶτος ἕσομαι. τὸ εὐκτικὸν ἕσαιμι, ἀμφιέσαιμι.

21. οὕτω—ἀκουστέον] Sententiam postremæ hujus scholii partis intellexerit, opinor, qui verba poetæ allata loco suo inspicere possit. BUTTM.

20. διὰ γῆς] δι' αὐγῆς Lobeck. ad Soph. Ajac. p. 90.

24. ἐν ποίῃ] Mire Etym. M. p. 344, 15. ἐν πύῃ· τινὲς ἐν χόρτῳ. Ἀρίσταρχος ἐν πυροῖς καὶ κριθῇ· πυὸν γὰρ τὸν πυρὸν δίχα τοῦ ρ, ἄλλοι δὲ ἐν καρπῷ. Nihil hujusmodi apud Eustath. p. 1851, 51. qui ex schol. veteribus (ἑρμηνεύοντες οἱ παλαιοί) solam illam memorat interpretationem ὁ δημητριακὸς καρπός.

www.libtool.com.cn

ἰσοφόροι] παροξυντονητέον τὸ ἰσοφόροι. κατὰ γὰρ ἐνέργειαν ἡ σύνθεσις. H.

374. τετράγυον] εἴη δὲ τὸ μέλλον ἀροῦσθαι χωρίον τέσσαρας ἔχον γύας. B.Q. τέσσαρας ἔχον γύας. γύον δὲ μέτρον γῆς. V.

375. τῷ κέ μ' ἴδοις] διὰ τοῦτο ἄν με ἴδοις, διὰ τὸ εἶναι βόας. διηνεκέα ἀντὶ τοῦ διηνεκῶς, ἀπὸ μιᾶς ὁρμῆς. B.H.

ὦλκα] παρὰ τὸ ἕλκεσθαι τὴν ἐπιμήκη αὔλακα. H.

διηνεκέα] τὴν ὑπὸ μιᾶς ὁρμῆς σχιζομένην. P.V.

380. οὐδ' ἄν μοι] οὐδ' ἂν φλυαροίης ὀνειδίζων μοι τὴν γαστέρα. B.H.

385. αἶψά κε τοι φυγόντι. οὕτως τὸ ἑξῆς. H.

τὰ θύρετρα φεύγων τις στείνοιτο] οὕτως ταρασσόμενος διὰ τῶν θυρῶν φύγῃς, ὡς δοκεῖν στενοχωρεῖσθαι. V. οὕτως ταραχθήσεσθαι ὡς δοκεῖν τὰς θύρας στενὰς εἶναι. B.Q.

385. στείνοιτο] στενὰ γένοιντο. H.

δι' ἐκ μεγάροιο, Ῥιανός. H.

καὶ ἐκ προθύροιο] γράφεται, δι' ἐκ προθύροιο. Q.

389. οἵ'] δι' οἷα. H.

394. σφέλας εἵλετο] τὸ ὑποπόδιον, ἢ τὸ βλῆμα τὸ σφῆλαι δυνάμενον. B.V.

395. καθέζετο] Τηλέμαχον γὰρ οὐχ ἱκανὸν ἐπίκουρον δοκεῖ εἶναι, καὶ προσκρούειν αὐτοῖς διασώζειν πειρώμενον τὸν ξένον. ὁ δὲ Ἀμφίνομος εἰ καὶ προσέκρουσε τοῖς λοιποῖς, ἐλυσιτέλει τῷ Ὀδυσσεῖ τῷ στασιάζειν πρὸς ἀλλήλους τοὺς μνηστῆρας. Q.

396. ὁ δ' ἄρ' οἰνοχόον βάλε χεῖρα] ὅμοιον τῷ, "ὅ δ' ἐρινεὸν ὀξέϊ χαλκῷ τάμνε νέους ὄρπηκας" (Il. φ, 38.). H.

397. πρόχοος] ὁ ξέστης. V.

402. μεθέηκεν] ἐποίησεν. V.

πᾶσαι, μετέθηκεν, ἀντὶ τοῦ ἐν ἡμῖν ἔθηκεν. H.

404. ψιλωτέον τὸ ἦδος. H.

406. καὶ οὐκέτι ἐν ἡσυχίᾳ φέρετε τὴν τρυφὴν, ἀλλ' ἀταξίαν ἐξάγεσθε. H.

δαιμόνιοι] θαυμάσιοι ἐπὶ κακῷ. H.

6. ἀπὸ] ὑπὸ B.
9. φλυαροίης H. φησὶ ἀροίης B.
21. ἐπίκουρον Maius. ἐπίκορον H.Q.
22. πειρώμενον Buttm. pro πειρόμενος.
33. θαυμάσιοι ἐπὶ κακῷ] Sic scholiasta iterum ad τ, 71.

www.libtool.com.cn

κεύθετε θυμῷ] ἀντὶ τοῦ, ὑπὸ θυμοῦ, ὡς "Ἀχιλῆϊ δαμασθείς" (Il. χ, 55.), ὅ ἐστιν ὑπὸ ἀλόγου κινήσεως. οὐ κρατεῖτε τῆς τροφῆς, ἀλλ' αὕτη μᾶλλον ὑμῶν ἐπικρατεῖ καὶ παρασκευάζει ὑμᾶς ἐξάγεσθαι εἰς ἀταξίας. B.H.Q.

407. βρωτὺν] προπερισπωμένως. H.

409. διώκω δ' οὔτιν' ἔγωγε] ἵνα παραμείνωσι καὶ ἀναιρεθῶσιν. V.

410. ἐνδακόντες, ἐμφύντες τοῖς χείλεσι δηκτικῶς. H.

418. ἐπαρξάσθω] ἀπὸ τοῦ πρώτου ἀρξάσθω. V. ἀρχὴν τοῦ διανέμειν ἡμῖν ποιήσασθε. H.

420. Ῥιανὸς δὲ, ἐνὶ μεγάροισιν ἔκηλον. H.

Τηλεμάχῳ μελέμεν] ὑπὸ τοῦ Τηλεμάχου ἐπιμελείας ἀξιοῦσθαι. H.

422. ἀδόντα] ἀρέσκοντα. V.

423. Μούλιος ἥρως] ὅτι πάντας ἥρωας ἔλεγον. B.

425. ἐπισταδόν] ἐπιστάμενος. V.

Τ.

ΥΠΟΘΕΣΙΣ.

Σὺν Τηλεμάχῳ ἔκθεσιν ποιεῖται τῶν ὅπλων Ὀδυσσεὺς, καὶ πρὸς Πηνελόπην ἐκ Κρήτης εἶναι ὑποκρίνεται. γίνεται δὲ αὐτοῦ δι' οὐλῆς ἀναγνωρισμὸς πρὸς Εὐρύκλειαν νίπτουσαν αὐτοῦ τοὺς πόδας. καὶ κατὰ παρέκβασιν ὁ ποιητὴς διηγεῖται ὡς ἐν Παρνασσῷ ὑπὸ συὸς ἐπλήγη κυνηγῶν. P.Q.V.

---

2. σὺν Ἀθήνῃ] ἤτοι παρούσῃ σιωπωμένως, ἢ προνοίᾳ τῆς θεοῦ, ὡς ἐπὶ τοῦ δουρίου ἵππου "τὸν Ἐπειὸς ἐποίησε σὺν Ἀθήνῃ" (Od. θ, 493.). H.Q.

4—12. οἱ ἀστερίσκοι, ὅτι ἀναγκαίως ἐνθάδε, ὅτε καὶ ἑώρακε τὰ ὅπλα. H.M.V. Vind. 133.

1. Ἀχιλῆϊ] ἀχιλλῆϊ B.H.Q.
2. τροφῆς] τρυφῆς H.
5. βρωτὺν] Sic H. in textu: sed scholiasta voluit βρῶτιν.
14. ἐπισταδόν] Conf. schol. ad ν, 54. π, 453. BUTTM.
16. Hæc ὑπόθεσις apud Eustath. p. 1852.
18. ἐκ Κ. ὑ.] φησὶ ψευδῶς ἐκ Κ. Q.
22. παρούσῃ] παρούσης H.
25. οἱ ἀστερίσκοι] Qui in Vind. appicti sunt versibus 4—12. (debebant 4—13.). Dixit de his asteriscis etiam Eustath. p. 1853, 10. ἔνθα (versus dicit 4—13.) καὶ κεῖται πρὸ ἑνὸς ἑκάστου στίχου ἀστερίσκος δίχα

www.libtool.com.cn

9. ἀλλὰ κἀκεῖνα ἠφάνισται. H.

13. πρόχειρος γὰρ ἀνὴρ πρὸς φόνον παρακειμένου σιδήρου. H.

16. μαῖ', ἄγε δή μοι ἔρυξον] ἵνα μὴ τοῖς μνηστῆρσι διαβάλωσι, ὥσπερ καὶ τὴν τοῦ ἱστοῦ ἀνάλυσιν. H.

18. καπνὸς ἀμέρδει] καπνὸς στερίσκει. H.

20. ἶξετ' ἀϋτμή] γρ. ἵκετ' ἀϋτμή. H.

22. ἐπιφροσύνας ἀνέλοιο] ἀντὶ τοῦ φρόνιμος γενήσῃ. Q.

24. ἀλλὰ τίς δή σοι. H.

25. προβλωσκέμεν] προέρχεσθαι. Q.

27. ξεῖνος ὅδ'] ὁ ξεῖνος ὅδε φῶς μοι ποιήσει. B.

ἄεργον ἀνέξομαι] Ἀττικὴ ἡ σύνταξίς ἐστιν ἀνέχομαί σε, αἰτιατικὴ ἀντὶ γενικῆς. B.Q.

28. χοίνικος ἅπτηται] τροφὰς λαμβάνει. τό τε μετροῦν καὶ τὸ μετρούμενον. V. ἀντὶ τοῦ δαπάνης, τροφῆς. ἅπαξ ἐνταῦθα ἡ φωνή. καὶ οὐ διὰ τοῦτο χωριστέον τῆς Ἰλιάδος τὴν Ὀδύσσειαν· κἀκεῖ γάρ εἰσι τοῦδε εὐτελέστερα ὀνόματα· "ὅλμον δ' ὡς ἔσσευε βαλών" (Il. λ, 147.)· "ἀμφ' ἀστραγάλοισι χολωθείς" (Il. ψ, 88.) πτύον. H.Q.

33. πάροιθε δὲ Παλλὰς Ἀθήνη] δῆλον οὖν ὅτι καὶ ἐν ἀρχῇ παρῆν. Q.

34. λύχνον] ἀπὸ τοῦ λύειν τὸ νύχος. λέγει δὲ τὴν δᾷδα κυρίως. τοῦ δὲ παρ' ἡμῖν καλουμένου λύχνου τοὺς ἥρωας χρωμένους ὁ ποιητὴς οὐκ εἰσάγει οὐδὲ Ἡσίοδος μέμνηται. H.Q.V. ὀρθῶς δὲ πεποίηκε τὴν Ἀθηνᾶν φρόνησιν οὖσαν καθαρὸν αὐτῷ παρέχειν τὸ φῶς. καὶ οἰκείως διὰ τὸν ἄσβεστον Ἀθήνησι λύχνον. V.

λείπει τὸ ὡς· ὡς χρύσεον λύχνον ἔχουσα, ὅ ἐστιν ἀμαυρὸν φῶς

ὀβελοῦ, ὡς ἐνταῦθα τῶν τοιούτων στίχων ἄριστα κειμένων καὶ οἷον ἀστέρος δίκην λαμπόντων, οὐ μὴν ἐκεῖ (π, 281. ubi vid. schol.) ὡς ἐπικρίνουσιν οἱ παλαιοί.

P. 669, 25. ἀναγκαίως ἐνθάδε] ἐνθάδε καλῶς M.V.

ὅτε καὶ] καὶ om. M.V.

P. 670, 7. In V. φρόνιμος γένῃ.

11. ἐστιν] ὥστε B.Q. Conf. Eustath. p. 1853, 59. et Apollon. Lex. s. v. ἀνέξομαι.

15. οὐ διὰ τοῦτο χωριστέον] Conf. schol. ad Il. λ, 147.

17. πτύον H. πτύοντ' Q. "πτύοντα plene legitur Il. ψ, 697. An voluit πτυόφιν? Il. ν, 588." BUTTM. λύχνον, quod infra legitur v. 34., memorat schol. Il. λ, 147. ὅλμον: ἡ διπλῆ δὲ ὅτι ἅπαξ ἐνταῦθα κέχρηται, καὶ ὅτι ἐν Ἰλιάδι εὐτελέσι κέχρηται λεξιδίοις, οὐ μόνον ἐν Ὀδυσσείᾳ χοίνικος καὶ λύχνου, πρὸς τοὺς χωρίζοντας.

21. ἀπὸ—λέγει δὲ om. V.

23. οὐδὲ scripsi pro καὶ οὔτε.

www.libtool.com.cn

ἐποίει ὡς ἀπὸ ἐκλάμψεως χρυσοῦ. δουλοπρεπὲς καὶ λίαν εὐτελὲς τὸ τῆς διανοίας. πολλῷ γὰρ ἦν ἄμεινον ἐπιδημησάσης τῆς δαίμονος αὐτόματον ἐπιλάμψαι πολυτελὲς φῶς. οὕτως οὖν ὁ λόγος ἐχέτω· ἡ δ' Ἀθηνᾶ φάος ἐποίει, ὡς χρύσεον λύχνον ἔχουσα. καὶ γὰρ οὐκ ἐχρῆν δαψιλὲς ἐπιλάμψαι τὸ φῶς πρὸς τὸ μὴ γνωσθῆναι κατὰ τὴν αὐλὴν τὴν μετακομιδὴν τῶν ὅπλων. εἴωθε δὲ ὁ ποιητὴς μὴ ἀποδοκιμάζειν τῶν ὀνομάτων τὰ εὐτελῆ, ὡς τὸ μυῖαν, κυάμους τε καὶ ἐρεβίνθους. B.Q.

ἔν τισι γρ. φόως. H.

37. μεσόδμαι] ὁ Ἀρίσταρχος τὰ μεσόστυλα. ἔνιοι δὲ τὰ μεταξὺ τῶν δοκῶν διαστήματα. B.H.Q. τὰ μεταξὺ τῶν κιόνων διαφράγματα, οἵτινες ἦσαν περὶ τοὺς τοίχους τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν. V.

38. ὅτι καὶ ἀρσενικῶς ὁ κίων. H.

43. αὕτη τοι δίκη ἐστὶ θεῶν] οὗτος ὁ τρόπος, τὸ ὡς βούλονται φαίνεσθαι. V. οὗτος ὁ τρόπος τῶν θεῶν, τὸ καταφωτίζειν τοὺς τόπους ἐν οἷς τυγχάνουσιν. Q.

46. αὐτὴ γὰρ ὀδυρομένη. ὁ γὰρ δέ ἀντὶ τοῦ γάρ. H.

ἀμφὶς ἕκαστα] ἀντὶ τοῦ χωρὶς, ὅ ἐστι κατὰ τάξιν. B.Q.

55. τῇ πάρα μὲν κλισίην] ταύτῃ τὸν κλισμὸν ἐν τῷ καταφωτιζομένῳ τόπῳ ἔθηκαν ἢ πλησίον τοῦ πυρός. B.Q. ὡς νῦν τὸν κλισμόν. H.

57. ὁ ποιήσας δηλονότι. H.

61. αἱ δ' ἀπὸ μὲν σῖτον] ἐμφαίνει τὴν ἀσωτίαν αὐτῶν τὸ πολύ. οὕτως καὶ ἐν ἀρχῇ " σῖτον δὲ δμῶαι παρενήνεον" (α, 147.). Q.

ᾔρεον] ἀφῃροῦντο. Ἀρίσταρχος Ἰακῶς, δασέως δὲ τὸ ἤρεον. H.

62. ἐκτατέον τὸ δέπα. H.

63. αὐτῶν] τῶν μνηστήρων. M.

64. λείπει τὸ εἰς φῶς εἶναι καὶ θερμαίνεσθαι. H.

67. δινεύων] δινούμενος, ἀναστρεφόμενος, ἵνα πέψῃς, ἐπεὶ μεθύεις. B.

71. δαιμονίη] θαυμασία ἐπὶ κακῷ. H.

72. ὅτι δὴ ῥυπόω] γρ. ὅτι οὐ λιπόω. M. ῥερύπωμαι, ῥύπου πεπλήρωμαι. M.

7. τὰ εὐτελῆ] Conf. schol. ad 28.
10. τὰ μεσόστυλα B.H. μεσόστηλοι Q.
32. θαυμασία ἐπὶ κακῷ] Conf. schol. ad σ, 406.

www.libtool.com.cn

λιπόω] ἤτοι τῇ πιμελῇ λελίπασμαι. H.M.Q.V.

73. ἐπείγει] γρ. ἱκάνει. M.

81. τῷ νῦν] λείπει εὐλαβοῦ. H.

83. μή πως] ἦν πως, ἡ γραφή. τὰ δὲ εἰκαιότερα μή πως. H. γρ. ἦν πως, ἐάν πως. M.

85. νόστιμος] ἀνακομισθῆναι δυνάμενος. H.

86. Ἀπόλλωνός γε ἕκητι] ἐπειδὴ τῶν ἀρρένων κουροτρόφος ὁ θεός. τοὺς γὰρ κτεῖναι δυναμένους καὶ σώζειν εἰκός. διὸ κουροθάλεια καλεῖται ἡ δάφνη, διὰ τὸ κουροτρόφον τοῦ Ἀπόλλωνος. Q. κουροτρόφος γὰρ ὁ θεός. H.

88. τηλίκος ἐστίν] τοιοῦτος τὴν ἡλικίαν ὡς ἀγνοεῖν τὰ γενόμενα. B.H.

92. ἔρδουσα μέγα ἔργον] τοῦτο μέγα ἔργον πράττουσα, τὸ ἀτιμάζειν τὸν ξένον. H.

σῇ κεφαλῇ ἀναμάξεις] πάντως ἑαυτῇ προστρίψῃ ἢ ἀναλήψει. V. σεαυτῷ προστρίψεις. πάντα γὰρ ἀκριβῶς ᾔδεις. B.H.

94. ὡς τὸν ξεῖνον] ὥστε οὐ διὰ φιλοξενίαν μόνον τῷ πτωχῷ συνεπόθει, ἀλλὰ καὶ προσθεραπεύουσα αὐτὸν ὑπὲρ τοῦ πυθέσθαι. Q.

95. πυκινῶς] ἀντὶ τοῦ πάνυ. V.

97. δίφρον] οὐ θρόνον, ἀλλὰ εὐτελὲς ὑποπόδιον. B.

108. νεικέοι] διαβάλοι ἐπὶ κακοξενίᾳ. B. κακολογοίη. V.

109. ὥστε τευ ἢ βασιλῆος] τὸ ἤ ἀντὶ τοῦ καί, ὡς εἶναι, ὥσπερ καὶ τινὸς βασιλέως κλέος ἀμώμου. H.Q.

111. εὐδικίας ἀνέχῃσι] δικαίας κρίσεις. τὸ δὲ ἀνέχῃσι, αὔξει, ἀνυψοῖ. B.

113. πάντα, οὐ μῆλα. Ῥιανὸς, ἄσπετα. H.

114. εὐηγεσίης] τῆς εὐδαιμονίας, ἢ τῆς εὐαρχίας, παρὰ τὸ εὖ ἡγεῖσθαι. κακῶς δ' οἱ σὺν τῷ ρ γράφοντες, εὐηργεσίης. H.Q.V.

1. ἤτοι om. H.M.
λελίπασμαι] οὐ λελίπασμαι H.

8. κουροθάλεια] Sic etiam ap. Eustath. p. 1856, 33. Apud Hesych. κορυθαλία. Vid. Steph. Thes. vol. 4. p. 1847. ed. Paris.

16. σεαυτῷ correxi pro σεαυτόν.

23. κλέος om. Q.

24. ἀνέχῃσι] Apollon. Lex. ἀνέχῃσι· ἡ μὲν λέξις ἐν τῇ Τ τῆς Ὀδυσσείας "εὐδικίας ἀνέχῃσι." ὁ δὲ Ἀρίσταρχος, εὐδικίας ἄνω ἔχῃ.

28. εὐηργεσίης] Sic omnes tres: non εὐεργ. ut est in Vulg. edd. recent. ex aliquot textus editionibus: vid. Alter. BUTTM. In textu M. est εὐεργεσίης. Eustath. p. 1857, 63. ἔοικε δὲ γράφειν τινὰς καὶ εὐηργεσίας· διὸ παρασημειοῦνται οἱ παλαιοὶ ὅτι καλῶς (corr. κακῶς) λέγουσιν οἱ σὺν τῷ ρ γράφοντες.

www.libtool.com.cn

ἀρετῶσι δὲ λαοί] ἐν ἀρετῇ ὦσι, καλῶς προύχοντος τοῦ ἡγεμόνος. B.Q. ἢ, ἐν ἀρετῇ καὶ εὐδαιμονίᾳ διάγωσιν. B.Q.V.

116. μηδ' ἐμὸν ἐξερέεινε γένος] διὸ, ἐπεὶ οὐδὲν κακὸν ἐποίησας, μηδ' ἐμὲ λύπει τὰ παρὰ προαίρεσίν με αἰτοῦσα λέγειν. B.Q.

Ἀρίσταρχος, μηδέ μοι. H.

121. μή τις μοι δμωῶν] δμωῶν σὺν τῷ ι καὶ περισπωμένως, θηλυκὸν γάρ ἐστι. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός. H.

122. δακρυπλώειν] σύνθετον τὸ δακρυπλώειν, οἷον δάκρυσι πληθύειν. τὸ δὲ πλώω πολλάκις τὸ πλήθειν σημαίνει. B.H.Q. δακρύων πληθύνειν. V.

124. ἤτοι μὲν ἐμὴν ἀρετὴν] καὶ τὴν ψυχικὴν ἀρετὴν καὶ τὴν σωματικὴν ἀπώλεσαν ἐξ οὗ ἀπῆλθεν Ὀδυσσεύς. Q.

127. τὸν ἐμὸν βίον ἀμφιπολεύοι] τοῦ ἐμοῦ βίου προνοοῖτο. B. Q.V.

130. ἠθέτηνται δ'. ἐν δὲ τοῖς πλείστοις οὐδὲ ἐφέροντο. H.

131. ὑλήεντι Ζακύνθῳ] ἀρσενικῷ θῆλυ ἐπήγαγεν, ὡς τὸ "κλυτὸς Ἱπποδάμεια." H.

135. οἳ δημιοεργοὶ ἔασιν] οἳ δημοσίαν μοι χρείαν ἀγγέλλουσι. B.Q.

136. Ὀδυσῆα ποθεῦσα] Ἀρίσταρχος, Ὀδυσῆ ποθέουσα. H.

πόσιν] γρ. φίλον. Vind. 5.

139. ὔφαινον] Ἀρίσταρχος, ὑφαίνειν. H.

144. τὸ ἑξῆς, ἐνταφήϊον Λαέρτῃ ἥρωϊ, ὅτε καί μιν μοῖρ' ὀλοὴ καθέλῃσι θανάτου. H. τὸ ἑξῆς εἰς τὸ ταφήϊον. H.

150. ἀλλύεσκον, διὰ τοῦ ν. H.

154. οὐκ ἀλεγούσας] φροντίδα μὴ ποιουμένας. H.

155. ὁμόκλησαν] ὁμοῦ πάντες ἐπέπληξαν. V.

160. οἷός τε] δυνατός. καὶ ὁ τε πλεονάζει. H.

5. μηδέ] μὴ δέ H.

8. πληθύειν H. πληθύνειν B.Q.

15. δ'—ἐφέροντο] λ'—ἔφερον H. Correxit Porsonus, qui hæc annotavit "Sed miram stragem edere voluere quicunque tot versus ejecere. Præterea non coit sententia triginta tantum versibus expulsis, sed duo præterea 160. 161. abigantur necesse est et legamus λβ'. Præterea 136. et 139. agnoscit Aristarchus. Quare puto Λ mutandum in Δ et suspectos tantum habendos 130—133."

20. Ὀδυσῆ] ὀδυσσῆα H. Legendum Ὀδυσῆ. Schol. cod. Townl. ad Il. δ, 384. Τυδῆ. ὡς ἀλλ' Ὀδυσσῆ ποθέουσα· καὶ (Il. ο, 339.), Μηκιστῆ δ' ἔλε Πολυδάμας. PORSON.

www.liverpool.com.cn

161. οἴκου κήδεσθαι] ᾧ οἴκῳ, ὅ ἐστιν οὐ τοῦ τυχόντος οἴκου δύνανται φροντίζειν. H.

ὄλβον] γρ. κῦδος. H.

ὀπάζει] παρέχει. V.

163. οὐ γὰρ ἀπὸ δρυός] ἐξ ὧν ἐφάτιζον, τουτέστιν ἐνόμιζον οἱ παλαιοὶ σφᾶς αὐτοὺς γεγονέναι. B. παλαιφάτου] παλαιὰ φατιζομένης. οἱ γὰρ παλαιοὶ ὑπελάμβανον τοὺς πρὸ ἑαυτῶν ἐκ δρυῶν καὶ πετρῶν γεγενῆσθαι, διὰ τὸ τὰς τικτούσας εἰς τὰ στελέχη καὶ σπήλαια ἐκτιθέναι τὰ παιδία. ἔστι δὲ ὁ λόγος, οὐ γὰρ δὴ ἐκείνων εἶ σύ. πιθανὸν δὲ τοὺς πάλαι ἀνθρώπους ἐν ταῖς ἐρημίαις τὰς μίξεις ποιεῖσθαι πλησίον πετρῶν καὶ δρυῶν. τινὲς δὲ, παλαιφάγου, ἐπειδὴ οἱ παλαιοὶ ἐβαλανοφάγουν· παρὸ καὶ φηγὸς ὡς φαγός τις οὖσα. H.Q.V.

172. Κρήτη τις γαῖ' ἐστὶ περίρρυτος] ὑδρηλή. V. ἀντὶ τοῦ περιρρεομένη θαλάσσῃ. οὐ γάρ ἐστι μέσον ὡς κέντρον τοιοῦτον ἐπὶ τῆς Ὠγυγίας "ὄθι τ' ὀμφαλός ἐστι θαλάσσης" (Od. α, 50.). B. H.Q.

174. πολλοὶ ἀπειρέσιοι] ἐπήνεγκε τῷ πολλοί τὸ ἀπειρέσιοι αὐξήσεως ἕνεκεν. V.

ἐννήκοντα πόληες] ἐν Ἰλιάδι (β, 649.) ἑκατόμπολιν τὴν Κρήτην λέγει, οὐχ ὡρισμένως ἑκατὸν πόλεις ἔχουσαν, ἀλλὰ ἀντὶ τοῦ πολλάς. ἔνιοι δέ φασιν Ἰδομενέα κατὰ τὸν ἐξ Ἰλίου ἀνάπλουν ἀπελαυνόμενον τῆς Κρήτης ὑπὸ Λεύκου, ὃν θετὸν παῖδα καταλελοίπει φύλακα τῆς βασιλείας, δέκα πόλεις πορθῆσαι. μετὰ δὲ τὰ Τρωϊκὰ αἱ δέκα πόλεις προσεκτίσθησαν. V. πῶς οὖν ἐν τῷ καταλόγῳ φησὶν "ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο;" ἤτοι οὖν ἐκεῖ τὸ ἑκατὸν ἀντὶ τοῦ πολλοῦ κεῖται, ὡς "τῆς ἑκατὸν θύσανοι" (Il. β, 448.)· ἢ

4. ὀπάζει et παρέχει correxi pro ὀπάζοι et παρέσχει (sic). Quod etiam παράσχοι esse posse monet Buttm., si legatur ὀπάζοι, quod in textu habent H.M., sed superscripto η in H.

6. φατιζομένης] φατιζόμενος Q. περὶ ἧς παλαιὰ μυθεύεται addit V.

7. ἑαυτῶν V. αὐτῶν H.Q.

8.. ἐκτιθέναι] ἐντιθέναι V.

9. εἶ σὺ] ἐσσι H.Q.

πιθανὸν Barnes. pro εἰς πιθανόν.

11. πετρῶν καὶ δρυῶν H. δρυῶν καὶ πετρῶν V. πετρῶν καὶ δένδρων Q.

παλαιφάγου] Sic Apio: vid. Apollon. Lex. s. h. v. et conf. Eust. p. 1859, 33. ubi male παλαιφάτου.

14. περιρρεομένῃ] περιραινομένῃ H.

22. Λεύκου, ὃν θετὸν ex Eustathio p. 1860, 57. restitutum pro λευκο*ὄντα.

καταλελοίπει] κατέλιπε Eustathius.

23. Τρωϊκὰ ex Eustathio correctum pro ἡρωϊκά.

26. πολλοῦ H. πολλῶν Q.

τῆς—θύσανοι] τοῖς—θυσάνοις Q.

www.libook.com.cn

ἐπεὶ μετὰ τὸν ἀποπλοῦν οἱ μετὰ Ἰδομενέως ἐπόρθησαν Λύκτον καὶ τὰς πέριξ ἃς ἔχων Λεῦκος ὁ Τάλω πόλεμον ἤρατο πρὸς αὐτούς. οὗτος θετὸς ὢν Ἰδομενέως παῖς, ἀφεθεὶς ὑπ' αὐτοῦ φύλαξ τῆς Κρήτης, ἐστασίασε πρὸς αὐτοὺς ἐπανελθόντας. μετὰ δὲ ταῦτα προσεκτίσθησαν αἱ δέκα. H.Q.

175. ἄλλη δ' ἄλλων γλῶσσα] προῳκονόμησεν, ἵνα μή τις αὐτὸν ἐλέγξῃ διὰ τὸ μὴ χρήσασθαι τῇ διαλέκτῳ αὐτῶν. V.

ἐν μὲν Ἀχαιοὶ] μετὰ τὰ Ἰλιακὰ Ταλθύβιος ἐκ Μυκηνῶν ἤγαγεν ἀποικίαν. V.

176. Ἐτεόκρητες] οἱ αὐτόχθονες Κρῆτες, ἢ οἱ ἰθαγενεῖς. .

Κύδωνες] οἱ αὐτόχθονες Κύδωνες, ἀπὸ Κύδωνος τοῦ Ἀπόλλωνος. B.

177. τριχάϊκες] τριχῇ διαιρεθέντες. οἱ μὲν γὰρ Εὔβοιαν κατῴκησαν, οἱ δὲ Πελοπόννησον, οἱ δὲ Κρήτην. Ἀπολλώνιος δὲ τοὺς πολεμικοὺς λέγει, ἀπὸ τοῦ αἴσσοντας καὶ ἐπισείοντας τὰς κόμας ἐν τῇ περικεφαλαίᾳ πολεμεῖν, ἴσον τῷ "κορυθάϊκι" (Il. χ, 132.). εἰσὶ δὲ οἳ τοὺς τριλόφους φασὶν, οἱ δὲ τοὺς ὀρχηστὰς ἀποδιδόασιν. V. τριχῇ διαιρεθέντες. οἱ μὲν γὰρ Πελοπόννησον, οἱ δὲ Εὔβοιαν, οἱ δὲ Κρήτην ᾤκησαν. οἱ δὲ τοὺς πολεμικοὺς, ἀπὸ τοῦ σείειν τὰς τρίχας τῆς κεφαλαίας. B.

δῖοι] οἱ εὐγενέστατοι. V.

178. τῇσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις, ἐνθάδε Μίνως ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστύς] μυθολογεῖται τὸν Εὐρώπης καὶ Διὸς Μίνωα ἐν Κρήτῃ οἰκοῦντα διὰ ἐνναετίας ἀφικνεῖσθαι πρὸς τὸν πατέρα παιδευθησόμενον, καὶ ὡς παρὰ σοφιστοῦ μανθάνειν τὰ δέοντα, οὐ μὴν ἀλλὰ καὶ τοῦ χρόνου τὰς ἀποδείξεις διδόναι ὧν μεμαθήκοι ἐν τῇ προτέρᾳ ἐνναετηρίδι παρὰ τοῦ Διός. ὅθεν καὶ τῶν πάντων αὐτῶν βασιλέα καταστῆσαι, τῇ τε γνώμῃ καὶ τῇ κρίσει διενεγκεῖν ὥστε ἐν Ἅιδου δικαστὴν γενέσθαι τῶν ἀδίκων ψυχῶν. ἡ δὲ ἱστορία παρὰ Πλάτωνι. V.

2. ἔχων] ἔσχον Q., omissis hoc loco reliquis Λεῦκος—αἱ δέκα. Idem vero verba οὗτος θετὸς ὢν—αἱ δέκα infra habet ad v. 183. cum lemmate ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων.

Λεῦκος Cramerus. λεῦ H.

Τάλω] ταλῳ H. Aut Τάλω scribendum erat, aut Ταλῶ, quam formam probat Joannes Alex. Τον. παραγγ. p. 8, 36. perispomenon ponens Ταλῶς, ὁ. Vitiose Λεύκων ὁ Τάλας in schol. Il. β, 649.

17. φασὶν addidi ex Eustathio p. 1861, 16.

30. Πλάτωνι] In Minoë p. 319. e. ad quem locum Boeckhius (in Plat.

www.libtool.com.cn

179. ὀαριστής] ὀαριστὴς, ὁμιλητής· οὐκ ἄρα μόνον ὀαρίζειν τὸ ἐρωτικῶς ὁμιλεῖν. τὸ δὲ ἑξῆς, ἔνθα τε Μίνως βασίλευεν ἐννέωρος Διὸς μεγάλου ὀαριστής. φασὶ γὰρ ὅτι ἐπὶ θ' ἔτη κεχωρισμένος ἀνθρώπων διέτριβεν ἐν τῇ Ἴδῃ καὶ συνετίθει νόμους, καὶ διεβεβαιοῦτο παρὰ τοῦ πατρὸς εἰληφέναι Διὸς πρὸς τὸ μὴ τοὺς ὑπηκόους ἀνυποτακτεῖν. οἱ δέ φασιν θ' ἔτη παιδευθέντα αὐτὸν ὑπὸ τοῦ Διὸς οὕτω βασιλεῦσαι θ' ἔτη. B.

ἐννέωρος] οἱ μὲν, ὅτι διὰ ἐννέα ἐτῶν τῷ πατρὶ συνιὼν Διὶ παρ' αὐτοῦ ἐμάνθανεν ἅτινα εἴη δίκαια, οἱ δὲ, ὅτι ἐναετὴς ὢν βασιλεύειν ἤρξατο· οἱ δὲ, ὅτι ἐπ' ἐννέα ἔτη ἐβασίλευσεν ὁμιλητὴς γενόμενος τοῦ Διός· οἱ δὲ ὅτι ἐπ' ἐννέα ἔτη παρὰ τῷ πατρὶ ἐπαιδεύθη. φασὶ δὲ ἕτεροι ὡς ταῖς τῶν βασιλέων γνώμαις οὐ ῥᾳδίως πείθονται οἱ ὑποτεταγμένοι. ἀνιόντα οὖν αὐτὸν εἰς τὴν Ἴδην διὰ ἐναετίας συνθεῖναι νόμους, καὶ φέροντα διαβεβαιοῦσθαι ὡς ὑπὸ τοῦ Διὸς εἶεν δεδομένοι. V.

183. ὄνομα κλυτὸν] ᾧ ἐκλυόμην καὶ ἐκαλούμην ὀνόματι. B.V. Αἴθων] ὄνομα κύριον. V.

188. στῆσε δ' ἐν Ἀμνισῷ] προσώρμισε. Κνωσσοῦ δὲ ἐπίνειον Ἀμνισός. ἔστι δὲ καὶ ποταμὸς Κρήτης. B. Ἀμνισὸς πόλις καὶ ποταμὸς Κρήτης. V.

Εἰλειθυίης] τῆς ἀφωρισμένης ταῖς τικτούσαις θεᾶς. V.

192. δεκάτῃ ἢ ἐνδεκάτῃ] ψευδόμενοι ἐπὰν λέγωσί τι μὴ εἰδέναι ἀληθῶς, πιθανώτεροι δοκοῦσιν εἶναι. V.

203. ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα] τινὲς βούλονται τὸ ἔλεγε σημαίνειν. ἄλλοι δὲ τὸ ἤϊσκε, τὸ εἴκαζεν, ὡμοίου. τὸ γὰρ ὅλον, πολλὰ ψευδῆ λέγων εἴκαζεν, ὥστε ὅμοια εἶναι ἀληθέσιν. ἀπὸ τοῦ εἴδω, ὁ μέλλων εἴσω. V.

205. ὡς δὲ χιὼν] ἁρμοδίως ἐχρήσατο τῇ πρὸς τὸ δάκρυον παραβολῇ. B.

206. καταχεύῃ] ἄγαν ἐκχέῃ. V.

211. ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἔστασαν] ὡς τόξα τεταμένα, ἐξ οὗ

Minoem p. 60.) nostro scholio ad vindicandam ibi veram lectionem recte usus est; nisi quod μεμαθήκοι apud scholiasten quoque in μεμαθήκει mutandi causa est nulla. Edd. ante Barnesium habent μεμαθήκοιεν lapsu manifesto. BUTTM.

8. Conf. Eustath. p. 1861, 29. et Apollon. Lex. s. v. ἐννέωροι.

16. In B. est ὀνομάκλυτος: ὡς ἐκλύομεν καὶ ἐκαλοῦμεν ὀνόματι.

25. ἔλεγε Barnes. pro ἔλεγον.

www.libtool.com.cn

νοεῖται τὸ ἀκαμπεῖς, σκληροὶ, μὴ ἐνδιδόντες τοῖς δάκρυσιν. B. κέρα] τόξα, ἵνα ᾖ, τεταμένους εἶχε τοὺς ὀφθαλμοὺς ὥσπερ τόξα. ἢ ἄλλως τὴν φύσιν τοῦ κέρατος παρέλαβεν. σκληρὸν γάρ. V.

213. τάρπη] ἐκορέσθη, ἐτέρφθη. ἢ ἐξετράπη τοῦ γόου. V.

222. μοι] γρ. οἱ. H.

224. ὥς μοι ἰνδάλλεται ἦτορ] ὥς μοι ἀναφέρει ἡ ψυχὴ, ὡς διαμέμνημαι. V.

225. πορφυρέην οὔλην] ἀντὶ τοῦ ὁλοπόρφυρον, ἢ ἁπαλήν. B. ἤτοι ὁλοπόρφυρον, ἢ τρυφεράν. V.

226. τοι] γρ. οἱ. H.

227. αὐλοῖσιν διδύμοισι] ἀνατάσεσι δυσὶ πρὸ τῆς χλαμύδος, ὅ ἐστιν εἰς τὸ ἔμπροσθεν μέρος τῆς χλαμύδος ἐπάνωθεν τῆς πόρπης ἐξημμένους. B. αὐλοῖσι] ῥάβδοις εὐθείαις, εἰς ἃς κατακλείονται αἱ περόναι. διδύμοισι] διπλαῖς, ἢ συμφυέσι περόναις. V.

229. λάων] ὁ μὲν Ἀρίσταρχος ἀπολαύων, ἀπολαυστικῶς ἔχων· ὁ δὲ Κράτης λάων φησὶν ἀντὶ τοῦ βλέπων. ὅθεν κατὰ στέρησιν ἀλαὸς ὁ τυφλός. οἱ δέ φασιν ἀφῃρῆσθαι τὸ υ, ἵνα ᾖ ὑλάων. ἢ ἀπελαύνων. V. ἀπολαυστικῶς ἐσθίων· ἢ ὑλάων κατ' ἔνδειαν τοῦ υ. ἢ βλέπων· ὅθεν καὶ ἀλαὸς ὁ τυφλὸς κατὰ στέρησιν. B.

230. ὡς οἱ χρύσεοι ὄντες] ἀπὸ χρυσοῦ κατεσκευασμένοι. ἔστι γὰρ καὶ ἐν ὑφάσμασιν ἀπὸ χρυσοῦ ποικίλματα. λείπει δὲ τὸ ὡς, ὡς χρύσεοι ὄντες. B.

λάε] οἱ μὲν ἐπεβλέπετο, οἱ δὲ ἀπολαυστικῶς ἤσθιεν. V. ἀπέλαυε. P.

232. σιγαλόεντα] ἁπαλόν. V.

233. λοπὸν] τὸ λέπος, ὃ λέγομεν τζίπαν. γίνεται δὲ ἀπὸ τοῦ

3. παρέλαβεν correxi pro περιέλαβεν. In cod. Barnes. ἐλάμβανε.

6. διαμέμνηαι Buttm. pro διαμέμνηται.

11. χλαμύδος] χλαμίδος B. utrobique. χλανίδος schol. Il. ξ, 513.

15. ὁ μὲν Ἀρίσταρχος—] Excerpsit hoc scholion Eustath. p. 1863, 42. Conf. etiam Apollon. Lex. s. v. λάων. Quae de cognato vocabulo λάρυγξ Orion Etym. p. 94. excerpsit ex Aristonico ἐν τῷ περὶ σημείων Ὀδυσσείας ex scholio integriore ad hunc versum sumta esse conjecit Lehrs. de Aristarch. p. 3.

23. ἀπέλαυε Buttm. pro ἀπέλαβε. Idem recte huc rettulit quod Barnesius ex codice Aloysiano ad v. 61. adscriptum protulit λάβε cum gl. ἀπόλαυσον (corr. ἀπέλαυσεν).

26. τζίπαν] De hoc vocabulo, quod etiam τζίπα et τζήπα scribitur, vid. Ducangium p. 1568.

www.libtool.com.cn

λέπω τὸ λεπίζω. B. λέπυρον. εἴρηται δὲ πρὸς τὸ ἰσχνὸν καὶ εὔτονον. παρὰ τὸν ὑμένα τοῦ λεπίσματος. V.

242. τερμιόεντα] οἱ μὲν τέλειον, συναποτερματιζόμενον ὅλῳ τῷ σώματι, ποδήρη, οἱ δὲ σύμμετρον, καὶ μήτε ἐνδέοντα μήτε ὑπέρμετρον. V. ποδήρη, ὡς "ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα" (Il. π, 803.). B.

246. γυρὸς ἐν ὤμοισι] περιφερεῖς καὶ στρογγύλους ἔχων τοὺς ὤμους. ἢ κυρτός. ὁ τρόπος εἰκονισμός. V. γυρὸς] οὐκ ἐπιμήκης, ἀλλὰ στρογγύλος. B.

255. αὐτὴ γὰρ] γρ. αὐτίκα γάρ. H.

260. οὐκ ὀνομαστήν] δυσώνυμον· οὐκ ὀνομαστὴν δὲ, ἣν οὐδὲ ὀνομάσαι καλόν. B.

263. ἐναίρεο] ἀντὶ τοῦ ἔναιρε, διάφθειρε. B.Q.

ἀναίρεο] κατάφθειραι. V.

272. γρ. πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε. H.

283. ἀλλ' ἄρα] τὸ ἐξῆς, ἀλλ' ἄρα οἱ τόγε κέρδιον εἵσατο θυμῷ, χρήματ' ἀγυρτάζειν, ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο. B.

285. ὣς περὶ κέρδεα πολλὰ] οὕτως περισσῶς συνετὰ οἶδεν ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους· ὡς τὸ "περὶ πάντων ἔμμεναι ἄλλων" (Il. α, 287.). B.

288. ἀποσπένδων] γρ. ἐπισπένδων. H.

294. ἕτερόν γ' ἔτι βόσκοι] ἐλλείπει γένος. V.

305. ἦ μὲν τῇ] τούτῳ τῷ τρόπῳ. V. οὕτως. Gl. H.

306. τοῦ δ' αὐτοῦ λυκάβαντος] λυκάβας ὁ ἐνιαυτὸς ἠτυμολογήθη μὲν παρά τινων ἐκ μεταφορᾶς τῶν λύκων· οὗτοι γὰρ διερχόμενοι ποταμὸν ἀλλήλων τὰς οὐρὰς δάκνουσιν· ὥσπερ καὶ ἐπὶ τοῦ χρόνου· ἡμέρα γὰρ ἔχεται τῆς ἡμέρας, καὶ ἑβδομὰς τῆς ἑβδομάδος, καὶ μὴν τοῦ μηνός. ἢ παρὰ τὸ λύγος τὸ σκότος, καὶ τὸ αὔω τὸ λάμπω· διὰ γὰρ τῶν νυχθημέρων συμπληροῦται ὁ ἐνιαυτός. ἄλλοι δὲ ἀπὸ τοῦ λύω καὶ τοῦ αὔω τὸ ξηραίνω, ἐπείπερ ὁ ἡλιακὸς δρόμος τὸ τοῦ χρόνου συμπερᾷ διάστημα. ἢ παρὰ τὸ λυγαίως βαίνειν ἤτοι κεκρυμμένως καὶ λεληθότως. B.

314. τεύξῃ] γρ. τεύξεαι. H.

1. λέπυρον pro λέπιον correctum ex Eustathio p. 1863, 48.

21. Sequitur in H. ad v. 257. (ubi τὸν δ' οὐχ ὑποδέξομαι legitur) γρ. τόν δ' (sic, quasi τόνδ' voluerit) ὑποδέξομαι. Non apparet quid voluerit.

24. λυκάβας] Conf. schol. ad ξ, 161.

www.libtool.com.cn

323. τοῦτον ἀνιάζῃ θυμοφθόρος] λείπει, ὅστις δὲ θυμοφθόρος, τοῦτον ἀνιάζῃ κάκιον αὐτῷ. θυμοφθόρος δὲ σημαίνει ἐφθαρμένος τὴν ψυχήν, φρενοπλήξ. οὐδὲν ἔργον ἀνίας ἀνύσει κατὰ τοῦ ξένου, ἐγὼ γὰρ αὐτοῦ προΐσταμαι. B.

326. ἐπίφρονα] γρ. ἐχέφρονα. H.M.

327. ἀϋσταλέος] αὐχμηρὸς, ἠμελημένος. B. αὐχμῶν. V.

328. δαινύῃ] εὐωχεῖσθαι μέλλεις. V.

ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσι] τοῦτο πρὸς τὴν εὐφημίαν εἴρηκεν, καὶ ἀναφέρεται ἐπὶ τὸ κλέος. ὀλιγοχρόνιοι δὲ ὑπάρχοντες οἱ ἄνθρωποι ὀφείλουσιν εὖ πράττειν ἐν τῷ βίῳ, καὶ φήμην ἀγαθὴν περὶ ἑαυτῶν ἀπολείπειν. V.

331. ἐφεψιόωνται] ἐπεγγελῶσι, ἐπιμωκῶνται. B.

ἐψιόωνται] καθάπτονται, καὶ λοιδοροῦνται· ἢ ἐπιχαίρουσι καὶ ἐφήδονται. V.

338. ἤχθεθ'] ἀντὶ τοῦ ἠλλοτριώθη. ἀρχὴν γὰρ ἔλαβον τοῦ δυστυχεῖν ἐξελθὼν τῆς πατρίδος. ἐμισήθη, φησὶν, ἀφ' οὗ κατέλιπον τὴν πατρίδα. ἐμίσησα τὰς χλαίνας, λοιπὸν ἐν ῥάκεσιν ἐθίσας. καὶ νῦν οὐ βούλομαι ἐν τοιούτῳ καθεύδειν, ἀλλὰ καθεύδω ἐν ῥάκει καὶ ἀγρυπνῶ ὡς πρότερον. B. τὸ ἄχος ἐμβάλλει. MS. Barnes.

343. ἐπιήρανα] προσηνῆ, ἀπὸ τοῦ ἐρᾶν. B.

344. οὐδὲ γυνὴ ποδὸς ἅψεται] διὰ τὸ ὑβριστικὸν τῶν γυναικῶν. V.

346. εἰ μή τις γρηῢς ἔστι] ἀθετοῦνται οἱ τρεῖς, πρῶτον μὲν ὅτι αἱρεῖται τὴν δυναμένην ἐπιγνῶναι· εἶτα δὴ καὶ γέλοιον τὸ ἥτις δὴ τέτληκε. τίς γὰρ φθονεῖ τῶν μὴ σπουδαίων; M.V.

351. φιλίων] ὡς ἡδίων, συγκριτικὸν, ἀντὶ τοῦ φίλτερος. B.

356. ὀλιγηπελέουσα] ὀλίγον ἔτι τοῦ πέλειν ἔχουσα. τούτου δὲ προκατάρχεται ὄνομα τὸ ὀλιγηπελία. B.

360. ἐν κακότητι] ἐν κακώσει καὶ ἐν ταλαιπωρίᾳ, ἀντὶ τοῦ ἐν κακοῖς. B.

20. ἐπιήρανα] τὰ ἐπικουρητικὰ τῆς ψυχῆς· οὕτως Ἀρίσταρχος, Apollon. Lex. s. v. ἐπίηρα, ubi ἐπίηρ' ἀνὰ θυμῷ scriptum, quod librorum quorundam vitium Eustath. notavit p. 1867, 29.

25. μὴ addidit Barnes. Quod verum mihi videtur judicium: ut hæc sit mens istorum criticorum, ridiculum esse quod Ulysses tam probam feminam sibi exposcat ad demandandum ei negotium minime invidendum. BUTTM.

www.libtool.com.cn

361. κατέσχεθε] κατέσχε. V.

363. ἀμήχανος] πρὸς ὃν, δηλονότι τὸν Δία, οὐκ ἔστι τινὰ μηχανὴν εὑρεῖν. ἐξ οὗ δεινὸς καὶ χαλεπός ἐστι. MS. Barnes.

370. ἐφεψιόωντο γυναῖκες] προσπαίζουσιν. ἴσως, φησὶ, καὶ αὐτὸς οὕτως ὑβρίζεται πλανώμενος, ὥσπερ σὺ νῦν ὑβρίζῃ παρὰ τῶν δουλίδων. B. ἐφεψιόωντο] καθήπτοντο, ἐλοιδοροῦντο. V.

378. κήδεσιν] ἀντὶ τοῦ, διὰ τὰ σὰ κήδεα. B.

386. λέβητα] νῦν τὴν λεκάνην. V.

393. οὐλὴν] Ἀττικοὶ τὸ θεραπευθὲν τραῦμα ὠτειλήν φασι· παρὰ δὲ Ὁμήρῳ ὠτειλὴ μὲν τὸ ἀθεράπευτον, οὐλὴ δὲ τὸ θεραπευθέν. B.

ἤλασε] τύψας ἐποίησε. B.

394. Παρνησσόνδε] εἰς τὸν Παρνασσόν. Παρνασσὸς δὲ ὄρος Δελφῶν. V.

396. κλεπτοσύνῃ θ' ὅρκῳ τε] οὐκ ἐπιορκῶν, ἀλλὰ σοφιζόμενος τοὺς ὅρκους, αὐτὸς μὲν εὔορκος διέμεινε, τοὺς δὲ ἐγκαλοῦντας διὰ τῆς ἐπινοίας ἔπεισθεν. B.

401. γρ. Ἀντίκλεια. H.

407. ὀδυσσάμενος] μισηθείς· ἢ ὀργὴν ἀγαγών· ἢ βλάψας. V.

409. ἐπώνυμον] φεράνυμον. V.

410. ἡβήσας] ἐν ἀκμῇ ἡλικίας γενόμενος. V.

432. Παρνησοῦ, τάχα δ' ἵκανον πτύχας ἠνεμοέσσας] Φιλωνὶς ἡ Δηϊόνος θυγάτηρ οἰκοῦσα τὸν Παρνασσὸν ἐν αὐτῷ παρελέχθη καὶ Ἀπόλλωνι καὶ Ἑρμῇ· εἶχε γὰρ τὸ κάλλος ἐράσμιον ἐπὶ τοσοῦτον ὥστε καὶ τοὺς θεοὺς ζηλοτυποῦντας κατὰ τὸ αὐτὸ θελῆσαι μίσγε-

1. κατέσχεθε] Sic ed. ant.; nam recentt. e textu edito κατέσχετο. Illa scriptura nondum quod sciam aliunde enotata est. BUTTM.

3. 4. Puto hoc scholium ad Il. τ, 273. pertinere. Nisi et hic forte ἀμήχανος ad Ζεύς referatur. Vid. infra ad v. 560. BARNES. Certe utriusque loci, et hujus et Il. τ, 273. eadem est ratio, significatio autem vocis ἀμήχανος, nisi cum scholiastis utrobique ad Jovem referas, diversa. BUTTM.

4. προσπαίζουσιν] Respicit scripturam ἐφεψιόωνται, quam Eustathius quoque, sed ut metro repugnantem, memorat. BUTTM.

19. ἐπώνυμον] Vid. ad η, 54. BUT.

21. Hoc scholion in V. positum in fine libri.

22. Δηϊόνος] Δαιδαλίωνος Barnesius collatis Hygino Fab. 200. et Ovidio Metam. 11, 295.

παρελέχθη] Verbum παρελέχθη pro παρέλεκτο vel παρελέξατο, et in sermone quidem prosario miror. BUT.

23. καὶ Ἑρμῇ (cujus dei nomen desiderari monuerat Muncker. ad Hygin. fab. 200.) addidit Buttm.

24. αὐτὸ Barnes. ex cod. pro αὐτῷ, quod alii in αὐτῇ, mutaverant.

www.libtool.com.cn

σθαι. εἶτα ἐκ μὲν τοῦ Ἀπόλλωνος γίνεται Φιλάμμων, ἀνὴρ σοφιστὴς, ὃς καὶ πρῶτος ἐδόκει χοροὺς συστήσασθαι παρθένων, ἐκ δὲ τοῦ Ἑρμοῦ Αὐτόλυκος, ὃς οἰκῶν τὸν Παρνασσὸν πλεῖστα κλέπτων ἐθησαύριζεν. εἶχε γὰρ ταύτην τὴν τέχνην παρὰ τοῦ πατρὸς, ὥστε τοὺς ἀνθρώπους ὅτε κλέπτοι τι λανθάνειν, καὶ τὰ θρέμματα τῆς λείας ἀλλοιοῦν εἰς ὃ θέλοι μορφῆς, ὥστε πλείστης αὐτὸν δεσπότην γενέσθαι λείας. ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ. V.

πτύχας] τὰς ἀποκλίσεις. V.

434. ἀκαλαρρείταο λέγει τοῦ ἀκαλῶς καὶ ἡσύχως ῥέοντος. B.

435. βῆσσαν] τὴν πρόβασιν τοῦ ὄρους. V.

439. λόχμῃ] ὑλώδει χωρίῳ, πρὸς κοίτην ἐπιτηδείῳ, ἀπὸ τοῦ λέξασθαι. B. συνδένδρῳ τόπῳ. V.

440. διάῃ] διέπνει. V.

443. ἤλιθα] γίνεται ἐκ τοῦ ἀλίζω, τὸ συναθροίζω. ἀθροίσεως ἐπίρρημα, σημαίνει τὸ ἀθρόως. τάττεται δὲ καὶ ἀντὶ τοῦ ματαίως. οἷον "ἐπέχραον ἤλιθα χερσίν" ἀντὶ τοῦ ματαίως. V.

450. γουνὸς ὕπερ] κατὰ τὴν ἀρχὴν τοῦ μηροῦ· λέγει γοῦν "πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι." διὰ δὲ τοῦ λικριφίς δηλοῖ ὅτι οὐ μέχρι τῶν ὀστέων καθίκετο. ἐτυμολογοῦσι δὲ τὸ λικριφίς οἷον λίαν κεκρυμμένως· οἱ δὲ, περὶ τὰ ἰκρία, ὅ ἐστι τὰ πλάγια ξύλα, καὶ τὸ λίαν. B.

457. ἐπαοιδῇ δ' αἷμα] Διοκλῆς ἐπαοιδὴν παρέδωκε τὴν παρηγορίαν. ἴσχαιμον γὰρ εἶναι ταύτην, ὅταν τὸ πνεῦμα τοῦ τετρωμένου προσεχὲς ᾖ, καὶ ὥσπερ προσηρτημένον τῷ παρηγοροῦντι, ὡς καὶ δι' ἑτέρων "ἀλλὰ σὲ μὲν θεράπων ποτιτέρπετο" (Il. ο, 401.). ἔσχεθον δὲ ἀντὶ τοῦ ἔπαυσαν. V. [ἰστέον ὅτι ἀρχαία ἐστὶν ἡ διὰ τῆς ἐπαοιδῆς θεραπεία, ὥστε καὶ Πίνδαρος ἐπὶ τοῦ Ἀσκληπιοῦ "μαλακαῖς ἐπαοιδαῖς," λέγει. MS. Barnes.]

471. χάρμα καὶ ἄλγος] Σοφοκλῆς "χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη. M.V.

16. ἐπέχραον] Apoll. Rh. 2, 283.

20. κεκρυμμένως] Ab κύπτειν, πλεονασμῷ τοῦ ρ, derivat Etym. M. p. 565, 55.

26. ἰστέον—] Ex Etym. M. p. 353, 39.

27. Πίνδαρος] Pyth. 3, 91.

29. Σοφοκλῆς] Sic etiam apud Eustath. p. 1872. extr. ὅθεν λαβὼν, φασὶ, Σοφοκλῆς ἔφη ὡς χάρμα ὑφέρπει δάκρυον ἐκκαλούμενον. Sed versus est Æschyli Agam. 270. unde χαρά μ' correxi pro χάρμ' (χάρμ̄ M.), quod non scholiastæ, sed librarii errore

www.libtool.com.cn

490. κτείνωμι] γρ. κτείναιμι. H.

494, ἕξω] ἐν ἑαυτῇ κατάσχω. V.

497. καταλέξω] ἑκάστην εἶπω. V.

498. νηλίτιδές εἰσι] παρὰ τὸ ἁλιτεῖν. Ἀρίσταρχος δὲ τοὺς πολυαμαρτήτους, τοῦ νη ἐπιτατικοῦ ὄντος. ἄμεινον δὲ τοὺς ἀναμαρτήτους. B. νηλιτεῖς] λίαν ἁμαρτωλαὶ ἄλλοι ἀπέδοσαν τοῦ νη ἐπιτατικοῦ ὄντος, ὡς ἐν τῷ "νήχυτος ὄρπηξ." ἄμεινον δὲ τὰς ἀναμαρτήτους, συγκειμένης τῆς λέξεως ἐκ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ἁλιταίνειν, ἵν' ᾖ, ὅσαι ἁμαρτάνουσαι καὶ ὅσαι οὔ. V.

510. κοῖτος] ἀντὶ τοῦ ὕπνος. V.

511. ὅν τινά γ' ὕπνος ἕλῃ] οἷον, ἐμὲ μὲν γὰρ οὐχ αἱρεῖ. V.

513. τέρπομ' ὀδυρομένη] ἀντὶ τοῦ τρέπομαι, τῶν λυπηρῶν ἀπάγομαι. B.

515. ἦλθεν] γράφεται, ἔλθῃ. B.

518. ὡς δ' ὅτε Πανδαρέου κούρη] διαφόρως τοῖς νεωτέροις, οὐχὶ Πανδίονος, εἰ μὴ ἄρα διώνυμος ἦν. Πανδάρεω τοῦ Μέροπος Μιλησίου τὸ γένος γίνονται ἐξ Ἁρμοθόης γ' θυγατέρες, Ἀηδών, Κλεοθήρα, Μερόπη. οὗτος κυνα κλέψας χρυσοῦν ἡφαιστότευκτον ἔμψυχον ἐκ Κρήτης ἐκ τοῦ Διὸς τεμένους παρακατέθετο Ταντάλῳ. Διὸς δὲ καὶ Ἑρμοῦ ἀπαιτοῦντος αὐτὸν ὤμοσεν ὁ Τάνταλος μὴ ἔχειν. ὅθεν ὁ Ζεὺς κατέστρεψεν αὐτῷ Σίπυλον τὸ ὄρος. τὸν μὲν οὖν κύνα Ζεὺς δι' Ἑρμοῦ ἀπέλαβεν ὁ δὲ Πανδάρης ἔφυγεν εἰς Ἀθήνας, κἀκεῖθεν εἰς Σικελίαν, ἔνθα διεφθάρη μετὰ τῆς γυναικός. συνέβη δὲ τῶν θυγατέρων αὐτοῦ Κλεοθήραν μὲν καὶ Μερόπην ὡραίας γενομένας ἁρπασθῆναι ὑπὸ ἀνέμων καὶ παραδοθῆναι Ἐρινύσιν ὑπηρετεῖν. Ἀηδὼν δὲ ἡ πρεσβυτάτη Ζήθῳ γαμηθεῖσα τῷ Διὸς μὲν παιδὶ, Ἀμφίονος δὲ ἀδελφῷ, Ἴτυλον ἔσχε παῖδα. φθονοῦσα δὲ τῇ ὁμονύμῳ τῇ Ἀμφίονος γυναικὶ

scriptum esse ostendit femininum ἐκκαλουμένη, cui neutrum substituit Eustathius.

1. κτείναιμι] Hoc in textu habet M.

6. νηλιτεῖς] Cf. schol. ad π, 317.

7. νήχυτος ὄρπηξ] Nicand. Ther. 33.

15. Πανδαρέου κούρη] Conf. schol. ad υ, 66.

18. οὗτος κύνα —] Eadem verbis similibus narrata leguntur apud Eustath. p. 1875, 33.

19. παρακατέθετο ex Eustathio scripsi pro παρεκατέθετο.

21. Σίπυλον τὸ ὄρος] Supra in schol. λ, 582. Jupiter dicitur Tantalum ἐξαρτῆσαι ἐπ' ὄρους ὑψηλοῦ —, καὶ τὴν Σίπυλον (urbem) ἀνατρέψαι. Conf. etiam schol. Pind. Ol. α, 97. BUTT.

25. Ἐρινύσιν scripsi pro Ἐρινύσιν, pariterque in scholio proximo.

www.libtool.com.cn

Νιόβῃ τῇ Ταντάλου, τινὲς δὲ Ἱπποµεδούσῃ, πλείονας ἐχούσῃ παῖδας, ὧν ὁ ἄριστος ἦν Ἀµαλεὺς, ἐπεβούλευε τούτῳ. καὶ τῶν ἀνεψιῶν συντρεφοµένων, ὅθεν καὶ συγκοιµᾶσθαι συνέβη, κρύφα παρῆνεσε τὴν ἐνδοτέρω κοίτην ἑλέσθαι, ὅπως εὐεπιβούλευτος αὐτῇ νύκτωρ ὁ Ἀµαλεὺς γένηται. καὶ τοῦ πάθους αὐτὴν σφόδρα καταλαβόντος ηὔξατο πᾶσι θεοῖς µεταστῆναι ἐξ ἀνθρώπων, καὶ ἠλλάγη εἰς τὸ ὁµώνυµον ὄρνεον. V.

Ἑρµοῦ καὶ Μερόπης γίνεται Πανδάρεως, οὗ καὶ Ἁρµοθόης Ἀηδὼν, Μερόπη, Κλεοθήρα. ἀλλ' ἡ µὲν Ἀηδὼν Ζήθῳ γαµηθεῖσα, καὶ κτείνασα τὸν Ἀµφίονος υἱὸν, φόβῳ τῆς γυναικὸς αὐτοῦ καὶ τὸν ἴδιον υἱὸν Ἴτυν ἔσφαξε, προλαβοῦσα τὴν ἐκ τῆς δυσµενοῦς κόλασιν. τινὲς δέ φασιν ὅτι Ἀηδὼν ζηλοτυποῦσα τὴν πολυπαιδίαν Νιόβης τῆς Ἀµφίονος γαµετῆς, διὰ τῆς αὐτῆς ἀνοίας ὥρµησε νύκτωρ µετὰ ξίφους ἀποκτεῖναι τὸν µείζονα τῶν Νιόβης παίδων, ἔλαθε δὲ τὸν ἴδιον φονεύσασα. διωκοµένη δὲ ὑπὸ Ζήθου διὰ τὸν φόνον τοῦ παιδὸς εἰς ὄρνεον µετεβλήθη τὴν ἀηδόνα. Μερόπη δὲ καὶ Κλεοθήρα ἀνετράφησαν ὑπὸ Ἀφροδίτης. ἐπεὶ δὲ Πανδάρεως δεξάµενος παρακαταθήκην ὑπὸ Ταντάλου τὸν ἐκ Κρήτης κλαπέντα κύνα χρυσοῦν ἔξαρνος ἐγένετο µὴ λαβεῖν, ἁρπασθεῖσαι ὑπὸ Ἁρπυιῶν Ἐρινύσι παρεδόθησαν. B.

τῇ Νυκτέως Ζεὺς µίγνυται. ἐξ ἧς Ζῆθος γίγνονται καὶ Ἀµφίων. οὗτοι τὰς Θήβας οἰκοῦσι πρῶτοι, καὶ καλοῦνται Διὸς κοῦροι λευκόπωλοι. γαµεῖ δὲ Ζῆθος µὲν Ἀηδόνα τὴν τὸν Πανδαρέου, τῶν δὲ γίνεται Ἴτυλος καὶ Νηΐς. Ἴτυλον δὲ ἡ µήτηρ Ἀηδὼν ἀποκτείνει διὰ νυκτὸς, δοκοῦσα εἶναι τὸν Ἀµφίονος παῖδα, ζηλοῦσα τὴν τοῦ προειρηµένου γυναῖκα, ὅτι ταύτῃ µὲν ἦσαν ἓξ παῖδες, αὐτῇ δὲ δύο. ἐφορµᾷ δὲ ταύτῃ ὁ Ζεὺς ποινήν· ἡ δὲ εὔχεται ὄρνις γενέσθαι, καὶ ποιεῖ αὐτὴν ὁ Ζεὺς ἀηδόνα. θρηνεῖ δὲ ἀεί ποτε τὸν Ἴτυλον, ὥς φησι Φερεκύδης. V.

χλωρηΐς] ἤτοι ἐν χλωροῖς φαινοµένη, ἢ διὰ τὸ χρῶµα. B. ἤτοι ἐν χλωροῖς ὄρνεον διατρίβουσα, ἢ ἅµα τοῖς χλωροῖς φαινοµένη. ἔαρος

2. Ἀµαλεύς pro Ἀµανεύς bis reposui Barnesio credens non apud Eust. solum sed in MS. Aloys. quoque sic scriptum esse. BUTTM.

5. γένηται] Lacunosam hanc narrationem supple e scholio sq. et ex Eustathio. BUTTM.

19. Alterum hoc de hac re in Vulgatis scholium cum illo de Autolyco ad 432. in edd. ant. rejectum est ad finem libri; simulque accidit ut post illius extrema verba (παρὰ Φερεκύδῃ), hujus lemma periret cum prima ipsius scholii voce, Ἀντιόπῃ.

20. λευκόπωλοι] Vid. Barnes. ad Eurip. Herc. F. 29. et Valck. ad Phœniss. 610. BUTTM.

25. ταύτῃ Buttm. pro αὐτῇ.

28. Excerpsit hæc Eustathius p. 1875, 39.

www.libtool.com.cn

γὰρ φαίνεται. ἢ διὰ τὸ χρῶμα. καὶ παρὰ Σιμωνίδῃ δὲ χλωραύχενες λέγονται αἱ ἀηδόνες. V.

521. πολυηχέα] πολλὰς μεταβολὰς ποιουμένην. V.

524. ὀρώρεται] κεκίνηται, τετάρακται, μεταβάλλεται ὡς ἡ τοῦ ὀρνέου φωνή. B.

530. χαλίφρων] κεχαλασμένας ἔχων τὰς φρένας, ἀσύνετος καὶ ἄφρων, ἐναντίος τῷ "πυκινὰ φρεσὶ μήδε' ἔχοντι" (353.). ἔνιοι δὲ χαλίφρονα τὸν ἀκρατόφρονα. χάλις γὰρ ὁ οἶνος ὁ ἀναχαλῶν τὰς φρένας. ἐναντίον οὖν τῷ "φρεσὶ γὰρ κέχρηται ἀγαθῇσι" (Od. γ, 266.). τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ "χαλιφροσύναι γ' ἔμ' ἔχουσι" (Od. π, 310.), δηλοῦται, οἷον ἀφροσύναι. V.

533. πάλιν ἐλθέμεν] ἀντὶ τοῦ ἐξελθεῖν. V.

534. γρ. ἀσχάλλων. H.

536. πυρὸν ἔδουσιν ἐξ ὕδατος] ἢ ἀντὶ τοῦ βεβρεγμένον ὕδατι σῖτον, ἢ ἐξιόντες τοῦ ὕδατος ἔνθα διατρίβουσιν. B.P. ἔξω καὶ χωρὶς ὕδατος. V.

547. ὕπαρ] τὸ μεθ' ἡμέραν φαινόμενον ἐνύπνιον. B.V.

553. παρὰ πύελον] παρὰ τὸ ἄγγος ἐν ᾧ αὐταῖς βάλε πιεῖν. ἐπὶ δὲ τῶν πλυνουσῶν τὰ ἱμάτια πλυνοὺς λέγει· ἀσαμίνθους δὲ τὰς πρὸς τὸ λουτρὸν, παρὰ τὸ μινύθειν τὴν ἄσιν. B.

560. ἀμήχανοι] πρὸς οὓς μηχανὴν εὑρεῖν οὐκ ἔστιν. V.

1. Σιμωνίδῃ] Fragmentum Simonidis plenius extat in Etym. M. v. Χλωρίς. Glossa Etymologi integra hæc est: Χλωρῆς (sic Gaisf. e cod. Dorv.) ἀηδών, ἀπὸ τοῦ χρώματος. ἢ διότι ἐν ἔαρι φαίνεται ὅτε πάντα τὰ (del. τὰ) χλωρά. οἱ δὲ, τὴν χλωροῖς ἡδομένην. κρεῖττον δὲ τὸ πρῶτον. τοιαύτην γὰρ τὴν πτέρωσιν ἔχει. καὶ Σιμωνίδης, εὖτ' ἀηδόνες πολυκώτιλοι χλωραύχενες ελαριναί.

3. πολυηχέα] Conf. schol. ad α, 1.

8. ἀκρατόφρονα Buttm. pro ἀκρατήφρονα, deleto quod post φρένας legebatur ἀκρατόφρονα, quæ est vitiosæ illius scripturæ correctio loco alieno illata.

χάλις] In ed. ant. χάμε: cui recentiores substituerunt χάλιξ. Ego cum Barnesio reposui χάλις; non quo mendosam credam formam in ξ de vino: vid. infra ad ψ, 1: sed quoniam sub eadem voce χαλίφρων in Etym. M. scriptum est χάλις, in Etymol. Gud. (p. 562.) χάμις, in nostro scholio χάμε. BUT.

10. χαλιφροσύναι] χαλιφρόσυνα V. et mox ἀφρόσυνα.

11. ἀφροσύναι] In ed. ant. huic voci subjicitur sine interpunctione ἀντὶ τοῦ ἐξελθεῖν. In recentioribus vero scholium seorsim proxime subjunctum: 533. ἐλθέμεν] ἀντὶ τοῦ ἐξελθεῖν: huic nostro autem scholio addita in fine vox πάλιν (ἀφρόσυνα πάλιν). Nimirum voluerunt: 533. πάλιν ἐλθέμεν] ἀντὶ τοῦ ἐξελθεῖν. BUT.

12. De hoc scholio vide præcedentem annotationem Buttmanni.

19. πλυνοὺς Buttm. pro πολυέλους.

www.libtool.com.cn

ἀκριτόμυθοι] ἄκριτα καὶ ἀδιάτακτα καὶ ἀδιάσταλτα λέγοντες. B.V.

562. δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων] οἱ μέν φασι κερατίνην πύλην συνεκδοχικῶς τοὺς ὀφθαλμούς· κερατοειδὴς γὰρ ὁ πρῶτος χιτὼν τοῦ ὀφθαλμοῦ· ἐλεφαντίνην δὲ τὸ στόμα, ἐλεφαντόχρωτες γὰρ οἱ ὀδόντες. ἐκ δὲ τούτων πιστότερα εἶναι τὰ ὁρώμενα τῶν λεγομένων. καὶ ὅτι διὰ μὲν κέρατος οἷόν τε καὶ ἰδεῖν, διὰ δὲ ἐλέφαντος οὔ. ἢ ὅσα ἄν τις ἐν πλησμονῇ τροφῆς ἴδοι, ταῦτα εἶναι ψευδῆ. κερατίνην μὲν τὴν ἀληθῆ παρὰ τὸ ἔτυμα κραίνειν καὶ τελεῖν, ἐλεφαντίνην δὲ τὴν ψευδῆ· ἐλεφήρασθαι γὰρ τὸ παραλογίσασθαι καὶ ἀπατῆσαι, ὡς "οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάβ' Ἀπόλλων" (Il. ψ, 388.). τινὲς δὲ οὕτως ἀπέδοσαν, κερατίνην μὲν τὴν ἀληθῆ καὶ διαφανῆ καὶ λάμπουσαν, ἐλεφαντίνην δὲ τὴν ψευδῆ καὶ ἀσαφῆ καὶ συγκεχυμένην. οἱ δέ φασι κέρασιν ἀπεικάζειν τοὺς οὐρανίους ὀνείρους, οἵτινες καὶ ἀληθεύουσι, τῷ τὰ κέρατα εἰς ὕψος ἀνατείνειν· ἐλέφαντι δὲ τοὺς χθονίους· τὰ γὰρ τῶν ἐλεφάντων κέρατα κάτω νεύει. διττοὺς δὲ οἶδεν ὀνείρους. ἐπὶ μὲν γὰρ τῶν οὐρανίων φησὶν "ἦ καὶ ὀνειροπόλον, καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν" (Il. α, 63.)· ἐπὶ δὲ τῶν χθονίων "πὰρ δ' ἴσαν ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην, ἠδὲ παρ' ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων" (Od. ω, 12.). V.

ἀμενηνῶν εἰσιν ὀνείρων] ἀνυποστάτων. φαντασίαι γάρ εἰσιν ὀνείρων. B.

563. αἱ μὲν γὰρ κεράεσσι] οἱ μὲν κέρατα τοὺς ὀφθαλμοὺς παρόσον κερατοειδὴς ὁ πρῶτος χιτὼν τοῦ ὀφθαλμοῦ, ἐλέφαντας δὲ τοὺς ὀδόντας. πιστότερα δὲ τῶν λεγομένων τὰ ὁρώμενα. οἱ δὲ κερατίνην μὲν τὴν ἀληθῆ παρὰ τὸ κραίνειν, ἐλεφαντίνην δὲ τὴν ψευδῆ παρὰ τὸ ἐλεφαίρεσθαι. ἢ παρόσον τὰ μὲν κέρατα ἀγχιστεύει ἡγεμονικωτάτῳ, οἱ δὲ ὀδόντες τῇ πλησμονῇ τῆς γαστρός. ἢ ὅτι οἱ μὲν ὀδόντες τῶν ἐλεφάντων κάτω νεύουσι, τὰ δὲ κέρατα ἄνω. ὁ δὲ ποιητὴς δύο γένη οἶδεν ὀνείρων, ὡς ὅταν λέγῃ "καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστι" καὶ πάλιν "ἠδὲ παρ' ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων." B.H.Q.

1. καὶ ἀδιάσταλτα om. B.

4. δὲ τὸ στόμα—ὀδόντες P., omissa reliqua scholii parte. δὲ στόμα καὶ ἔσωθεν ἐλεφαντοχρῶτα, τοὺς ὀδόντας V.

8. κερατίνην μὲν] Sic ed. ant. Recentt. post μέν inserunt γὰρ εἶναι, male: nam particulæ γάρ nullus hic locus, ubi nova potius explicatio, quin novum scholium incipit. Sed recte eædem editiones post ἀληθῆ inserunt παρά. Vid. schol. ad v. sq. BUTTM. Veterum interpretum opiniones exposuerunt Apollon. in Lexico s. v. δοιαί et Eustath. p. 1877.

22. παρ' ὅσον H. ἢ παρ' ὅσον B.Q.

www.libtool.com.cn

568. αἰνὸν ὄνειρον] τὸν θαυμαστὸν ἢ φοβερόν. B.

574. ἵστασχ' ἑξείης, δρυόχους ὡς] οὕτως ἵστησι τοὺς πελέκεις ὡς δρυόχους. δρύοχοι δὲ ξύλα εἰσὶν ὀρθὰ ὑποκάτω τῆς τρόπιδος, ἐφ' ὧν ἐπερείδεται, ἵνα μὴ αὐτὴν ἡ ψάμμος ἐσθίῃ. τινὲς δὲ δρυόχους φασὶ τὰ πρῶτα πηγνύμενα ξύλα εἰς ναυπηγίαν. τινὲς δὲ τοὺς πελέκεις τοὺς δρυΐνους στελεοὺς ἔχειν εἰωθότας. τὸ δὲ "ὡς δώδεκα" στοχαστικὸν, οἷον, ἴσως δώδεκα. B.H.Q. δρυόχους] κυρίως μὲν τοὺς πασσάλους, ἐφ' ὧν τὴν τρόπιν ἱστᾶσι τῶν καινουργουμένων πλοίων. ἐξῆς δὲ μάλιστα οὗτοι τίθενται ἕνεκα τοῦ ἴσην γενέσθαι τὴν ναῦν· νῦν δὲ, ἐφ' ὧν ἐτίθει τοὺς πελέκεας. V.

578. διοϊστεύσει] τοξεύσει, διαπεράσει. V. δηλονότι διαβιβάσει τοῦτο εἰς τὰς τρύπας τῶν πελέκεων. H.

διοϊστεύσῃ] γρ. διοϊστεύσει. H.

579. ἑποίμην] ἀκολουθήσαιμι. V.

585. πρὶν γάρ] τὸ ἑξῆς, πρὶν γὰρ τούτους νευρὴν ἐντανύσαι, πρότερον ἐλεύσεται Ὀδυσσεύς. B.

586. τόδε] γρ. ποτέ. H.

599. θέντων] ἀποθεμένων, δηλονότι τῶν θεραπαινῶν. V. ἢ θεραπαινίδων θέντων κατ' Ἀττικὴν, ἢ θέτων ἀντὶ τοῦ θέτωσαν. H.

Υ.

ΥΠΟΘΕΣΙΣ.

Βουληθεὶς ἀνελεῖν ὁ Ὀδυσσεὺς τὰς μιγνυμένας τοῖς μνηστῆρσι θεραπαίνας, ὕστερον δὲ μεταγνοὺς, διὰ τῶν ἑξῆς πρὸς Εὔμαιον καὶ Φιλοίτιον διαλέγεται· ἐν ᾧ καὶ τῶν μνηστήρων γίνεται ὁμιλία. P. Q.V.

---

6. δ. στελεοὺς (τελείους B.Q.) ἔχειν εἰωθότας] τοὺς ἔχοντας στειλείους δ. H.

8. ἱστᾶσι ex codice addidit Barnes.

18. θέντων] Barnesius huic scholio subnexuit diversam plane rationem Eustathii, qui ita: δέμνια θέτωσαν, αἱ δουλίδες δηλαδή. Est sane in explicatione scholiastæ aliquid σολοικοφανές: quod defendi tamen potest. Nam poeta forma masculina uti potuit, eo quod sexum non distincte cogitaret, quamvis revera feminarum hoc ministerium esset. BUTTM.

19. Ἀττικὴν] Sic, vel Ἀττικὸν, H. Videtur excidisse συνήθειαν, vel, σχῆμα, si Ἀττικὸν scribatur. κατ' Ἀττικὴν συνήθειαν est p. 667, 22.

22—24. Habet hoc Argumentum Eustathius p. 1880.

23. ὕστερον δὲ] καὶ Eustathius.

www.libtool.com.cn

1. εὐνάζετο] ἀνεπαύετο, ἑαυτῷ εὐνὴν παρεσκεύαζεν. V.

2. ἀδέψητον] ἀμάλακτον, ἀνέργαστον· δεδευμένον τὸ μεμαλαγμένον καὶ εἰργασμένον. B.H.Q.

16. ἀγαιομένου] ἄγαν θαυμάζοντος, ἢ χαλεπαίνοντος. Q.V. ἢ μισοῦντος ἢ φθονοῦντος. H. μεμφομένου ἢ ἐκπληττομένου. B.

17. ἠνίπαπε] ἐνουθέτησεν. V. ἠνίπατε] γρ. ἠνίπαπε. H.

22. καθαπτόμενος φίλον ἦτορ] καταστέλλων, τὴν ἀπότασιν ποιούμενος εἰς τὴν ψυχὴν ὥστε αὐτῆς ἅψασθαι τὰ λεγόμενα. V.

23. ἐν πείσῃ] ἀντὶ τοῦ κατὰ χώραν. οὐκέτι ἦν ἐν κινήσει, ἀλλ' ἐν δεσμοῖς ἔμενεν. ἢ ἐν οἷς ἐπέπειστο καὶ ἐγνώκει. οἷον, οὐκ ἔμελεν αὐτῷ. V. πεῖσα ἡ πειθὼ ἀπὸ τοῦ πείσω. B. ἐν πειθοῖ. H.

24. ἤτοι τὸ σῶμα αὐτοῦ ἐκυλίετο ἐν τῇ κλίνῃ. H.

27. αἰόλλῃ] ποικίλως στρέφῃ ἢ κινῇ. V. κινῇ παρὰ ἄελλαν, ὅθεν καὶ "πόδας αἰόλος ἵππος" (Il. τ, 404.), ὁ εὐκίνητος τοὺς πόδας· καὶ κορυθαίολος, ὃν ἀλλαχοῦ κορυθάϊκα (Il. χ, 132.) εἶπε· καὶ "αἰόλαι εὐλαί" (Il. χ, 509.)· καὶ αἰολοπώλους (Il. γ, 185.)· καὶ, "σφῆκες μέσον αἰόλαι" (Il. μ, 167.). B.H.Q.

49. εἴπερ πεντήκοντα λόχοι] ὁ λόχος ἐξ ἀνδρῶν λ'. οἱ ν' λόχοι ἐκ τοσούτων ἀνδρῶν συνάγουσι μίαν ἡμίσειαν χιλιάδα. B.

50. Ἄρης νῦν ὁ σίδηρος. V.

52. ἀνίη καὶ τὸ φυλάσσειν] ἀνία ἐστὶ καὶ τὸ δι' ὅλης τῆς νυκτὸς ἀγρυπνεῖν, ὥσπερ τινὰ φυλάσσοντα. B.V.

53. κακῶν δ' ὑποδύσεαι ἤδη] κάκωσιν ὑπεισέλθῃς. V. ἤδη] παραυτίκα. V.

κακῶν δ' ὑποδύσεαι] ἢ κοιμηθεὶς ἀπαλλαγήσῃ τῶν κακῶν, ἢ μὴ κοιμηθεὶς κακώσῃ. ὑπεισέλθῃς. ἀντὶ τοῦ κακωθήσῃ, βλαβήσῃ. B.Q.

63. ἢ καὶ ἔπειτα] νῦν ἀντὶ τοῦ παραυτίκα. V.

64. ἠερόεντα κέλευθον] τὸν ἀέρα· ἢ τὸν Ἅιδην. V.

65. ἀψορρόου ὠκεανοῖο] τοῦ κύκλῳ περινοστοῦντος τὴν γῆν καὶ ἂψ πάλιν ἐπὶ τὰ αὐτὰ ἀφικνουμένου. ὁποῖόν ἐστι καὶ τὸ "ἂψ περιτελλομένου ἔτεος" (Od. λ, 295.). B.Q.V.

2. 3. Sic H. In B.Q. ἀνέργαστον, ἀμάλακτον, δεδευμένου τὸ μεμακασμένον καὶ ἠργασμένον.

2. δεδευμένον] δεδεψημένον Buttm.

16. εὐλαί] εὐναί B.H.Q. αἰολοπώλους H. αἰολοπώλα B.Q.

22. ὥσπερ τινὰ φ. om. V.

23. κάκωσιν ὑπεισέλθῃς] κακώσεως ὑπεξέλθῃς Barnes.

25. ἢ post κοιμηθεὶς lectum delevit Buttm.

30. ὁποῖον—ἔτεος om. V.

www.libtool.com.cn

66. ὡς δ' ὅτε Πανδάρεου κούρας] τὸ δέ περιττόν. H. Πανδάρεως ὁ Μέροπος καὶ νύμφης ὀρείας παῖς, Μιλήσιος τὸ γένος, γήμας Ἀρμαθόην τὴν Ἀμφιδάμαντος ἔσχε παῖδας τρεῖς, Ἀηδόνα καὶ Κλεοθήραν καὶ Μερόπην, ἃς τρέφουσιν Ἀφροδίτη καὶ Ἀθηνᾶ καὶ Ἥρα. Πανδάρεως δὲ παραγενόμενος εἰς Κρήτην κλέπτει τὸν τοῦ Διὸς κύνα. καὶ αὐτὸν οὐκ ἤνεγκεν εἰς Μίλητον δείσας τὸν Δία, παρὰ Ταντάλῳ δὲ εἰς Φρυγίαν κατατίθεται φάμενος ἄγειν ἐκ Φοινίκης τοῦτον. ὁ δὲ Τάνταλος δεξάμενος ἐφύλασσεν. ἔπειτα κελεύσαντος τοῦ Διὸς ἐρευνᾶν τὸν κύνα παραγίνεται πρὸς τὸν Τάνταλον ὁ Ἑρμῆς. ὁ δὲ ἀρνεῖται καὶ ὄμνυσι τὸν Δία καὶ τοὺς ἄλλους θεοὺς μὴ συνειδέναι τι περὶ τοῦ κυνός. ὁ δὲ Ἑρμῆς εὑρίσκει αὐτὸν παρ' αὐτῷ. ὡς δὲ ὁ Πανδάρεως ἐπύθετο, φεύγει ἐκ τῆς πατρίδος σὺν τῇ γυναικὶ Ἀρμαθόῃ καὶ ταῖς θυγατράσιν ἀγάμοις οὔσαις Κλεοθήρᾳ τε καὶ Ἀηδόνι καὶ Μερόπῃ εἰς Ἀθήνας, ἐκ δὲ Ἀθηνῶν εἰς Σικελίαν. ὁ δὲ Ζεὺς αὐτὸν ἰδὼν κτείνει σὺν τῇ γυναικὶ, ταῖς δὲ θυγατράσιν αὐτοῦ τὰς Ἁρπυίας ἐφορμᾷ. αἱ δὲ ἀνελόμεναι Ἐρινύσιν αὐτὰς διδόασι δουλεύειν. οὐ μὴν ἀλλὰ καὶ νόσον αὐταῖς ἐμβάλλει Ζεύς. καλεῖται δὲ αὖτη κύων. Q.V.

κούρας ἀνέλοντο θύελλαι] καὶ τοῦτο συναπτέον τοῖς ἐπάνω, ἢ ἔπειτά μ' ἀναρπάξασα θύελλα οἴχοιτο προφέρουσα, ὡς ὅτε Πανδάρεω κούρας. λέγει δὲ τὰς παρθένους Μερόπην καὶ Κλεοθήραν. ἡ γὰρ φονεύσασα τὸν Ἴτυν ἐγαμήθη Ζήθῳ. B.Q.

67. αἱ δὲ λίποντο ὀρφαναὶ] προέθηκε τὸ κεφάλαιον· ὕστερον γὰρ συνέβη. καὶ γὰρ οὐκ ὀρφανὰς αὐτὰς ἀνεθρέψατο Ἀφροδίτη, ἀλλὰ πρὸ τῆς ὀρφανίας. τὸ δὲ ἑξῆς τοῦ λόγου, τῇσι τοκῆας μὲν φθῖσαν θεοί. Ἀφροδίτη δὲ πρὸς τὸν Δία αἰτήσουσα αὐταῖς γάμον παρεγένετο. ἐν δὲ τούτῳ Ἁρπυιαι αὐτὰς ἀνηρείψαντο. δι' ἔλεον δὲ αὐτὰς αἱ θεαὶ ἀνεθρέψαντο ἀγνοοῦσαι τὸ πεπρωμένον. μόνος γὰρ ὁ Ζεὺς "οἶδε μοῖράν τ' ἀμμορίην τε" (76.). H.Q.V.

71. μῆκος δ' ἔπορε] κουροτρόφος γὰρ ἡ θεὸς ὁμοίως τῷ ἀδελφῷ Ἀπόλλωνι. V.

74. τέλος θαλεροῖο γάμοιο] περιφραστικῶς τὸν γάμον. B.Q.

1. In V. hoc scholium ad rhapsodiæ finem rejectum pro lemmate habet versus integros 66—71, cum nulla varietate præter δ' ἐλίποντο pro δὲ λ. et meris aliquot mendis. Narrationem scholii confer cum scholio ad τ, 518. BUTTM.

2. ὀρείας] ὀρειὰς V.: unde Buttm. ὀρειάδος.

3. ἔσχε Q. ἴσχει V.

22. προέθηκε H. προσέθηκε Q.V.

24. τὸ δὲ ἑξῆς τοῦ λόγου V. οὕτω συντακτέον H.Q.

τοκῆας] γονῆας Q.

www.libtool.com.cn

76. μοῖραν] εὐμοιρίαν, εὐδαιμονίαν. ἀμμορίην] κακομμορίην, ὅ ἐστι κακομοιρίαν. V. εὐμοιρίαν καὶ κακομοιρίαν. B.

80. ἠέ μ' ἐϋπλόκαμος βάλοι] τὸ ἐξῆς, ἵνα καὶ γαῖαν ὑπὸ στυγερὴν ἀφικοίμην θεασαμένη Ὀδυσσέα. B.

82. ἀνδρὸς ἐϋφραίνοιμι νόημα] μηδὲ ἄλλῳ τινὶ συμμιγείην ἀνδρί. Q.

85. ἐπέλησεν] ἐπιλαθεῖν ἐποίησεν. H.

97. θύραζε φέρων] ἐνταῦθα οἱ μνηστῆρες. V.

104. ὑψόθεν ἐκ νεφέων] πῶς οὖν φησιν ἡ ἀλετρὶς "οὐδέποτε νέφος ἐστίν;" νῦν τὸν τόπον ἔφη Ἀττικῶς ἐν ᾧ εἴωθε συνίστασθαι τὰ νέφη. ἢ τῶν χρυσῶν νεφῶν, ἃ ἦν ἐν οὐρανῷ· "ἀλλ' ὅ γὰρ ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσιν" (Il. ν, 523.). V. ἐκ τοῦ τόπου ὅπου εἰώθασιν εἶναι τὰ νέφη. ἐπιφέρει γὰρ ἡ ἀλετρὶς "οὐδέ ποθι νέφος ἐστίν." B.Q.

106. εἵατο, ψιλῶς, ἵν' ᾖ, ἦσαν. V.

107. ἐπερρώοντο] ἐρρωμένως ἐνήργουν. V. ἐρρωμένως ἐκινοῦντο. B.

108. ἄλφιτα] τὰ ἀπὸ κριθῆς ἄλευρα. B. ἀλείατα δὲ τὰ ἀπὸ πυρῶν ἄλευρα. B.V.

113. ἐβρόντησας ἀπ' οὐρανοῦ] οὕτως ἡ ἀλετρίς φησι κατὰ τὴν κοινὴν ὑπόνοιαν. ἢ ὅτι τὰ ὑψηλὰ τοῦ Ὀλύμπου ἐπουράνιά ἐστι. V.

130. ἀκηδής] ἀτημέλητος. V.

131. τοιαύτη γὰρ ἐμοὶ μήτηρ] οὐ διαβάλλει τὴν μητέρα, ἀλλὰ λέγει ὅτι τοὺς μὲν πτωχοὺς εὐαγγελιζομένους περὶ Ὀδυσσέως τιμᾷ καίπερ ψευδομένους, τοὺς δὲ ἀγαθοὺς διὰ τὸ μὴ ψεύδεσθαι ἀτιμάζει. Q.

132. ἐμπλήγδην] ἐμπληκτικῶς. ἢ ἀκρίτως καὶ ὡς ἂν τύχῃ ἐμπελάζουσα τοῖς πράγμασι. V.

6. ἐπιλαθεῖν correxi pro ἐπιλαθέσθαι.

11. ἐκ τοῦ —] Hoc scholion in B.Q. adscriptum ad v. 114.

14. ψιλῶς] Secundum Aristarchum: nam Aristophanes et Herodianus εἵατο probabant. Vid. schol. Il. ο, 10. ω, 84. Alii ἧατο hoc verbum scribebant, quod per ἐκάθητο explicat Hesychius.

16. Hæc in B. adscripta ad v. 119.

17. ἀλείατα] ἀλείφατα B. et V. in ed. vet.

ἀπὸ] ἐκ τῶν V.

25. ἐκπλήγδην] Sic ed. ant. Sed apparet in utroque scholio ἐμπλήγδην, ἐμπληκτικῶς et -οί scribendum esse. BUTTM. Recepi Buttmanni emendationes pro ἐκπλήγδην et ἐκπληκτικῶς. Eustathius p. 1886, 18. ἐμπλήγδην κατὰ τοὺς παλαιοὺς τὸ ἀκρίτως παρὰ τὸ ἐμπελάζειν ἢ ἐμπλήσειν (corr. ἐμπλήσσειν) ἤτοι ἐμπίπτειν ὅπως ἂν καὶ τύχοι τοῖς πράγμασιν.

www.libpod.com.cy

ἐμπλήγδην] παραφρόνως. ὅθεν καὶ ἐμπληκτικοὶ οἱ παράφρονες. Q. ὡς ἔτυχεν ἐμπελάζουσα τοῖς πράγμασι. B.H.

134. Εὐρύκλεια] γρ. Πηνελόπεια. H.

137. σίτου δ' οὐκέτ' ἔφη] κατὰ τὸ σιωπώμενον ἐκδεκτέον τοῦτο. V.

149. κορήσατε] σαρώσατε. εἴρηται δὲ κατ' ἀντίφρασιν, ὡς καὶ τὸ σάρον ὄφελμα καλεῖται οὐκ αἶξόν τι, ἀλλὰ τοὐναντίον παραιρούμενον καὶ μειοῦν. V.

152. ἀμφιμάσασθε] ἀπομάξατε. V.

καθήρατε δὲ κρητῆρας] καθάρατε. ἔνθεν κόρημα. τοιγαροῦν κόρη ἡ καθαρά· καὶ ὀφθαλμοῦ κόρη τὸ διειδέστατον. τὸ δὲ ἐκκορηθείης ἐκβληθείης ὡς κάθαρμα. καθήρατε καὶ καθάρατε. B.Q. καθάρατε καὶ Ἰακῶς καθήρατε. H.

153. καὶ δέπα ἀμφικύπελλα τετυγμένα] καὶ τὰ ποτήρια γεγενημένα περιφερῆ. B.

155. οὐ γὰρ δὴ μνηστῆρες ἀπέσσονται μεγάροιο, ἀλλὰ μάλ' ἦρι νέονται, ἐπεὶ καὶ πᾶσιν ἑορτή] τὴν νεομηνίαν πάντων τῶν θεῶν νομίζουσιν εἶναι. ταύτην γὰρ οἱ πρόγονοι τοῖς θεοῖς ἀνέθεσαν διὰ τὸ πρώτην αὐτὴν εἶναι τοῦ μηνὸς, πάσας τε τὰς ἀρχὰς προσῆψαν αὐτοῖς, ὀρθῶς ποιοῦντες. τοὺς γὰρ ἁπάντων ἄρχοντας τοῖς ὁμοίοις χρὴ γεραίρειν. καὶ τῶν σίτων τὰς ἀπαρχὰς πᾶσι τοῖς θεοῖς ἀπονέμομεν. τοῦ δ' Ἀπόλλωνος ταύτην εἶναι νομίζειν τὴν ἡμέραν εἰκότως τὸ πρῶτον φῶς τῷ αἰτιωτάτῳ τοῦ πυρὸς, ἐκάλουν τε αὐτὸν καὶ Νεομήνιον. ἡ ἱστορία παρὰ Φιλοχόρῳ. V.

ἐπεὶ καὶ πᾶσιν ἑορτή] ταύτην τὴν ἡμέραν ἑορτὴν καὶ νουμηνίαν παρατίθεται Ἀπόλλωνος ἱερὰν, ἵνα τῶν ἀνδρῶν περὶ τὴν ἑορτὴν καταγινομένων εὔκαιρον ἔχῃ τὸ ἐπιτίθεσθαι μνηστῆρσι. V.

1. ἐμπληκτικοὶ Buttm. pro ἐκπληκτικοί.

8. ἀπομάξατε Barnes. ex codice pro ἀπομάζετε.

10. τὸ δὲ correxi pro τόγε.

15. μάλ' ἦρι νέονται] μάλα εἰρηναῖόν σε V. Totum scholion V. habet in fine libri.

19. τοῖς ὁμοίοις Barnes. pro τοὺς ὁμοίους.

21. εἰκότως] Barnes. pro εἰκότως reposuit εἰκὸς, ὡς. Sibelis melius proposuit νομίζομεν pro νομίζειν. Mihi tamen verius videtur ἐνόμιζον—ἐκάλουν τε. Dativus τῷ αἰτιωτάτῳ negligentiæ exscriptoris videtur tribuendus, participium ἀναθέντες vel simile mente concipientis. Ad rem conf. infra schol. φ, 258. quod pariter ex Philochoro excerptum esse observat Hemst. ad scholium huc itidem faciens in Aristoph. Plut. 1127. Cognomen Apollinis Neomenii nondum usquam hinc inveni enotatum. BUTTM.

www.libtool.com.cn

160. ἐκ δ' ἦλθον δρηστῆρες ἀγήνορες] γρ. ἐς. H.

163. τρεῖς σιάλους] διὰ τὴν ἑορτὴν τρεῖς ἄγει. ἕνα γὰρ καθ' ἡμέραν εἰώθει. σιάλους δὲ τοὺς εὐτραφεῖς καὶ ἡμέρους, χλούνας δὲ τοὺς ἀγρίους. B.

166. ξεῖν' ἦ ἄρ τι] δύο μέρη λόγου τὸ ἄρ καὶ τὸ τί. B.

170. ἀεικέα] γρ. ἀτάσθαλα. H.

171. οὐδ' αἰδοῦς μοῖραν ἔχουσι] οὐδὲ ὀλίγον αἰδοῦνται. V.

182. εἰσὶν δὲ καὶ ἄλλοθι] οὐ διὰ παντός. ἀλλ' ὁρᾷ τὴν ἑορτὴν τοῦ Ἀπόλλωνος. V.

εἰσὶν δὲ καὶ ἄλλαι] γρ. καὶ ἄλλοθι. H.

186. βοῦν στεῖραν] τῶν γὰρ ἀτόκων τὸ κρέας κάλλιστον. B.

πίονας αἶγας] γρ. πίονας οἶας. M.

187. πορθμῆες δ' ἄρα τούς γε διήγαγον] οὗτοι γὰρ ἐν τῇ ἠπείρῳ ἐνέμοντο καὶ χρεία ἦν πορθμέως. φησὶ γὰρ "δώδεκ' ἐν ἠπείρῳ ἀγέλας, τόσα πώεα οἰῶν" (ξ, 100.). ἡ δὲ ἤπειρος ἀντικρὺ τῆς Ἰθάκης. Κεφαλληνία δὲ καὶ αὐτὴ ὠνομάζετο ὑπ' Ὀδυσσέα οὖσα. B. πορθμῆες] οἱ παραφέροντες. V.

γρ. πορθμῆες γὰρ τούς γε. H.

195. δυόωσι] εἰς δύην καὶ κακοπάθειαν βάλλουσι. Q.

δηόωσι] γρ. καὶ δυόωσιν, ἤτοι ἐν δύῃ καὶ κακώσει μεταβάλλουσιν, ἢ εἰς δύαν ἐμβάλλουσιν. Vind. 133.

196. ἐπικλώσονται ὀΐζύν] οὐδὲ ἀξίαν δυσωποῦνται. B.

202. ἐπὴν δὴ γείνεαι] καθὸ πατὴρ ἀνδρῶν τε θεῶν τε. γείνεαι] γεννήσῃς. V.

204. ἶδιον ὡς ἐνόησα] ψιλωτέον τὸ ἶδιον. κυρίως μὲν ἴδρωσα, νῦν δὲ ἠγωνίασα. παρακολουθεῖ γὰρ τοῖς ἀγωνιῶσι καὶ ἱδρὼς, καθὸ ἶδος τὸ θέρος ἢ τὸ θερινὸν κατάστημα, ἐπειδὴ ὑγρόν. οὕτως δὲ καὶ τὸ "ἴδει ἐν αἰνοτάτῳ." παρὰ τὸ ἰδίω δὲ καὶ τὸ ἐνίδιος, καὶ ἐν συγκοπῇ "ἔνδιος δ' ὁ γέρων ἦλθ' ἐξ ἀλός" (Od. δ, 450.), ὅτε ὁ ἥλιος καίει. B.

1. ἐκ] Sic etiam M.

6. ἀεικέα] Hoc quoque in textu habet M.

10. ἄλλοθι in textu M.

16. Κεφαλληνία] Κεφαληνία B.

Addidi siglam B. ab Maio omissam.

18. τούς] αὐτούς H.

23. τε post θεῶν addidit Buttm.

24. γεννήσῃς Buttm. pro γενήσεις.

28. ἴδει ἐν αἰνοτάτῳ] Dixeris ex Homero citatum pro illo στείνει ἐν αἰνοτάτῳ Il. θ, 476. sed est ex Hesiod. Sc. 297. Vid. Heyn. ad illum locum. BUTTM.

www.libtool.com.cn

206. λαίφεα] ῥάκη, ἢ λεπτὰ ἱμάτια. V. κυρίως τῶν πλοίων αἱ ὀθόναι, νῦν δὲ τὰ παχέα ἱμάτια. Q.

209. ἐπὶ βουσὶν] γρ. ἐνί. V.

212. ὑποσταχύῳτο] αὔξοιντο. Q.

ὑποσταχύοιτο] ἐπαύξοιτο. V.

218. πόλλ' ἐπιδινεῖται] ἐν τοῖς στήθεσιν ἀνακυκλεῖ ὁ λογισμὸς, πολλὰς στροφὰς λαμβάνει. V.

230. ξενίη τε τράπεζα] γρ. ὕπατος καὶ ἄριστος. H.

245. συνθεύσεται] συντελεσθήσεται. B.

250. οὐδ' ἱέρευον ὅϊς] παρατηρητέον ὅτι μόνους τοὺς μνηστῆρας θεοῖς θύοντας οὐκ οἶδεν. V.

251. βοῦν ἀγελαίην] ἀγελαστικὴν, ἔτι ἐν ἀγέλαις οὖσαν, καὶ μήπω ὑπὸ ζυγὸν οὖσαν. B.

252. ἐν δ' ἄρα οἶνον] γρ. ἐν δέ τε οἶνον. H.

255. ἐφνοχόει] οἶνον τοῖς κυπέλλοις ἐπέβαλεν, οὐκ ἐκίρνα. εἶπε γὰρ ἄνω, κρητῆρσι κεράσσατο. B.

266. ἐνιπῆς] ἐπιπλήξεως. ἐνιπὴ ἡ διὰ λόγων ἐπίπληξις καὶ ἀπειλὴ, ἀπὸ τοῦ ἐνέπω. ἀπειλῆς. H.

276. κήρυκες δ' ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην] οὐχ οἱ τῶν μνηστήρων, ἀλλ' οἱ τῶν Ἰθακησίων, οἱ δημόσιοι. βούλεται δὲ δεῖξαι ὅτι Ἀπόλλωνος ἡ ἑορτή. τὸ, οἱ δ' ἐπεὶ ὤπτησαν, μετέβη πάλιν ἐπὶ τῶν μνηστήρων. B.

281. οἵ ῥ' ἐπένοντο] γρ. οἳ πονέοντο. M.

289. ὃς δή τοι κτεάτεσσι πεποιθὼς] ἠθικῶς δείκνυσιν ὁ ποιητὴς ὅτι οὐδὲν συλλαμβάνει πλοῦτος πρὸς σωφροσύνην. V.

πατρὸς ἑοῖο] γρ. θεσπεσίοισι. H.

4. αὔξοιντο] δίκην σταχύων addit Eustath. p. 1890, 3. Integriora ad h. l. scholia excerpsit Apollon. Lex. s. v. ὑποσταχύοιτο.

10. Bene huic scholio respondet lemma sicut ex ed. Argentin. reposui, pro eo quod est in edd. recent. et in textu, οἱ δ' ἱέρευον. Neque tamen illo modo procedit sermo poetæ. Sed mendosum esse ipsum scholium ex Eustathio p. 1891, 16. patet, qui ita: σημειοῦνται δ' ἐν τοῖς ῥηθεῖσιν οἱ παλαιοὶ ὡς ἐνθάδε καὶ μόνον οἱ μνηστῆρες ἱερεύουσιν ὅϊς καὶ τὰ ἑξῆς ὡς ἐρρέθη, ἀλλαχοῦ δὲ τῆς Ὁμηρικῆς ταύτης ποιήσεως οὐχ εὕρηνται τοῦτο ποιοῦντες. Unde Barnesius, servato lemmate vulgato, scholio nostro attexuit hæc, εἰ μὴ ἐνταῦθα μόνον. Conf. schol. β, 300. BUTTM.

14. ἐν δ' ἄρα οἶνον] Sic M. in textu, H. vero ἐν δέ σοι οἶνον, quod non differt ab varia lectione in margine posita.

20. δημόσιοι Buttm. δημόσιοι βουλευταί B.

www.libtool.com.cn

297. λοετροχόῳ] νῦν τῷ τὰ λουτρὰ παρέχοντι ἢ παρασκευάζοντι. V. ἴσως τινὶ πρὸς τὰ λουτρὰ ἀποδεδειγμένῃ γυναικί. τοὺς γὰρ βασιλικωτέρους εὐγενεῖς ἔλουον παρθένοι. B.

302. Σαρδόνιον] σεσηρὸς, σαρκαστικὸν, ἐπίπλαστον. παρὰ τὸ μόνον σεσηρέναι τὰ χείλη, μὴ μέντοι γελᾶν. B.

Σαρδάνιον μάλα τοῖον] σεσηρὸς ἐπ' ὀλέθρῳ. φασὶ Τάλων τὸν ἡφαιστότευκτον ὑπὸ Διὸς Εὐρώπῃ δοθέντα φύλακα τοὺς ἐπιβαίνοντας τῇ Κρήτῃ ἰδίως τιμωρεῖσθαι. πηδῶντα γὰρ εἰς πῦρ καὶ θερμαίνοντα τὸ στῆθος περιπτύσσεσθαι αὐτούς. ὧν καιομένων ἐκεῖνον σεσηρέναι. ἔνιοι δὲ γίνεσθαι λέγουσιν ἐν Σαρδοῖ τῇ νήσῳ σέλινον τοιοῦτον, ὃ τοὺς φαγόντας ξένους μετὰ σπασμοῦ σεσηρότας ἀπόλλυσθαι ποιεῖ. Τίμαιος δέ φησι τοὺς γεγηρακότας τῶν γονέων ἄγειν αὐτοὺς πρὸς βόθρον καὶ καταβάλλειν εἰς αὐτὸν, τοὺς δὲ ὡς μακαρίως ἀποθνήσκοντας γελᾶν. ἄλλοι δὲ ἄλλως. ἄμεινον δὲ, τὸν ἐπὶ καταμωκήσει προσποίητον γέλωτα, παρὰ τὸ σεσηρέναι, ὅ ἐστιν ἀνοίγειν τὰ χείλη. V.

οἱ τὴν Σάρδον κατοικοῦντες ἀπὸ Καρχηδονίων ὄντες χρῶνται νόμῳ τινὶ βαρβαρικῷ καὶ πολὺ τῶν Ἑλληνικῶν διηλλαγμένῳ. τῷ γὰρ Κρόνῳ θύουσιν ἡμέραις τισὶ τεταγμέναις, οὐ μόνον τῶν αἰχμαλώτων τοὺς καλλίστους, ἀλλὰ καὶ τῶν πρεσβυτέρων τοὺς ὑπὲρ ἑβδομήκοντα ἔτη γεγενημένους. τούτοις δὲ θυομένοις τὸ μὲν δακρύειν αἰσχρὸν εἶναι δοκεῖ καὶ δειλὸν, τὸ δὲ ἀσπάζεσθαι καὶ γελᾶν ἔσχατον καὶ προϊόντων ἀνδρῶδές τε καὶ καλόν. ὅθεν φασὶ καὶ τὸν ἐπὶ κακῷ προσποίητον γέλωτα κληθῆναι Σαρδόνιον. ἡ δὲ ἱστορία παρὰ Δήμωνι. V.

304. τόδε κέρδιον] τὸ μὴ βαλεῖν, ἐπεὶ αὐτὸς ἂν ἀνῄρητο, ἢ τὸ βαλεῖν τὸν ξένον, αἱρεῖται τὸ κέρδιον. V.

311. τετλάμεν] παροξυτόνως, εἴτε ἀπὸ τοῦ τλῆμι εἴτε ἀπὸ τοῦ τετλάκαμεν συγκέκοπται. B.

1. παρέχοντι] ἐπιχέοντι τῷ λούοντι codex Barnes.

6. Τάλων ex Zenobio 5, 85. et Suida addidit Buttmannus.

16. Hoc scholium in editionibus ant. ad finem libri rejectum. BUT.

Σάρδον] Σαρδόνα Barnes.

17. Ἑλληνικῶν] Ed. ant. Ἑλλήνων, recentiores Ἑλλήνων. BUTTM.

18. τισὶ] τρισὶ codex Barnes.

21. δειλόν] Ita in ed. ant. In recentioribus δῆλον, quod Barnesius, e MS. ut ait, mutavit in δοῦλον. BUTTM.

ἀσπάζεσθαι] Fortasse ἀλλήλους addendum ex Hesychio s. v. Σαρδόνιος γέλως.

προϊόντων] Corruptum. προσποίητον Buttm.

23. Δήμωνι] In libro περὶ παροιμιῶν. BUTTM.

24. ἂν addidit Ernestius.

26. παροξυτόνως] Malum hoc præceptum in Homeri textu hucusque

www.libtool.com.cn

316. ἦεν] γρ. εἴη, ὃ καὶ κρεῖττον. Vind. 133.

319. ῥυστάζοντας] ῥυστάζειν γὰρ τὸ μετὰ βίας ἕλκειν παρὰ τὸ ἐρύω, ῥύω. V.

341. οὔτι διατρίβω] οὐχ ὑπερτίθεμαι. B. διατρίβω] κωλύω. V.

344. ἀναγκαίῳ] ἀναγκαστικῷ. B.V.

34[illegible]. αἱμοφόρυκτα δὲ δὴ κρέα] ἡμαγμένα. τοῦτο δὲ σημεῖον ὅτι ἤμελλε τὸ σῶμα αὐτῶν αἵματι μολύνεσθαι. οὐ τοῖς μνηστῆρσι δὲ, ἀλλὰ τῷ Θεοκλυμένῳ ταῦτα ἐφαίνετο τῷ μάντει τῷ παρὰ τοῦ Τηλεμάχου ἀχθέντι ἀπὸ τῆς Πύλου. B.

353. δέδηε] διεγήγερται. V. ἀπὸ τοῦ δαίω τὸ καίω γίνεται τὸ δέδηε, ἀντὶ τοῦ φαίνεται. B.

354. ἐρράδαται] τὸ θέμα ῥοίζω. B.

355. εἰδώλων] ὡς τῶν ψυχῶν αὐτῶν ἐπὶ τὸν Ἅιδην ἀπιουσῶν. B.

356. ἰεμένων] πορευομένων. Gl. Vind. 133.

ἠέλιος δὲ οὐρανοῦ ἐξαπόλωλε] οὐ γὰρ ἡλίου ἔκλειψις ἐγένετο, ἀλλὰ Θεοκλύμενος οὕτως ὁρᾷ ὑπό τινος ἐνθουσιασμοῦ μαντευόμενος ὅτι ἐκλείψει αὐτοῖς ὁ ἥλιος. ἀμέλει οἱ μνηστῆρες ὡς οὐδὲν τοιοῦτον θεωροῦντες καὶ ἐκβληθῆναι αὐτὸν ἀξιοῦσιν ὡς παραπαίοντα. B. οὐχ ὡς ἐκλείψεως γεγενημένης, ἀλλ' ὅτι τοῖς μνηστῆρσιν ὁ ἥλιος ἐκλελοίπει. ἐξέρχεται δὲ οὗτος ἐκ τῆς οἰκίας οἰκονομικῶς. V.

362. εἰς ἀγορὴν ἔρχεσθαι] χειραγωγήσατε αὐτὸν εἰς τὴν ἀγοράν, ἵνα ἴδῃ τὸ φῶς. τὰ γὰρ κατ' οἶκον νυκτὶ εἰκάζει. B.

ἐώκει] γρ. ἐΐσκει. M.

369. γρ. ἀνδρῶν οἳ κατὰ δῶματ' Ὀδυσσῆος θείοιο. H.

374. ἐρέθιζον] γρ. θαύμαζον. H.

γελόωντες] γελωτοποιούμενοι, καταγελῶντες. V.

377. ἐπίμαστον ἀλήτην] ἐνδεᾶ ἐπαίτην, παρὰ τὸ μαστεύειν τροφήν. B. ἐπιμαστεύοντα καὶ ἐπιζητοῦντα. V.

(nisi quod Barnesius tacite id migravit) ab omnibus observatum hic video, dum δείδιμεν, μέμαμεν, μέματον, τέτλαθι secure edunt. Nam infinitivi, cujus τετλάμεν legitima forma est, nullam hic rationem perspicio. BUTTM. προπαροξυτόνως εἴτε κίνημά ἐστιν ἀπὸ τοῦ τέτλημι εἴτε ἀπὸ τοῦ τετλήκαμεν, συγκέκοπται Lobeck. Pathol. Elem. vol. 1. p. 380. fortasse non librarii, sed ipsius scholiastæ errorem corrigens. Nam scholiorum codicis B. perexigua auctoritas est.

7. ἤμελλε Buttm. pro ἠμέλγετο.

19. ἐκλελοίπει] ἐπιλέλοιπεν ex Eust. p. 1895, 16. qui habet: τινὲς — οὐκ ἐνόησαν ἐπὶ τοῦ ἐκλιπεῖν, ἀλλ' ὅτι τοῖς μνηστῆρσιν ὁ ἥλιος ἤδη ἐπιλέλοιπεν ὡς τεθνηξομένοις. BUTTM.

www.libtool.com.cn

379. ἔμπαιον] ἔμπειρον. V.

ἔμπεον] ἀπὸ τοῦ παίω τὸ τύπτω. διὰ τὸ μέτρον γράφεται ψιλὸν τὸ πε. B.

380. μαντεύσασθαι] γρ. μαντεύεσθαι. H.

383. ἐς Σικελοὺς] ἐγινώσκετο ἄρα τὰ κατὰ τοὺς Σικελούς. οὐκ εἰκὸς οὖν ἐκεῖ τὴν πλάνην γεγονέναι. διαφέρουσι δὲ Σικελιῶται Σικελῶν· οἱ μὲν γὰρ Ἕλληνες, οἱ δὲ βάρβαροι. V.

ἄξιον ἄλφοι] ἀξίαν εὗροι τιμὴν ἡ τῶν ξένων πρᾶσις. B.

387. κατ' ἄντησιν] ἀντικρὺς τοῦ ἀνδρῶνος ἐν τῇ γυναικωνίτιδι. V.

390. γελοίωντες] ἀντὶ τοῦ γελοιῶντες καὶ γελωτοποιοῦντες, ἐν γέλωτι διατρίβοντες. B.

394. πρότεροι] οἱ μνηστῆρες δηλαδή. B.

Φ.

ΥΠΟΘΕΣΙΣ.

Τόξου θέσιν Πηνελόπη μνηστῆρσι. καὶ ὡς ἀναγνωρισθεὶς τοῖς θεράπουσι συντίθεται Ὀδυσσεὺς τὸν κατὰ τῶν μνηστήρων φόνον. καὶ ὡς μὴ δυναμένων αὐτῶν ἀνατεῖναι τὸ τόξον ἐγκρατὴς γέγονεν ὅλων Ὀδυσσεύς. Q.

ΑΛΛΩΣ.

Πηνελόπη τῷ τείνοντι τὸ τόξον ὁμολογεῖ τὸν ἑαυτῆς γάμον, Ὀδυσσεὺς δὲ Εὐμαίῳ καὶ Φιλοιτίῳ ἐντειλάμενος περὶ τῆς τῶν θυρῶν ἀσφαλείας αὐτὸς ἀφίησι τὸ βέλος διὰ τῶν πελέκεων ἄλλου τεῖναι τὸ τόξον μὴ δυνηθέντος. P.V.

---

1. τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε] ὁ δὲ ἀντὶ τοῦ γάρ. P.V. τίθησι δὲ τὸ τόξον ἵνα, ἐὰν μὲν πλείους ἐντείνωσι, στασιάσωσιν, ἐὰν δὲ μηδεὶς, ἀνάξιοι τῆς μνηστείας φανῶσιν. V. τὸ δὲ ἀντὶ τοῦ γάρ. οὐχ ἡ Πηνελόπη δὲ τὸν φόνον ἐνόησεν, ἀλλ' ὁ ποιητὴς ἀφ' ἑαυτοῦ τὸ συμβησόμενόν φησι. B.Q.

5. κλίμακα δ' ὑψηλὴν] τὴν ἐκ τῆς γυναικωνίτιδος εἰς τὴν ἀποθήκην, ἵνα τὴν κλεῖν λάβῃ. P.V.

20. ἑαυτῆς Eustathius, qui hoc Argumentum habet p. 1897. αὐτῆς P.V.

www.libtool.com.cn

6. κληῖδα] οὐ μόνον τὸ κλεῖθρον, ἀλλὰ καὶ τὴν κλεῖν. B.

7. κώπη δ' ἐλέφαντος ἐπῆεν] ἡ λαβὴ τοῦ ξίφους ἡ κόπτειν δυναμένη, παρὰ τὸ κοπή, ἀναβιβασμῷ καὶ τροπῇ, κώπη. καὶ ἡ τῶν ἐρετῶν κώπη λέγεται παρὰ τὸ κόπτειν τὸ ὕδωρ. V.

9. ἔσχατον] νῦν τὸ ἐνδότατον. P.V.

10. πολύκμητος] ἐφ' ᾧ πολλὰ κάμνουσιν. P.V.

11. ἔνθα δὲ τόξον ἔκειτο] προνοητικῶς οὐκ ἐν τῷ ἀνδρῶνι, ἵνα μὴ ὑπὸ τοῦ καπνοῦ ἡ νευρὰ ῥαγῇ. V.

13. Λακεδαίμονι] νῦν ἐπὶ τῇ Λακωνικῇ χώρᾳ, ἧς μέρος κατὰ τοὺς ἡρωϊκοὺς χρόνους ἡ Μεσσήνη. διχασθῆναι δέ φασι τὴν Λακωνικὴν τῆς Μεσσηνίας ἐπὶ τῶν Ἡρακλειδῶν, οἳ μετὰ τὴν τοῦ Ἰλίου ἅλωσιν κατέσχον τὴν Πελοπόννησον. B.Q.

15. Μεσσήνῃ] τῇ Μεσσηνίᾳ χώρᾳ, ἥτις ἦν μέρος τῆς Λακεδαίμονος πρὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου. V.

16. οἴκῳ ἐν Ὀρτιλόχοιο] ἐν Φεραῖς. P.V.

17. μετὰ χρεῖος] ἐπὶ χρεῖος, χρέος ἀπαιτήσων καὶ ὀφείλημα. οὐ δάνειον, ἀλλὰ ἐξ ἁρπαγῆς. B.Q. διὰ ὄφλημα. V.

18. ἄειραν] νῦν, ἥρπασαν. P.V.

20. ἐξεσίην] δημοσίαν ἔκπεμψιν καὶ πρᾶξιν. P.V.

δημοσίαν ἔκπεμψιν. παρὰ τὸ ἧσω ἑσία καὶ ἐξεσία. B.H.Q.

22. Ἴφιτος αὖθ' ἵππους] Αὐτόλυκος ὁ Ἑρμοῦ κλέψας τὰς Εὐρύτου ἵππους πέπρακεν αὐτὰς τῷ Ἡρακλεῖ, ἃς ζητῶν Ἴφιτος περιήει. τὸν γὰρ Ἰόλης ἔρωτα οὐκ οἶδεν ὁ ποιητής, οὐδὲ ὡς ἀποτυχὼν τοῦ ἔρωτος τῆς Ἰόλης ἔκλεψε τὰς ἵππους Εὐρύτου. B.Q.

Ἴφιτος Εὐρύτου μὲν παῖς, Οἰχαλιεὺς δὲ τὸ γένος ἀπολομένων αὐτῷ τῶν ἵππων περιήει τὰς πέριξ ἐρευνῶν πόλεις εἴ που φανεῖεν. Πολυΐδου δὲ τοῦ μάντεως εἰπόντος αὐτῷ μὴ παραγίνεσθαι εἰς Τίρυνθα χάριν ζητήσεως, οὐ γὰρ εἶναι συμφέρον, λέγεται παρακούσαντα παραγενέσθαι. τὸν δὲ Ἡρακλέα μηχανῇ τινι καὶ στρατηγίᾳ συνεφελκυσάμενον αὐτὸν ἄγειν εἰς ἐπίκρημνον τεῖχος καὶ κατα-στρέψαι, διὰ τὸ πρὸς αὐτὸν ἔχειν ἔγκλημα καὶ τὸν πατέρα, ὅτι τελευτήσαντι αὐτῷ τὸν ἆθλον τὴν Ἰόλην γαμεῖν οὐκ ἔδωκαν, ἀλλ' ἀτι-

6. ἐφ'] ὑφ' V.

9. ἧς μέρος—] Conf. schol. Il. β, 502. 582.

19. καὶ πρᾶξιν om. V.

20. παρὰ τὸ ἧσω ἑσία Buttm. H. ποιήσω ἔσια B. ἧσσω αἰτίαν Q. ἐξεσία] ἐξέσια B. ἐξεσίαν Q.

23. οὐδὲ ὡς Buttm. pro οἱ δὲ οὕτως.

25. Hoc scholion in fine libri habent editiones veteres.

www.libtool.com.cn

μάσαντες ἀπέπεμψαν. λέγεται δὲ ὡς ἀγανακτήσας ὁ Ζεὺς ἐπὶ τῇ ξενοκτονίᾳ προσέταξεν Ἑρμῇ λαβόντα τὸν Ἡρακλέα πωλῆσαι δίκην τοῦ φόνου· τὸν δὲ εἰς Λυδίαν ἀγαγόντα τῇ τῶν τόπων βασιλευούσῃ Ὀμφάλῃ δοῦναι τριῶν τιμηθέντα ταλάντων. ἡ ἱστορία παρὰ Φερεκύδῃ. V.

26. μεγάλων ἐπιίστορα ἔργων] μεγαλουργὸν, ἐπὶ μεγάλοις ἔργοις ἱστορούμενον, ἐπιστήμονα. V.

27. ξεῖνον ἐόντα κατέκτανεν] ξενιζόμενον παρ' αὐτῷ. οἱ δὲ νεώτεροί φασιν ὡς ὅτι αὐτὸν ἀπὸ τοῦ τείχους κατέβαλεν. B.

29. ἔπειτα δὲ] ὁ δέ ἀντὶ τοῦ γάρ. καὶ αὐτὸν ἔκτεινε καὶ τοὺς ἵππους κατέσχε. B.

31. τὰς ἐρέων] ἀνερευνῶν, ζητῶν. ὁμοίως τῷ "κνημοὺς ἐξερέῃσι" (Od. δ, 337.). δῆλον δὲ ὅτι καὶ πρὸ Ἡρακλέους ἦν ὁ Εὔρυτος. B.

32. μέγας Εὔρυτος] ἐπὶ τοξικῇ. V.

35. ἀρχὴν ξεινοσύνης] ἀρχὴν ποιούμενα ξενίας. προσκηδέος] τῆς ποιούσης κηδεμονικῶς ἔχειν πρὸς ἀλλήλους. V. κηδεμονικῆς φιλίας. κήδονται γὰρ ἀλλήλων οἱ φίλοι καὶ ξένοι. B.

οὐδὲ τραπέζῃ] οὐδὲ ἕτερος ἑτέρῳ ἐπιξενωθέντι παρέθηκε τράπεζαν. B.

38. ὅς οἱ τόξον ἔδωκε] τρίτον εἴρηκε τὴν δόσιν, ἐπεὶ διὰ μέσου τινὰ παραδιηγεῖται. V.

τὸ δ' οὔ ποτε] δοκεῖ μὲν παρέλκειν τὸ ποτέ, ἴσως δέ φησιν, οὐδὲ ἄλλοτε. B.

46. αὐτίκ' ἄρ' ἦγ' ἱμάντα] ἱμάντα τὸν ἀνοίγοντα τὸ ἔνδοθεν περιγινόμενον κοχλῷ ἐοικὸς κλεῖθρον. δύο γὰρ ἱμάντες ἦσαν, ὁ μὲν κλείων, ὁ δὲ ἀνοίγων. ἑκάτερος δὲ κρίκου τινὸς ἐξήρτητο. ἡ Εὐρύκλεια οὖν θύραν ἐπέρυσσε κορώνῃ ἀργυρέῃ (α, 441.), κλείουσα. τὸ δὲ "ἄντα τιτυσκομένη" ὥστε τὰς βαλάνους ἀντίας γίνεσθαι τοῖς τῆς κλειδὸς γόμφοις. ἢ αὐτὴ ἀντικρὺ καὶ ἔμπροσθεν τῆς θύρας ἑστῶσα καὶ οὕτως καταστοχαζομένη. Q. κορώνη ὁ κρίκος. B.

ἀπέλυσε κορώνης] τὸ κλεῖθρον ἑκατέρωθεν ἐξήρτητο πρὸς κρίκον, ὥστε δι' οὗ μὲν ἑλκομένου πρὸς τῷ σταθμῷ κυκλεῖσθαι, δι' οὗ δὲ ἀνοίγεσθαι εἰς τοὐναντίον ἑλκομένου. V.

47. ἀνέκοπτεν] ἀνέκρουεν, ἀνώθει. V.

ὀχῆας] νῦν τὰς λεγομένας βαλάνους τὰς ἐν τῷ λεγομένῳ χελωνίῳ

www.libtool.com.cn

κατ' ἀντίκρυ τῆς κλειδὸς, αἱ περιάγονται καὶ ἀνοίγονται. V. τὰς βαλάνους. ἐν Ἰλιάδι δὲ (μ, 455.) τοὺς μοχλούς. B.

50. πληγέντα κληῖδι] πρότερον τοῦ κλείθρου ταραχθέντος ἡ κλεὶς ἔτι ἦν κρατοῦσα. B.H.Q.

54. γωρυτῷ] τῇ θήκῃ τοῦ τόξου. V. ἐλύτρῳ τοῦ τόξου. καὶ ἔστι γωρυτῷ παρὰ τὸ ἀορεῖν τὸν ῥυτόν. B.

61. ὄγκιον] ἔστι μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις, σημαίνει δὲ ὄγκιον ἀγγεῖον κιστοειδὲς, ἐν ᾧ ἔκειντο οἱ ὄγκοι. ὄγκοι δέ εἰσιν οἱ πώγωνες τῶν ἀκίδων. καὶ ἐν ἄλλοις "ὡς δὲ ἴδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας" (Il. δ, 151.). V. συνεκτικὸν τῶν ὄγκων ἀγγεῖον, ὡς κρεῖον τὸ κρεοδόχον ἀγγεῖον. ὄγκιον οὖν ἠθήκη τῶν ἀκίδων. εἴρηται δὲ παρὰ τὸ ὀγκώδες εἶναι. V. προπαροξυτόνως τὸ ὄγκιον. ἔστι δὲ κυρίως τὸ δεκτικὸν τῶν ὄγκων, ὅ ἐστιν ἀκίδων. B.

62. τοῖο] τοῦ ἰδίου. V.

69. ἐχράετε] ἐβιάσασθε, ἐβαρήσατε. V.

71. μύθου] νῦν τῆς στάσεως. ὅθεν καὶ Ἀνακρέων τοὺς ἐν τῇ Σάμῳ ἁλιεῖς ὄντας στασιαστάς φησι "μυθιῆται δ' ἀνὰ νῆσον, ὦ Μεγίστη, διέπουσιν ἱρὸν ἄστυ." ἀντὶ τοῦ στασιασταί. V.

3. ταραχθέντος H. παραχθέντος B.Q.

6. ἀορεῖν corruptum. χωρεῖν Lobeck. Pathol. Proleg. p. 389.

8. ὄγκιον ἀγγεῖον scripsi ex Eustathio p. 1899, 1. Legebatur ὀγκεῖον, omisso ἀγγεῖον.

κιστοειδὲς Barnes. pro σχιστοειδές. Omisit Eustath.

ἔκειντο Eustath. ἔγκειντο V. ἀπέκειντο Barnesius.

10. συνεκτικὸν] συνακτικὸν Eustath.

11. κρεοδόχον] κρεωδόχον Eustathius.

17. Ἀνακρέων Eustathius p. 1901, 45. ἐν δὲ τῷ μύθου ἐπισχεσίην οἱ παλαιοὶ μῦθον μὲν ἐνταῦθα ἰδίως τὴν στάσιν λέγουσιν, ἐπεὶ καὶ Ἀνακρέων τοὺς ἐν Σάμῳ θέλων εἰπεῖν στασιαστὰς, μυθηταὶ δ' ἐν νήσῳ, φησὶ, διέπουσιν ἱερὸν ἄστυ, ἀντὶ τοῦ στασιασταὶ ἐπίρρητοι, ἢ ἄλλως ἐν μύθοις καὶ (dele καὶ) μόνοις ἔχοντες τὸ σεμνὸν, ἢ καὶ ἀγορηταὶ βλαβεροί.

18. μυθιῆται pro μυθηταὶ correctum ex Apollon. Lex. Hom. μῦθος· λόγος· ὁ δὲ Ἀνακρέων μυθιήτας τοὺς στασιώτας εἶπεν. Vocabulum μυθιήτης (quod Phœnici in versu choliambico ap. Athen. 12. p. 530 E. restituit Schweigh., οὐ μυθιήτης, in codice corruptum in οὐ μυθητής) cum πολιήτης similibusque formis comparant Apollon. de conjunct. in Bekk. Anecd. p. 524, 5. Steph. Byz. s. v. Αἴγινα et Etym. Gudian. p. 84, 3. (ubi corrupte μυθῖτης), quos Anacreontis locum in mente habuisse credibile est. Ex scholio Homerico excerpta sunt quæ habet Etym. M. p. 593, 47. μῦθος σημαίνει καὶ τὴν στάσιν. ἅπαξ εἴρηται παρ' Ὁμήρῳ "οὐδέ τιν' ἄλλην μύθου

www.libtool.com.cn

ἐπισχεσίην] πρόφασιν. Q. νῦν σημαίνει πρόφασιν. ἐπιμονῆς γὰρ χρεία τῷ προφασιζομένῳ εἰς τὸ ψεύδεσθαι καὶ τὸ μὴ ἀληθεύειν. καὶ Ἀλκαῖος "οὐδέ τι μυνάμενος ἄλλοι τὸ νόημα" ἀντὶ τοῦ προφασιζόμενος. ἀλλαχοῦ ἀποτρέπων τὸ ἑαυτοῦ νόημα. V.

73. τὸ δὲ φαίνετ' ἄεθλον] τὸ ἐμὲ γῆμαι. V.

76. δυοκαίδεκα πάντων] εἰ γὰρ ἐν μέσοις ἔστη τὸ βέλος, ἔξαθλος ἦν, ὡς ἐλλείπων τῇ δυνάμει. V.

85. ἐφημέρια φρονέοντες] τὸ παραυτίκα μόνον φρονοῦντες, οὐ προνοοῦντες τοῦ μέλλοντος. V.

90. τόξα] νῦν τὴν σύμπασαν σκευήν. V.

91. ἀάατον] ἐπιβλαβῆ, ἢ ἄνευ βλάβης. V.

93. μέτα] ἀντὶ τοῦ ὑπάρχει. V.

ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε·" ὅθεν καὶ Ἀνακρέων ἐν τῷ δευτέρῳ τῶν μελῶν μυθίας τοὺς στασιαστὰς ἐπὶ τῶν ἁλιέων λέγει. ubi Gaisfordius μυθίας duorum codicum auctoritate in μυθίτας mutavit, quod ipsum quoque ad μυθιήτας ducit, etsi grammaticus vulgarem hujusmodi nominum formam in ιτης fortasse poeticæ in ιητης prætulit, quemadmodum Theognostus in Crameri Anecd. Oxon. vol. 2. p. 169, 12. inter nomina in της posuit, μυθίτης σημαίνει δὲ τὸν στασιαστήν.

P. 698, 18. ἀνὰ νῆσον, ὦ Μεγίστη L. Dindorfius in Thesauro vol. 5. p. 1248. Legebatur ἀνήσω μεγίστη, in quo ἀνὰ νῆσον latere viderat Buttmannus. Quod Eustathius posuit ἐν νήσῳ, omisso μεγίστη, ipsius esse conjectura videtur, quum corrupta esse videret verba scholiastæ nec μεγίστη intelligeret. Nominis Μεγίστης exempla sunt in fragmentis Aaacreontis apud Athen. 15. p. 671 F. 673 D. 674 A.

19. διέπουσιν] Scribendum διέπουσιν Σάμον cum Bergkio ad Anacr. Fragm. p. 164. Nam metrum horum duorum versuum est Ionicum a minore trimetrum ἀνακλώμενον

⏑ ∪ – –, ∪ ∪ ⏑ ∪, ⏑ ∪ – –

Porro post ἄστυ scholiasta omisit Νυμφέων, quod Sopingius animadvertit collata glossa Hesychii, ἄστυ Νυμφέων· τὴν Σάμον Ἀνακρέων, ἐπεὶ ὕστερον εὔυδρος ἐγένετο.

P. 699, 1. ἐπιμονῆς—] Inde ab hoc verbo omnia spectant ad v. 111. Vid. quæ ibi notabo. BUTT. ἐπιμονῆς et mox μυνάμενος correxit Barnesius pro ἐπὶ μονῆς et μηνάμενος. Verbo ἐπιμένειν in explicatione hujus vocabuli usus est Eustathius p. 1901, 47.

3. ἄλλοι τὸ νόημα] ἄλλα τὸ νόημα V. ἄλλο νόημα Eustathius p. 1901, 52. "Blomfieldus, apud quem hoc est Alcæi fragmentum 55.: 'Forsan corrigendum ἄλλᾳ τὸ νόημα. Videtur autem μυνάμενος Æolice dici pro μυνώμενος.' Verum utrumque mihi videtur: nam illud nititur scholiastæ explicatione, verbum autem μύνομαι ex hoc tantum fragmento lexica intravit, in posterum omittendum." BUTTM. Recte Blomfieldus, nisi quod Æolica forma ἄλλοι restituenda erat, quod fecit Seidlerus, sive sic scripta sive ἄλλυι, de quo dixit Ahrens. de dial. Æol. p. 155.

5. τὸ ἐμὲ γῆμαι] Conf. schol. ad v. 106.

8. ἔστη Buttm. pro ἐστί.

www.libtool.com.cn

106. φαίνετ' ἄεθλον] τὸ γῆμαι τὴν Πηνελόπην πρόκειται νικητήριον. εἰ γὰρ τὸν ἀγωνισμὸν ἔλεγεν, ἀρσενικὸν ἂν ἔφη. B.

107. κατ' Ἀχαιΐδα γαῖαν] γενικῶς εἶπε, καὶ αὖθις τοὺς ἐπισημοτάτους τόπους ἐδήλωσε. B.

111. μὴ μύνῃσι] προφάσεσιν. ἄπαξ δὲ κεῖται. B.Q. προφάσεσι. παρὰ τὸ μύσαντα τὰ ὄμματα σκέπτεσθαί τί χρὴ δρᾶν. τούτου γὰρ χάριν προφασίζονται, ἵνα ἐπιμείνωσιν. οἱ δὲ, κατασιωπῶντες, παρὰ τὸ μύειν τὸ στόμα. V.

114. σιδήρου] τῶν πελέκεων V.

117. ἀνελέσθαι] ἀναλαβεῖν, μεταχειρίσασθαι, ὑποστῆναι. B.Q.

120. διὰ τάφρον ὀρύξας] δηλονότι πρότερον ἴθυνε τὴν τάφρον, μετὰ ταῦτα ἔστησε. B.

122. ἔναξε] συνεπίλωσεν. V. ἀντὶ τοῦ ἔνησε, ὅ ἐστιν ἐσώρευσε. B.

138. κορώνῃ] τῷ ἄκρῳ τοῦ τόξου. V.

141. ἐπιδέξια] ἐκ τοῦ δεξιοῦ μέρους. V.

142. ὄθεν τ' ἐπιοινοχοεύει] εὔλογόν ἐστιν εἰσιόντος εἰς τὸν ἀνδρῶνα ἐν δεξιᾷ κεῖσθαι τὸν κρατῆρα. V.

145. θυοσκόος] ἱεροθύτης. Q. ὁ μάντις· ἀπὸ τῶν θυομένων κοῶν, ὅ ἐστι νοῶν, καὶ διὰ πυρὸς μαντευόμενος. MS. Barnes.

146. μυχαίτατος] ἐνδότατος. V.

161. ἐέδνοισιν διζήμενος] πλήθει ἐδνων ζητῶν. βίᾳ γὰρ καὶ ῥώμῃ οὐ λήψεται. V.

162. εἴῃ] γρ. ἔλθῃ. M.

185. βίης ἐπιδευέες] δυνάμεως ἐνδεεῖς, ἤτοι τοῦ τόξου ἢ τοῦ Ὀδυσσέως. V.

186. ἐπείχε] ἐπέκειτο. ὁ Ἀντίνοος ἐπείχε καὶ ἐκώλυσεν αὐτοὺς πρὸς τὸ παρὸν χρήσασθαι τῷ τόξῳ. φαίνεται γὰρ ὁ Ἀντίνοος ἐξῆς

6. παρὰ τὸ addidit Buttm. et σκέπτεσθαι correxit pro σκέπεσθαι. Videri enim esse derivationem vocis μύνη ab habitu ejus qui dum spectare simulat quid agendum sit, oculos claudit.

7. ἵνα ἐπιμείνωσιν] Hoc spectat ad aliam vocis μύνη derivationem παρὰ τῆς μονῆς: sicut alteram ejusdem derivationis rationem habes supra ad v. 71. ἐπιμονῆς γὰρ χρεία κ. τ. ἑ. Nimirum apud Eustathium ad illum versum voci σχεσίη additur, καὶ μύνην τὴν τοιαύτην ἐπισχεσίην μετ' ὀλίγα ἐρεῖ: quibus statim subjungitur ibi hujus etiam vocis explicatio. Idque videtur apud antiquiorem enarratorem, unde sua Eustathius quoque, ita fuisse: nam inscitus ille nostrorum scholiorum compilator in utroque tamen scholio habet quæ apud Eustathium non leguntur. BUTTM.

13. ἔνησε Buttm. pro ἐνῆξε.

www.libtool.com.cn

λέγων μὴ δεῖν τεῖναι τὸ τόξον, ἑορτῆς οὔσης τοῦ τοξικοῦ θεοῦ. καὶ Εὐρύμαχος πείθεται. V.

188. τὼ δ' ἐξ οἴκου βῆσαν] εἰς τὸν πρόδομον ἐξῆλθον. πιθανῶς, ἐπεὶ μακρῷ πρόσθεν ὁ Ἀντίνοός φησιν "κλαίετον ἐξελθόντες" (90.)· καὶ ἅμα ἵνα τῷ Ὀδυσσεῖ συμβαλών. V.

195. ποῖοί κ' εἶτε] τὸ πλῆρες ποῖοί κε εἶτε. τὸ δὲ σημαινόμενον ποῦ ἂν εἴητε κατὰ τὴν γνώμην. V.

196. ἐνείκαι] ἐνέγκοι, ἀγάγοι. V.

ἐνείκαι] γρ. ἐνείκῃ. H.

202. δύναμις καὶ χεῖρες ἔπονται] τῇ δυνάμει καὶ χεῖρες ἀκολουθοῦσιν. V.

ἔσσονται] γρ. ἔπονται. Vind. 133.

211. ὑπότροπον] γρ. ἀπότροπον. H.

212. σφῶϊν] σημείωσαι τὸ σφῶϊν καὶ ἐπὶ τοῦ δευτέρου προσώπου τασσόμενον. Vind. 133.

220. σὺν υἱάσιν Αὐτολύκοιο] γρ. μετ' Αὐτόλυκόν τε καὶ υἷας. M.

222. ἕκαστα] γρ. ἄνακτα. M.

224. κεφαλήν τε] γρ. χεῖράς τε. M.

230. προμνηστῖνοι] εἷς παρ' εἷς, τὸ λεγόμενον, ἄλλος πρὸ ἄλλου, ἀλλεπάλληλοι, ὅ ἐστι παραμένοντες ἀλλήλους. Q.

235. θέμεναι] γρ. δόμεναι. Vind. 133.

238. ἐν ἕρκεσι] τοῖς τοιχίοις. V.

239. προβλώσκειν] ἐξέρχεσθαι, προέρχεσθαι, προβλέπειν. Q. προϊέναι ἔξω. V.

258. τοῖο θεοῖο] τοῦ θεοῦ τοῦ ἐπὶ τοῦ τόξου. V.

274. μετέφη] γρ. προσέφη. H.

278. ἐπεὶ καὶ τοῦτο ἔπος] ὁ Ἀντίνοος. πρὸς γὰρ τὸ δεύτερον τὸ πρότερον. V.

279. ἐπιτρέψαι δὲ θεοῖσιν] εἶξαι καὶ συγχωρῆσαι τῇ ἑορτῇ. V.

289. ὑπερφιάλοισι] νῦν τοῖς κατ' ἀρετὴν διαφέρουσι. V.

291. ῥήσιος] γνώμης. V.

9. ἐνείκαι] Sic H. in textu. In M. ἐνέγκῃ.

14. 15. Scholium hominis indocti, quod ideo tamen ponendum erat, et augurari liceat cujus originis et farinæ intermista sint iis quoque quæ dudum e marginibus corrasa sunt. BUTTM.

25. τοῦ ἐπὶ Barnes. pro τὸ ἐπί.

www.libtool.com.cn

295. οἶνος καὶ Κένταυρον ἀγακλυτὸν] Εὐρύτῳ ὅμως μὲν, ἕνα τῶν ἐν τῷ Πειρίθου γάμῳ Κενταύρων ἀπολομένων τὸν Εὐρυτίωνα λέγει, ὅτε τὴν Ἀδράστου θυγατέρα, λέγω δὴ Ἱπποδάμειαν, Πειρίθους πρὸς γάμον ἀγόμενος ἐκάλεσε κατὰ συγγένειαν Λαπίθας καὶ Κενταύρους. ὑπὸ μέθης δὲ οἱ Κένταυροι προαχθέντες τῶν Λαπιθῶν ἁρπάσαι τὰς γυναῖκας ἐπεχείρησαν. οἱ δὲ ὀργισθέντες ἀνεῖλον τοὺς Κενταύρους. Βακχυλίδης δὲ διάφορον οἴεται τὸν Εὐρυτίωνα. φησὶ γὰρ ἐπιξενωθέντα Δεξαμενῷ ἐν Ἤλιδι ὑβριστικῶς ἐπιχειρῆσαι τῇ τοῦ ξενοδοχοῦντος θυγατρὶ, καὶ διὰ τοῦτο ὑπὸ Ἡρακλέους ἀναιρεθῆναι καιρίως τοῖς ἐκεῖ ἐπιστάντος. V.

298. μαινόμενος κάκ' ἔρεξε] ἤθελε γὰρ συμμιγῆναι τῇ γυναικὶ τοῦ Πειρίθου. Q.

302. ὀχέων] ὑποφέρων, ἢ ἔχων καὶ βαστάζων. V.

ἀεσίφρονι] φρενοβλαβεῖ. V.

303. ἐξ οὗ Κενταύροισι] Ἰξίων ὁ Διὸς παῖς Λαπίθης τὸ γένος κοινωνὸς τῆς θεῶν τραπέζης γενόμενος καὶ πιὼν πολὺ τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας ἁψάμενος, οὐχ ὅπως αὐτὸς ἀμοιβὰς τῷ Διὶ εὐργεσίας

1. Εὐρύτῳ ὅμως μὲν] Hæc tria prima verba in edd. rec. omissa sunt. Sed Barnesius reposuit Ὁμηρος μέν "ad fabulæ dilucidationem" ut ait "nec sine MSto Aloysii." Ego quid eo lucremur non video: et mallem eum in MS. invenisse Εὔρυτον Ὅμηρος μὲν Εὐρυτίωνα λέγει, ἕνα τῶν — ἀπολομένων, ὅτε κ. τ. ἑ. BUTTM.

3. Pro Ἀδράστου, quod in edd. omnibus et in ipso Aloysii MSto, item in Eustath. p. 1910, 6. obtinet, audacter tamen, ut ipse ait, Ἄτρακος reposuit Barnesius, eodemque, quem dicit, errore Hyginum quoque (c. 33.) liberavit: idque non alio probare conatus est quam quod *Atracis* et *Atracia* poetis Latinis dicitur Hippodamia. Quæ tamen appellationes rectius ab urbe Atrace repetuntur, quamvis heros etiam ejus nominis, quem Cænei patrem tradiderunt nonnulli, in fabulis sit. Inter veras autem varietates memorandum est, quod hanc Pirithoi sponsam scholiastes ad Il. α, 263. Ἱπποδαμίαν τὴν Βουτάδα dicit, pro quo in Ven. est Ἱπποβοτίαν τὴν Βούτα; Tzetzes autem ad Scut. Herc. 178. Δίαν τὴν Βουτάτου. Add. infra ad 303. BUTTM.

8. Δεξαμενῷ ἐν Ἤλιδι] δεξάμενος ἐν Ἤλιδι V. Barnes. em. Δεξαμενῷ ἐν Ὠλένῳ ex Apollod. 2, 5, 5. bene, quoad nomen hominis: sed Ἤλιδι intactum relinquendum puto. Olenus enim, finitima Elidi civitas in illis præsertim temporibus huic regioni commode potuit accenseri. Conf. Paus. 5, 3. Eustathius p. 1909, 61. habet ἐπιξενωθέντα τινὶ ἐν Ἤλιδι, unde apparet eum integriora nostris ante oculos hic certe non habuisse. BUTTM.

10. ἐκεῖ] οἴκοις V. Correctum ex Eustathio.

15. Rejectum hoc scholion in ed. ant. ad calcem libri. BUTTM.

www.libtool.com.cn

ἐσκέπτετο, ἀλλὰ διὰ τῆς ἐμφύτου κακίας ἐπείραζε τὸν τῆς Ἥρας γάμον. ὑποπτεύσασα δὲ ἡ θεὸς ἀνήνεγκε τῷ Διὶ τὴν Ἰξίονος λύσσαν. ὁ δὲ ἐνθυμούμενος ζήλῳ πάλιν τοῦτο ταύτην δρᾶν διαβάλλουσαν τοὺς ἐξ αὐτοῦ γεγενημένους, ἔκ τινος ὅμως ἐπιτεχνήσεως τῆς Ἰξίονος ἐπειρᾶτο γνώμης. σκοπῶν δὲ εὗρε τὸ ἀληθές. νεφέλην γὰρ Ἥρᾳ παρεικάσας μόνην ἐν τῷ θαλάμῳ τοῦ Ἰξίονος κατέλιπεν, ὁ δὲ ὡς Ἥραν ἐβιάσατο. τοῦτον οὖν ὁ Ζεὺς ἀγανακτήσας ἴσῃ θανάτῳ περιέβαλε τιμωρίᾳ. γευσάμενον γὰρ τῆς ἀμβροσίας οὐκ ἦν αὐτὸν ἀποθανεῖν. ἀλλὰ τροχοὺς ποιήσας ὑποπτέρους ἔδησε τὸν Ἰξίονα πρὸς τὰς τῶν τροχῶν κνημῖδας καὶ εἴασε κατὰ τοῦ σφαιροειδοῦς φέρεσθαι βοῶντα ὡς τοὺς εὐεργέτας ἀμείβεσθαι προσῆκεν. γίνεται δὲ ἐκ τῆς νεφέλης παῖς Ἰξίονος διφυὴς τὰ μὲν κατώτερα μέρη τῆς μητρὸς ἔχων· αἱ γὰρ νεφέλαι ἵπποις ἐοίκασι· τὰ δὲ ἀνώτερα μέρη ἀπὸ τοῦ ὀμφαλοῦ μέχρι τῆς κεφαλῆς τοῦ πατρὸς Ἰξίονος. φερόμενος δὲ οὗτος κατὰ Μαγνησίαν ἀκόλαστον εἶχε τὴν ὁρμὴν πρὸς τὰς συνουσίας· ἐῴκει γὰρ τοῦ πατρὸς ἀκολασίᾳ· καὶ πολλάκις ἐπλησίαζε ταῖς κατὰ τὸ Πήλιον ἵπποις. ἐντεῦθεν λέγεται τὸ τῶν Κενταύρων ἀναφυῆναι γένος. ὅθεν καὶ τὸν Πειρίθουν, ἐπίκλησιν Ἰξίονος υἱὸν ὄντα λαμβάνειν ἐθέλει γύναιον παρὰ τῶν συγγενῶν Κενταύρων τὴν βάσιν τοῦ προύχοντος αὐτὸν παρθένον Ἱπποδάμειαν. ἡ ἱστορία παρὰ Πινδάρῳ. V.

306. ἐπητύος] μεταιτήσεως. V.

7. ἴσῃ Barnes. pro ἴσῃ.

19. ἐθέλει— Ἱπποδάμειαν] Reliqui postrema hæc corruptissima prout leguntur in ed. Argent. Recentiores habent ἐθέλειν—αὐτῶν παρθένων: e quibus verbis ultimum nonnisi per sphalma, duo autem prima rectissime mutata puto. Ita sat manifesta vestigia habemus narrationis secundum quam Pirithous solus e Lapitharum, Hippodamia autem e Centaurorum genere fuit. Et sponsæ quidem patris nomen e corrupto illo βάσιν alii fortasse eruent. Nisi excidit forte aliquid quod explicaret quomodo cum Centauri filia consuescere potuerit Pirithous; ut: τὴν ἀνθρωπίνην τὴν (h. e. κατὰ τὴν) βάσιν, τοῦ προύχοντος αὐτῶν παρθένον, Ἱπποδαμίαν. BUTTM.

20. Πινδάρῳ] Pyth. 2, 39—88.

21. ἐπητύος] Ex integrioribus ad hunc locum scholiis sumta sunt hæc Apollonii in Lexico, ἐπητῇ: λογίῳ, παρὰ τὰ ἔπη (sic etiam Hesych.: παρὰ τὸ ἔπος dixit schol. et Eustath. ad Odyss. ν, 332.)· "ἐπητῇ δ' ἀνδρὶ ἔοικας" (Od. σ, 127.). ἐν δὲ τῇ Φ τῆς Ὀδυσσείας "οὐ γάρ τευ ἐπητύος ἀντεβόλησας." Ἀρίσταρχος δὲ ἐπητέως διὰ τοῦ ε, καὶ λόγος ὑπάκειται τοιοῦτος· ἐπητέως, οἷον εὐγνώμονος. τίθησι δὲ καὶ τὴν λέξιν ἐπίπαν ἐπὶ τοῦ συνετοῦ· "οὕνεκ' ἐπητής ἐσσι καὶ ἀγχίνοος καὶ ἐχέφρων," καὶ οὐκ ἐπητύος. ἐπητέως utrobique vitiose scriptum pro ἐπητέος, quod restituit Villoisonus, legitque Hesychius, qui ἐπητέος (in codice ἐπίτεος scriptum) explicat εὐλογίστου, εὐγνώμονος, συνετοῦ, πρᾴου.

www.libtool.com.cn

310. μηδ' ἐρίδαινε] γρ. μηδ' ἐρέεινε. Vind. 50.

318. τοῦ εἵνεκα] τούτου χάριν, ὅτι οὕτως ἐμὲ ἄξεται. V.

319. οὐδὲ ἔοικε] τοῦτο ὑμᾶς ἐννοεῖν. V.

333. ἐλέγχεα πάντα] γρ. ταῦτα. H.

334. εὐπηγὴς] εὐπαγής. V. εὐτραφής. Q.

335. ἀνδρὸς] γρ. πατρός. M.

346. κραναὴν Ἰθάκην] ὑψηλήν. Q.

347. νήσοισι πρὸς Ἤλιδος] ταῖς περὶ τὸ Δουλίχιον. V. γρ. οὐδ' ὅσσοι ναίουσι. H.

349. καθάπαξ] καθόλου. τοῦτο δὲ οὕτως ἔχει παρὰ τῷ ποιητῇ ἐν ᾧ τῆς προηγουμένης λέξεως ληγούσης εἰς ξ, καὶ ἡ ἑξῆς ἄρχεται ἀπ' αὐτοῦ. V.

351. γυναιξὶν] γρ. κέλευε. M.

352. μῦθος] γρ. τόξον. M. γρ. τόξον· ἢ περὶ τῆς τοῦ τόξου δόσεως μῦθος. Vind. 56.

353. στίχος· ὣς φάτο· ῥίγησεν δὲ περίφρων Πηνελόπεια. M.

363. πλαγκτέ] παραπλῆξ, τὴν διάνοιαν πεπλανημένε. V.

387. μεγάρων εὐναιεταόντων] οἰκημάτων καλῶς κατεσκευασμένων. Q.

386. γρ. ὣς ἔφαθ'· ἡ δὲ μάλ' ὀτραλέως τὸν μῦθον ἄκουσεν. M.

390. ὅπλον] σχοινίον. Q.V.

391. βίβλινον] καννάβινον. ἢ τὸ ἐκ παπύρου. Q.V.

395. ἴπες] θηρία ἐσθίοντα τὰ κέρατα, παραπλήσια κώνωψι. κατανοεῖ δὲ μὴ ἄρα ἄχρηστα αὐτῷ γένηται, καὶ ἑτέρᾳ δέον χρήσασθαι μηχανῇ. V.

Hinc lucem accipit schol. H. supra ad ν, 332. ubi est οὕνεκ' ἐκήτης (superscripto ἐκῆτις) ἐσσὶ, χωρὶς τοῦ τε (nam vulgo ἐκήτης τ' ἐσσί), τῇ δὲ προσῳδίᾳ ὡς ἀεικής, φησὶν Ἀρίσταρχος etc.

P. 703, 21. μεταιτήσεως] ὡς ἀπὸ τοῦ ἐπαιτεῖν addit Eustath. p. 1911, 8.

P. 704, 8. γρ. ναίουσι etiam in M. annotatum ad νήσοισι.

10. τοῦτο δὲ οὕτως ἔχει] Collato Eustathio Barn. em. οὕτως οὐκ ἔχει ἑτέρωθι: fortasse probabilius οὐχ ἑτέρωθι οὕτως ἔχει. Sed ne sic quidem recte procederet sequens ἐν ᾧ. BUTTM.

15. μῦθος] Sic M. et Vind. 56. in textu, quod illatum ex α, 358.

17. Versus 352—359. M. habet in margine a m. secunda antiqua: recentior post v. 353. inseruit illum ὣς φατο—Πηνελόπεια, præscripto στίχος. Eundem versum Vindob. 133. in textu habet. "Quem ante illud ἡ μέν ex more Homeri tantum non necessarium esse puto." BUTTM.

22. ἢ τὸ] οἱ δὲ τὸ V. Plenior explicatio ap. Eustath. p. 1913, 28.

www.libtool.com.cn

397. θητὴρ] θαυμαστικός, ἔμπειρος. V.

ἐπίκλοπος] ἐπιθυμητὴς, ὀρεκτικὸς, κλέπτης. κλέπτειν γὰρ τὸ ἐπιθυμεῖν, καὶ κλέπτης ὁ ἐπιθυμητὴς τῶν ἀλλοτρίων. V.

ἐπίπλοκος] γρ. ἐπίκλοπος. H.

399. ἐφορμᾶται] προτεθύμηται. V.

400. ἔμπαιος] ἔμπειρος. Q.

402. τοσοῦτον ὀνήσιος ἀντιάσειεν] ὁ νοῦς· εἴθε καὶ ἐπὶ τοσοῦτον ὄνησιν ὧν βούλεται λάβοι. ἢ οὕτως· εἴθε τοσοῦτον μετάσχοι, ὅσον δυνήσεται ἐντανύσαι. V.

ὀνήσιος] ὠφελείας. ἢ τῆς βρώσεως ἣν εἰλήφει παρὰ τῶν μνηστήρων. V.

407. νέῳ] ἀντὶ τοῦ καινῷ. V.

κόλλοπι] κολλάβῳ. εἴρηται δὲ παρὰ τὴν κόλλαν. V. ἔνθα τείνονται αἱ ἐν τῇ λύρᾳ χορδαί. Q.

408. ἕντερον οἰὸς] τὴν χορδήν. V.

417. κοίλης] βαθείας, διὰ τὸ γεγλύφθαι. V.

419. πήχει] τῷ τοῦ τόξου κέρατι. V.

422. πρώτης στειλειῆς] ἀπὸ πρώτης γὰρ ὀπῆς τῶν πελέκεων διηνεκῶς ἦλθεν. V.

423. χαλκοβαρής] ὁ ἀπὸ σιδήρου ἰσχυρός. V.

428. νῦν δ' ὥρη καὶ δόρπου] παρέλκει τὴν διάνοιαν αὐτῶν. τὸ μὲν οὖν δεῖπνον ἀντὶ τοῦ θανάτου, τὸ δὲ ἐψιάασθαι ἀντὶ τοῦ οἰμώζειν. V.

429. ἐν ὅσῳ ἡμέρα τε καὶ φῶς ἐστι. H.

ἐψιάασθαι] παῖξαι. Q. τέρπεσθαι. V.

431. ἀμφέθετο] ἐπεῖχεν, ηὐτρέπισεν. V. ηυτρέπισε. Q.

8. ὅσον Buttm. pro ὡς οὐ.

13. κόλλοπι] Etym. Gud. p. 334, 12. κόλλοψ: ὁ ἐκ τῶν αὐχενίων δερμάτων γινόμενος πασσαλίσκος . . . οὕτως εὗρον ἐν ὑπομνήματι Ἀνδρονίκου εἰς τὸ δος, quorum postrema sic sunt corrigenda Ἀριστονίκου εἰς Ὀδύσσειαν, quod vidit Beccardus in dissert. de schol. Homeri (Berol. a. 1850.) p. 14. 21. collata alia ejusdem Etymologici glossa (κρίκος) p. 348, 20. quæ finitur verbis οὕτως εὗρον ἐν ὑπομνήματι Ἰλιάδος Ἀριστονίκου, ubi Ἀριστονίκου nomen omissum est in Etym. M. p. 541, 3.

18. ἀπὸ πρώτης Buttm. pro ἀπρώτης. Alii διὰ πρώτης.

www.libtool.com.cn

Χ.

ΥΠΟΘΕΣΙΣ.

Τὰ περὶ τὴν μνηστηροφονίαν ἐργασάμενος Ὀδυσσεὺς παρούσης Ἀθηνᾶς ἐν τοῖς ἑξῆς τὰς θεραπαίνας διὰ Τηλεμάχου καὶ τῶν οἰκείων κολάζει ἅμα Μελανθίῳ. P.V.

ΑΛΛΩΣ.

Μνηστηροφονία. ἡ τῶν σωμάτων συγκομιδή. καὶ ὡς καθαίρει τοῦ φόνου τὸν οἶκον ὁ Ὀδυσσεύς. Q.V.

---

1. αὐτὰρ ὁ γυμνώθη ῥακέων] τὴν ῥακώδη ἀπεδύσατο ἐσθῆτα, οὐχ ὅλως, ἀλλὰ τῶν περιττῶν καὶ ῥακωδῶν, τὰ σκέποντα τὰ ἀναγκαῖα ἔχων. ἑξῆς γοῦν ἡ Εὐρύκλειά φησιν "μηδ' οὕτω ῥακέοσσι πεπυκασμένος εὐρέας ὤμους ἕσταθι" (488.). V.

9—12. ἤτοι ὁ καλὸν ἄλεισον ἀ. ἔμελλεν χρύσεον — — μετ' ἀνδράσιν] Διονύσιος ὁ Θρᾷξ ἐν ταῖς Μελέταις φησὶ τὴν παροιμίαν "πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου" ἀπὸ τούτου διαδεδόσθαι. προστιθέμενος γὰρ Ἀντίνοος τὸ ἔκπωμα βάλλεται. λέγει δὲ Ἀριστοτέλης περὶ τῆς παροιμίας οὕτως. Ἀγκαῖος ὁ Ποσειδῶνος καὶ Ἀστυπαλαίας Σάμιος ὢν τὸ γένος ἔχων οἰκέτην ἀπὸ Κρήτης ἐκέλευσεν αὐτῷ προσφέρειν ποτὸν πίνειν. εἰπόντος δὲ αὐτοῦ ὡς οὐ δυνή-

1—9. Utrumque Argumentum habet Eustath. p. 1916., alterius verbis leviter mutatis.

13. Cum longo isto lemmate hoc scholium in ed. ant. ad finem libri rejectum est. Conferendum autem illud est cum Zenob. 5, 71. et Tzetze ad Lycophr. 489. qui itidem Aristotelem testem laudat, et quidem τὸν τοὺς Πέπλους συντάξαντα: vid. Jacobs. ad Anthol. vol. 6. p. 367. (Aristot. num. 3.) Locum autem hæc de Ancæo in Peplo habuisse videntur in genealogia Agapenoris Ancæi filii. BUTTM.

14. φησὶ—διαδεδόσθαι] ἵνα φησὶν τὴν πολλὰ—ἄκρους ἀφ' οὗ παροιμίαν διαδεδόσθαι ed. ant. In Vind. 5. ἐν τ. μ. φασὶ τὴν πολλὴν μ. π. κ. κ. χείλεος παροιμίαν ἐνθένδεν ἔλαβε. προστιθέμενος γὰρ Α. τὸ πῶμα βάλλεται, omissa reliqua scholii parte. BUTTM. Ex eodem Dionysii loco excerpta sunt quæ habet Etym. M. p. 365, 20.

16. ἔκπωμα ex Zenobio pro πῶμα.

18. οἰκέτην ex Zenobio pro ἰκέτην.

19. εἰπόντος — τυγχάνουσιν] Confusa narratio. Inspice Zenobium, ubi videbis servum longe antea, cum vineam plantaret Ancæus, dixisse μὴ μεταλήψεσθαι δεσπότην τοῦ καρποῦ. BUTTM.

σεται πιεῖν ὅθεν ἐντεῦθεν αἱ ἄμπελοι τυγχάνουσιν, αὐτὸς ὁ Ἀγκαῖος κατακερτομήσας τοὺς θεράποντας ἔλαβε τὴν κύλικα καὶ προσέθετο. λέξαντος δὲ ἐκείνου "πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου" ἄφνω συνέβη χρῆμα συὸς μεγάλου ἐπιζαρῆσαι τοῖς τοῦ Ἀγκαίου χωρίοις. ἀκούσαντα δὲ αὐτὸν ἀπὸ τῶν χειλέων τὴν κύλικα καταθεῖναι καὶ δραμεῖν ὡς τὸν ἄγριον ὗν, συμβαλόντα δὲ τῷ κάπρῳ τελευτῆσαι. ἔνθα φησὶ κατανοῆσαι τὴν παροιμίαν. V.

14. μέλαιναν] γρ. φυτεῦσαι. Vind. 5. et 50.

19. αὐλὸς αἵματος] τὸ ἐξακόντισμα, ὁ κρουνὸς τοῦ αἵματος. πᾶν γὰρ τὸ στενὸν αὐλὸν ἔλεγον. ὅθεν καὶ τοὺς στενοὺς ποταμοὺς ἐναύλους. V.

27. τοξάζεαι] τοξεύων ἐπιτυγχάνεις. V.

31. ἴσκε] ἄλλοι μὲν τὸ ἔλεγεν σημαίνειν βούλονται. MS. Barnes. οὐδέποτε Ὅμηρος ἐπὶ τοῦ ἔλεγε τὸ ἴσκε, ἀλλ' ἐπὶ τοῦ ὡμοίου ἡπάτηται οὖν ὁ διασκευαστὴς ἐκ τοῦ "ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα" (τ, 203.). Vind. 31.

35. νεῖσθαι] ἐλθεῖν, ἐπανήξειν. V.

36. κατεκείρατε] κατεδαπανᾶτε. V.

38. ὑπεμνάασθε] ὑπεφθείρετε, λεληθότως ἐμνηστεύεσθε. περὶ δὲ τῆς ἐπιβουλῆς τοῦ Τηλεμάχου οὐκ ὠνείδιζεν, ἴσως ἐπεὶ προεπιβεβουλευμένοι ἠμύνοντο. ἔφη γὰρ "πειρήσω ὥς κ' ὔμμι κακὰς ἐπὶ κῆρας ἰήλω" (β, 316.). V.

3. πολλὰ scripsi pro πολύ.

4. ἐπιζαρῆσαι codex Barnes. ἐπιβαρῆσαι V.

9—11. αὐλὸς] Eadem fere κατὰ τοὺς παλαιοὺς tradidit Eustathius p. 1917, 31.

14. οὐδέποτε—] Hanc Aristonici observationem esse conjicit Lehrs. Arist. p. 106.

17. Omiserunt scholium recentiores, quoniam hodie in textu οἴκαδ' ἱκέσθαι. Sed οἴκαδε νεῖσθαι est in cod. Vind. 133. BUTTM.

22. Post ἰάλω V. pergit ἰάλω ἀντὶ τοῦ ἐγνοήσατε. ἔσεσθαι ἀναγνωστέον, ἵν' ᾖ δείσαντες ἔσεσθαι. In MS. Aloys. (si recte Barnesium intelligo) pro priori ἔσεσθαι scriptum ἔσεσθε, quod in aliquibus etiam codd. in textu est pro eo quod nunc editur ἔθεσθε. Hoc ipsum autem ἔθεσθε in scholiorum edd. recentt. instar lemmatis novi scholii ita positum est: 40. ἔθεσθε] ἀναγνωστέον, ἵν' ᾖ, δείσαντες ἔσεσθαι: sine sensu. Barnesius codicis sui rationem diserte non exponit, sed hoc verissimum vidit, ἐγνοήσατε corruptum esse ex ἐνοήσατε, quo explicaretur verbum ἔθεσθε. Cetera quomodo constituerit apud ipsum vide: mihi simplicissimum visum est, ut scholio priori in voce ἰάλω terminato, et lemmate ἔθεσθε loco alterius ἰάλω posito, reliqua ita ordinentur: 40. ἔθεσθε] ἀντὶ τοῦ ἐνοήσατε. (ins. ἢ) ἔσεσθαι ἀναγνωστέον, ἵν' ᾖ, δείσαντες ἔσεσθαι. BUTTM.

www.libtool.com.cn

40. ἔθεσθε] ἀντὶ τοῦ ἐνοήσατε. M.V.

ἔσεσθαι ἀναγνωστέον, ἵν' ᾖ, δείσαντες ἔσεσθαι. V.

49. ἐπίηλεν] συνέστησεν. V.

54. ἐν μοίρῃ] δικαίως, δεόντως. MS. Barnes.

57. ἀμφὶς ἄγοντες] χωρὶς ἕκαστον διδόντες. V.

68. φίλον ἦτορ] γρ. φίλον κῆρ. H.

74. φάσγανά τε σπάσασθε] ἐξιφοφόρουν γὰρ οἱ παλαιοί. V.

82. ἰὸν ἀποπροΐει, βάλε δὲ στῆθος] γρ. ἰὸν ἀποπροϊεὶς βάλλε στῆθος. Vind. 133.

84. περιρρηδὴς] περικλινής. H.Q. περικλασθεὶς ἢ περιρραγείς· ἢ περιρρεόμενος ἢ περιρρυεὶς, ἢ περιφερής. V.

85. κάππεσε δινηθείς] γρ. ἰδνωθείς. ἐπικαμφθεὶς, ἐπιστρέψας. M.

89. Ὀδυσῆος ἐείσατο] ὡς ἐπὶ Ὀδυσσέα ὥρμησεν. V.

92. Τηλέμαχος κατόπισθε] ἐγγὺς τοῦ Ὀδυσσέως γενόμενον τὸν Ἀμφίνομον παραλλάξας κατὰ τοῦ νώτου ἔβαλεν. πιθανῶς δὲ πρώτην ἀριστείαν Τηλεμάχου διέθετο ἐν ᾗ τὸν πατέρα διέσωσεν. V.

97. ἐλάσειε] πλατεῖ τῷ ξίφει πλήξειεν. V.

98. προπρηνέϊ] κατὰ στόμα τῷ ξίφει ὀρθὸς εἰς τοὔμπροσθεν μὴ ἀνατείνας, ἀλλὰ νύξας ὑπτίως. οἱ μὲν γὰρ νύττοντες πλατὺ ἔχουσι τὸ ξίφος, οἱ δὲ πλήττοντες πλάγιον. V. προπρηνέϊ] προνεύοντι. Q.

ἠὲ προπρηνέϊ τύψῃ] γρ. ἢ τύψειε. H.

126. ὀρσοθύρῃ] ἐν τῷ τοῦ οἴκου ἐναντίῳ τοίχῳ θύρα ἦν δι' ἧς εἰς τὸν θάλαμον ἦν ἀναβῆναι, ἔνθα τὰ ὅπλα ἔκειτο. εἶπεν δὲ οὕτως, ἐπεὶ ὑψηλοτέρα ἦν ἐφ' ᾗ ἦν ὀροῦσαι καὶ ἀναθορεῖν. V.

128. λαύρην] στενὴν ὁδὸν, δι' ἧς οἱ λαοὶ ῥέουσι καὶ φέρονται· οἱονεὶ ἄμφοδον. V. στενὴν ὁδόν. Q.

3. ἐπίηλεν] Aristarchi interpretationem ἐπεισέπεμψεν memorat Apollon. in Lexico.

8. ἀποπροΐει, βάλε δὲ] Hoc etiam M. in textu habet.

βάλλε] βάλε Vind.

10. Etym. M. ex Oro: περιρρηδής· περιρραγὴς, περιρρυής. οὕτως Ἀλέξανδρος ὁ Κοτυαεύς. Πῶς δὲ Περιφερὴς, περιρρυής. Aristarchi interpretationem, στρεβθεὶς, περιφερὴς ἔπεσε τῇ τραπέζῃ, ὡς περικλασθῆναι περὶ αὐτὴν, memorat Apollon. in Lexico.

20. προπρηνέϊ] Literæ ϊ superscriptum α in H., quo significatur προπρηνέα. "Nimirum præter receptam hodie lectionem ἠὲ προπρηνέϊ τύψας, quinque aliæ erant, cum præter dativum accusativus etiam, et præter participium conjunctivus etiam et optativus invenirentur, optativo autem conjunctio monosyllaba ᾖ se adaptaret, ᾖ προπρηνεῖ (vel -έα) τύψειεν." BUTTM.

www.libtool.com.cn

εὖ ἀραρυῖαι] καλῶς ἡρμοσμέναι. V.

129. φράζεσθαι] τηρεῖν, φυλάσσειν. Q.

130. ἐφορμή] ἔξοδος. ἦν δὲ ἑνὸς μόνου ἔξοδος ἐν τῷ ἀντικρὺς τῆς εἰσόδου τοίχῳ τοῦ ἀνδρῶνος. ἐν τῇ δεξιᾷ γωνίᾳ ἦν ὀρσοθύρα, ἥτις εἰς τὴν λαύραν ἔφερεν. ἡ δὲ λαύρα στενωπός ἐστι παρακείμενος ἔξωθεν τοῦ ἐν δεξιᾷ τοίχου, ἐν ᾧ καὶ ὁ θάλαμος, οὐχ ὁ Πηνελόπης, ἀλλ' ἐν ᾧ τὰ ὅπλα ἔκειτο. αὕτη δὲ ἡ λαύρα ἔξοδον ὡς εἰς τὸν πρόδομον εἶχεν. ἑνὸς δὲ ἦν ἔξοδος. ὀρσοθύρα, λαύρα, θάλαμος, ἀνδρὼν, οὐδὸς, πρόδομος. V.

143. ῥῶγας] ῥήγματα, θυρίδας, ἢ τὰς τῆς οἰκίας ὑπερώας διόδους. V.

152. οὐ μόνον ἐπὶ δυϊκοῦ λέγει τὸ νῶϊν, ἀλλὰ καὶ ἐπὶ πληθυντικοῦ. καταχρηστικῶς δὲ ὅτε καὶ πρὸς ἕνα διαλέγεται. H.

154. ἄμβροτον] ἀντὶ τοῦ ἔπταισα. V.

158. καὶ φράσαι] τὸ φράσαι οὐ μόνον ἐπὶ ψυχικῆς ἐννοίας, ἀλλὰ καὶ ἐπὶ ὄψεώς φησιν ὁ ποιητής. Q.

165. ἀΐδηλος] ὀλέθρου ἄξιος. Q. 173. σφῶϊ] ὑμεῖς οἱ δύο. V.

174. σανίδας δ' ἐκδῆσαι] τοῦτο τελευταῖόν ἐστι· μετὰ γὰρ τὸ κρεμάσαι, τότε κλείσατε τὰς θύρας, ἵνα μὴ ἄλλος εἰσέλθῃ. H. τὸ ἐξῆς, σφῶϊ ἀποστρέψαντες, σειρὴν δὲ πλεκτὴν ἀπ' αὐτοῦ πειρήνατε

3. ἐφορμή] Comparanda cum his longior annotatio Eustath. p. 1921.

8. Post ἔξοδος interpunxi et θάλαμος, ἀνδρών cum Buttm. scripsi pro θάλαμον ἀνδρῶν.

οὐδὸς, πρόδομος] Lemma est οὐδός cum gl. πρόδομος in V. et cod. Barnesii. In recentioribus editionibus corrupte οὗτος: πρόδομος idque inepte relatum ad v. 134. Barnesius rescripsit ἰδός rettulitque ad 128. Sed manifesto respicitur vox οὐδόν v. 127. Ego mentem extremæ hujus scholii partis nondum quidem perspicio: sed hoc tamen videre videor, nomina omnia locum definientia nominativo casu hic coacervata fuisse, ὀρσοθύρα, λαύρα, θάλαμος, ἀνδρών, οὐδός, πρόδομος, quorum sensum sustulit fortasse lacuna. BUTTM.

11. Ex scholio perdito ad v. 144. hæc excerpsit Eustath. p. 1921, 54. σημείωσαι δὲ καὶ ὅτι τὸ περὶ τῶν δώδεκα σακέων καὶ τὸ ἐφεξῆς Ἀρίσταρχος ἀθετήσας κεχλακεν, ἀδύνατον εἶναι εἰπὰν τοσαῦτα βαστάσαι ἄνθρωπον.

20. σφῶϊ (scribebatur σφῷϊν) — ἐκδῆσαι] Recentiores editiones σφῷϊν ἀποστρέψαντε πόδας καὶ χεῖρας εἰς θάλαμον ἐμβάλλατε. σειρὴν δὲ πλεκτὴν ἐπ' αὐτοῦ πειρήναντε ἀνὰ κίονα ὑψηλὴν ἐρύσατε σανίδας δ' ἐκδήσατε —. Sed hæc maximam partem præter necessitatem interpolata sunt, nisi quod dualia ἀποστρέψαντε et πειρήναντε cum præp. ἀνά recte reddunter scholiastæ; qui textum sedulo contraxit, verba autem non mutavit. Mentem ejus plenius explicat schol. Q. BUTTM.

ἀπ' vel ἐξ Buttm. pro ἐπ'.

www.libtool.com.cn

κίονα ὑψηλὴν ἐρύσαι, σανίδας δ' ἐκδῆσαι. ἢ ὄπισθεν κλείσατε τὰς θύρας μετὰ ταῦτα. V.

τὸ ὄπισθεν χρονικῶς, ἀντὶ τοῦ μετὰ ταῦτα, τὰς σανίδας, ὅ ἐστι τὰς θύρας, δήσαντες ἐξελθόντες καὶ ἐάσαντες αὐτὸν ἐρριμμένον. εἶτα ὡς μεταγνούς φησι, μᾶλλον δὲ μὴ ἐρριμμένον ἐάσητε, ἀλλὰ κρεμάσατε. λείπει οὖν τὸ μᾶλλον, ὡς ἐν τῇ συνηθείᾳ φαμὲν, ἄπελθε εἰς τὴν ἀγοράν, εἶτα ὡς μεταγνόντες φαμὲν * * *. Q.

ὄπισθεν] γρ. ἰμάντι. Vind. 133.

175. σειρὴν] πλέγμα, σχοινίον. πειρήναντες] ἐκδήσαντες. V.

176. ἐρύσαι] ἁπαρτῆσαι. V.

183. τρυφάλεια] περικεφαλαία τριφάλειά τις οὖσα, ἢ τρεῖς φάλους ἔχουσα. V.

184. πεπαλαγμένον ἄζῃ] μεμολυσμένον τῇ ξηρότητι. H.Q. ἄζῃ] εὐρῶτι ἢ ξηρασίᾳ. V.

ἠφανισμένον εὐρῶτι, ἢ μέλανι κεχρωσμένον. εὐρὼς δέ ἐστιν ἡ τοῖς μυδῶσιν ἐπιγινομένη λευκότης ἀράχνῃ προσφερής. Q.

185. ὃ κουρίζων φορέεσκε] ἅπερ ἔφερε νέος ὤν. H.

188. κουρὶξ] ὁ μὲν Ἀρίσταρχος, τῆς κόμης ἐπιλαβόμενοι· ὁ δὲ Κράτης, κουρίξ τὸ νεανικῶς. V. ἐκ τῶν τριχῶν λαβόμενοι, ἢ νεανικῶς, ἢ ἐκ τῆς κόρσης, ὅ ἐστι τῆς κεφαλῆς, ἔνθεν καὶ κουραὶ εἴρηνται. Q.

192. πειρήναντες] δήσαντες. Q.

198. οὐδέ σε λάθῃ ἡ ἡμέρα ὥστε φέρειν αἶγας. H.

201. τὼ δ' ἐς τείχεα δύντε] ἀποδυσάμενοι γὰρ ἦσαν, ἵνα δεσμεύσωσιν ἀνεμποδίστως τὸν Μελάνθιον. Q.

7. μεταγνόντες Buttm. pro μεταγνόντα.

φαμὲν] Sequuntur in Mediol. sine ullo lacunæ signo hæc ἠφανισμένον εὐρῶτι κ. τ. ἑ. quæ ad locum suum v. 184. remisimus. Apparet scribam ab altero in alterum scholium aberrasse, sed non ita magno damno: nam facile ad priorem hunc locum mens enarratoris suppletur. BUTTM.

15. ἠφανισμένον] Hoc verbum in Mediol. statim adhæret voci φαμέν in scholio ad 174. Fieri potest igitur ut cum lemmate alia etiam interciderint. BUTTM.

19. τὸ νεανικῶς] ὁ νεανίσκος V. Correctum ex scholio proximo et Eustathio p. 1942, 11.

20. ἢ post νεανικῶς addidit Buttmann.

κόρσης] κόρης Q. Emendavi ex Etym. M. v. κουρόσυνα, ubi leguntur hæc: κοῦριξ (sic), ἐκ τῆς κόρσης, τουτέστι τῆς κεφαλῆς, ὅθεν καὶ ἡ κουρά. ἐν Ὑπομνήματι χ Ὀδυσσείας. BUTT.

24. 25. Huc scholium a v. 186. transtuli. Nam non tum primum

www.libtool.com.cn

205. ἐπαγχίμολον] ἀντὶ τοῦ ἐγγύς. ἔστι δὲ ἐπίρρημα. H.

208. ἀρὴν] τὴν βλάβην τοῦ πολέμου δηλονότι. H.Q.

210. οἰόμενος] ἀντὶ τοῦ πεπιστευμένος. V.

218. τῇ σῇ κεφαλῇ ταῦτα τίσεις. H.

227. τῇ ἐχούσῃ πατέρα τὸν Δία. H.

232. ἄντα μνηστήρων ὀλοφύρεαι] νῦν, ἀποδειλιᾷς, ἢ ὑποκρίνῃ, ὑποδεέστερος γίνῃ. ἢ ἐλλείπει ἡ περί, ἵν' ᾖ περὶ μνηστήρων. V.

236. τότε λέγεται εἶναι ἑτεραλκὴς ἡ νίκη, ὅταν τὸ ἕτερον μετατραπῇ. H.

239. μέλαθρον] τὴν ὀροφήν· "πολλὰ δὲ καθύπερθεν μελαθρόφιν ἐξεκέχυντο" (Od. θ, 279.). Q.

240. χελιδόνι εἰκέλη] οὐκ ἀληθῶς εἰς χελιδόνα μετεβλήθη ἡ θεὸς, οὐδὲ Ἑρμῆς ὁ λόγος ὄρνιθι ἐοικὼς (Od. ε, 51.), οὐδὲ ἡ αἰθυίη εἰκυῖα (ε, 337.) Λευκοθέα, οὐδὲ ὁ Πρωτεὺς πῦρ ἐγένετο. ἔκαυσε γὰρ τὸν Μενέλαον. τοῖς γὰρ ὁρῶσι δοκεῖ τοῦτο καίπερ ψευδὲς ὑπάρχον. H.Q.

248. κενῶς καυχησόμενος. H.

250. ἐπὶ τῷ ἄκρῳ τῶν θυρῶν. H.

256. ἱέμενοι] μεθ' ὁρμῆς ἀφιέντες. H.

258. σημειῶδες· ἀεὶ γὰρ τὸ βάλλειν παρ' Ὁμήρῳ ἐπὶ τοῦ τυχεῖν. H.

264. ἐπὶ προτέροισι κακοῖσι] σὺν οἷς ἔπραττον πρώην κακοῖς. Q.

270. μεγάροιο μυχόνδε] εἰς τὸν ἐνδότερον τόπον τοῦ ἀνδρῶνος, ὡσεὶ ἔλεγε, πρὸς αὐτὸν τὸν τοῖχον τὸν ἀντικρὺ τῆς εἰσόδου. Q.

273. πολλὰ εἶπεν, ἐπεὶ ἔνια καὶ ἐπέτυχον. H.

278. λίγδην] ὥστε ἐπιλίζαι, ὅ ἐστιν ἐπιψαῦσαι ἐπιπολαίως μονον τὴν ἔξωθεν ἐπιφάνειαν τοῦ σώματος. V. ξεστικῶς. ἅπαξ δὲ ἐνταῦθα, καὶ ἅπαξ ἐν Ἰλιάδι (ρ, 599.) ἐπιλίγδην. Q.

287. φιλοκέρτομε] ὁ τὸν φίλον σκώπτων. V.

πολυκέρτομε] γρ. φιλοκέρτομε. M.

288. μέγ' εἰπέμεν] ἀντὶ τοῦ καυχήσασθαι. V.

μέγα εἰπεῖν] μεγαλορρημονῆσαι. H.

296. ἤριπε δὲ πρηνὴς] οὕτος ἐπ' αὐτὴν πίπτει τὴν πληγήν. V.

arma induisse eos apparet e v. 114. BUTTM.

13. οὐδὲ ἡ (εἰ H.) αἰθυίη εἰκυῖα] οὐδὲ αἰθεὶη οἰκεία Q.

14. Πρωτεὺς] Od. δ, 418. in prædictione Idotheæ, non in ipsa postea narratione, ubi ignis non memoratur. BUTTM.

www.libpolycon.gr

298. ἐπτοίηθεν] ἐν εὐλαβείᾳ καὶ φόβῳ ἐγένοντο. V.

299. οἱ δε φέβοντο — — ἐδόνησεν] ὁ οἶστρος ἀπογεννᾶται ἐκ τῶν ἐν τοῖς ποταμοῖς πλαγίων ζωαρίων τῶν ἐπιπλεόντων τὰ ὕδατα. διὸ καὶ πλεῖστα περὶ αὐτὰ γίνονται. ὁ δὲ μύωψ ἐκ τῶν ξύλων ἀπογεννᾶται. καὶ Καλλίμαχος περὶ τοῦ μύωπος "βουσόον, ὅντε μύωπα βοῶν καλέουσιν ἀμορβοί." εἰσὶ δὲ οὗτοι πολέμιοι τοῖς βουσίν. ὅταν γὰρ κατὰ τὴν λαπάρην αὐτοὺς δρύψωσιν, εὐθέως ἀπολιμπάνουσι τὸν νομὸν σοβηθέντες. ἔστι δὲ ὁ μὲν οἶστρος μυίᾳ παραπλήσιος κέντρον ἔχων εὐμέγεθες ἐκ τοῦ στόματος καὶ φωνὴν μεγάλην βομβώδη. ὁ δὲ μύωψ παρόμοιος τῇ κυνομυίᾳ, τό τε κέντρον ἔλαττον ἔχει τοῦ οἴστρου. ἱστορεῖ περὶ τούτων Ἀριστοτέλης ἐν τοῖς περὶ ζῴων. V.

οἶστρος, ὁ λεγόμενος μύωψ. ἔστι δὲ ζῷον ὑπόχαλκον τὴν μορφὴν, ὅπερ ἂν εἰσέλθῃ εἰς τὰ ὦτα τῶν βοῶν ἐξοιστρεῖν ἀναγκάζει τοὺς βόας. καὶ Καλλίμαχος "βουσόον, ὅντε μύωπα βοῶν καλέουσιν ἀμορβοί." V. ζωΰφιόν τι οἶστρος, ὅπερ εἰσερχόμενον εἰς τοὺς βόας ποιεῖ τούτους μαίνεσθαι. Q. οἶστρος θηρίον ἀκρίδι ἐοικὸς τὴν χροιὰν ποικίλον, εὐκίνητον, δάκνον καὶ στροβοῦν τὰς βοῦς. Q. μύωψ θηρίον, μυίας μὲν μεῖζον, τὰ δὲ ἄλλα ἐμφερὲς μυίᾳ, δάκνον τὰς βοῦς. H.

304. νέφεα] τὰ λίνα. Q.

307. τοὶ] γρ. τούς. H.

309. κράτων] αὕτη ἡ γενικὴ ἀπὸ εὐθείας τῆς κρᾶτα, ὡς μῆλα. ὥσπερ οὖν μήλων, οὕτως κράτων. σημαίνει δὲ τῶν κεφαλῶν. V.

324. σπέσθαι] ἀκολουθῆσαι. ἀπὸ τοῦ ἕπεται τὸ ἀπαρέμφατον ἕπεσθαι, καὶ πλεονασμῷ τοῦ σ ἕσπεσθαι ὅμως, "ἅμα σπέσθαι ἑοῖ αὐτῷ" ἤγουν ἀκολουθῆσαι. V.

2—11. Hoc scholion editiones vet. in fine libri habent.

5. βουσόον, ὅντε] βούσοον οὔτε V. Correxit Bentleius ad Callimachi Fragm. 46.

11. Ἀριστοτέλης] H. A. 1, 5. 5, 19.

14. βουσόον, ὅντε] βοὺς σοὸν οὔτε V.

19. τὰ λίνα] Conf. Eustath. et Hesych. BUTTM.

23. ἀκολουθῆσαι] ἀκολούθησον editiones vet.

24. ἅμα σπέσθαι —] Od. δ, 38. ubi hodie legitur ἅμ' ἑσπέσθαι, sed in MSS. varietas ἅμα σπέσθαι. Barnesius in nostro scholio emendat ὅπως, ἅμ' ἑσπέσθαι, quoniam hæc videtur mens esse scholiastæ. Sed videtur tantum. Nam qui hoc scholium ad illustrandam formam σπέσθαι scripsit, in forma ἑσπέσθαι demonstranda subsistere non potuit. Sed vid. Etym. M. v. σπέσθαι, ubi nostri scholii major pars iisdem verbis, et in fine: πλεωνασμῷ τοῦ σ ἕσπεσθαι (sic) καὶ σπέσθαι. Sic igitur hoc quoque scholium constituendum: καὶ πλεωνασμῷ τοῦ σ ἕσπεσθαι καὶ σπέσθαι, ὅπως, ἅμα σπέθαι κ. τ. ἑ. Apparetque nunc scho-

325. τῷ οὐκ ἂν θάνατόν γε δυσηλεγέα προφύγησθα] εὐλόγως τὸν Λειώδην ἀναιρεῖ. εἴτε γὰρ μὴ ἦν μάντις ἀληθὴς, ἀλλ' ἐσκήπτετο, ἄξιος ἀποθανεῖν· καὶ γὰρ οὗτος εἷς τῶν μνηστήρων· εἴτε προειδὼς τὰ μέλλοντα ἔμενε μετ' αὐτῶν. V.

δυσηλεγέα] δυσκοίμητον. V. δύσφημον διὰ τοὺς θρήνους. ἢ δυσκίνητον. H.Q.

327. ὅ ῥ'] ὅπερ δή. V.

330. Τερπιάδης] Τέρπιος παῖς· ἢ ὁ τέρπων. V.

336. κῆαν] ἔκαυσαν. V.

340. ἤτοι ὁ φόρμιγγα] πιθανῶς ἀντὶ τῆς ἱκετηρίας τὴν φόρμιγγα προτείνει, δι' αὐτῆς τὸν Ἀπόλλωνα προΐσχων αὐτὸν, ὥσπερ ὁ Χρύσης διὰ τῶν στεμμάτων. Q.

347. θεὸς] ἡ μοῦσα. εἴ γε μὴ αὗται μὲν ᾄδουσι, φορμίζει δὲ ὁ Ἀπόλλων. H.

349. δειροτομῆσαι] λαιμοτομῆσαι. Q.

364. βοὸς] γρ. θοῶς. H. περισσὸν τὸ βοός. H.M.

368. περισθενέων] ἤτοι περισσῶς ἰσχύων. V. περισσῶς χρώμενος τῷ ἑαυτοῦ σθένει. H.Q.

373. εἴποισθα] εἴποις. V.

374. ὡς τὸ εὖ ἐργάζεσθαι κρεῖττον τοῦ κακῶς ἐργάζεσθαι. H.

376. ὁ πολλοὺς φημίζων καὶ ἐνδόξους ποιῶν. ἢ ὁ ὑπὸ πολλῶν φημιζόμενος. H.

πολύφημος] πολλοὺς εὐφημῶν, ἢ πολλοὺς φημίζων. V.

386. πολυωπῷ] πολλὰς ἔχοντι ὀπάς· βίαιον γὰρ τῷ πολυοφθάλμῳ. περισπωμένως δέ. H. πολλὰς τρύπας ἔχοντι τῷ δικτύῳ. V.

396. σκοπὸς] νῦν ἀντὶ τοῦ ἐπίτροπος. H.

402. αἵματι καὶ λύθρῳ] ἐκ παραλλήλου τὸ αὐτό. H.

403. βεβρωκὼς βοὸς] ὅμοιον τῷ "ὄφρα πίῃς οἴνοιο" προσγενῆ γὰρ τὸ φαγεῖν καὶ πιεῖν Ἀττικοὶ λέγουσιν. H.

408. ὀλολύξαι] εὔξασθαι. V. χαρῆναι, εὔξανθαι. Q.

412. οὐχ ὁσίη] οὐχ ὅσιον. H. οὐ δίκαιον. V.

liasten in loco Od. ϑ, commendare, immo unice agnoscere, scripturam ἅμα στέσθαι: ut igitur forma infinitivi ἑστέσθαι non usquequaque tuta sit: nam loci Il. ε, 423. eadem est ratio et eadem ibi dissographia. Grammaticus autem, ut solent, in his ἕστεσθαι καὶ στέσθαι prius posuit ideo tantum ut posterius inde derivetur. (Conf. not. ad ϑ, 826.) BUTTM.

5. ἢ δυσκίνητον om. Q.

www.vossianus.nl

εὐχετάασθαι] οὐ λέγει ἐπικανχᾶσθαι τοῖς ἀποθανοῦσιν· αὐτὸς γοῦν ὁ Ὀδυσσεὺς τοῦτο φαίνεται ποιῶν ἐπὶ Σώκου (Il. λ, 450.)· ἀλλ' εὐχετάασθαι νῦν φησιν εὔχεσθαι. οὐ χρὴ εὔχεσθαι νεκρῶν παρακειμένων. οἱ γὰρ εὐχόμενοι παρουσίαν αἰτοῦσι τοῦ θεοῦ· νεκροῖς δὲ παρεῖναι τὸ θεῖον ἀδύνατον. H.Q. ἔνθεν καὶ Ἀρχίλοχός φησιν "οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομέειν ἐπ' ἀνδράσιν." H.Q. Vind. 56.

423. τῆς δὲ λοιπῆς δουλείας ὑδροφορίας τε καὶ τοῦ μυλωθρεῖν. V.

424. ἀναιδείης ἐπέβησαν] ἐπὶ πολὺ τῆς ἀναιδείας ἐπῆλθον. V.

429. ἔχευεν] γρ. ἐπῶρσεν. M.

431. μήπω τήνδ' ἐπέγειρε] ἐκώλυσε γὰρ ἂν κολασθῆναι τὰς δούλας. V.

437. ἄρχετε] ἄρξασθε. V.

442. θόλου] κυκλοτεροῦς οἰκήματος, ἀπὸ τοῦ περιθεῖν, εἰς ὃ τὰ καθ' ἑκάστην ἡμέραν εἰς χρῆσιν πίπτοντα ἀπετίθεντο, οἷον κρατῆρας, καὶ ἐκπώματα καὶ τὰ ὅμοια. Q.V.

444. Ἀφροδίτης] νῦν τῆς μίξεως. H.

449. ὑπ' αἰθούσῃ] τῇ ὑπαίθρῳ. εὐερκέος δὲ αὐλῆς τῆς ἀντικρὺ τῆς θόλου. H.

450. ἀλλήλῃσιν ἐρείδουσαι] ἐπιτιθεῖσαι. V. ἐπερείδουσαι ἀλλήλαις, ὅ ἐστιν ἐπιτιθεῖσαι τοὺς νεκρούς. Q.

451. ἐπιστείχων] γρ. ἐπισπέρχων. M.Q.

ἐπισπέρχων] γρ. ἐπιστείχων. Vind. 133.

455. λίστροισι] τοῖς ξυστῆρσιν, ἀπὸ τοῦ λιαίνειν. V. ξυστῆρσιν, ἀπὸ τοῦ λεῖον ποιεῖν τὸ ἔδαφος. τὰ ἀναξυόμενα μολύσματα. H.V.

460. εἴλεον] ἀπέκλειον. V.

462. καθαρῷ θανάτῳ] τὸν διὰ ξίφους θάνατον τοῦ ἠγχονισμένου θανάτου ἐνόμιζον καθαρώτερον. Q.

463. κάκ' ὀνείδεα] γρ. κατ'. Vind. 5.

469. ἔρκει] νῦν τῷ δικτύῳ. V.

470. αὔλιν] κοίτην. V.

471. ὣς αἶγ' ἐξείης κεφαλὰς] ἴσως ἔκ τινος ἐξοχῆς ἢ ξύλου ἐκδήσας τῆς ἀντικρὺ τῆς καθόδου στοᾶς ὑφ' ἑνὸς κίονος. Q.

12. ἄρξασθε] En grammaticum ἄρχειν et ἄρχεσθαι confundentem. Cf. α, 571. δ, 67. et al. BUTTM.

17. τῇ ὑπαίθρῳ] Hoc gl. est etiam in Q.

21. 22. ἐπιστείχων] In ἐπιστείλων corruptum in Q. et Vind., recte scriptum in M, et apud Eustath. p. 1933, 19.

24. ἀναξυόμενα H. ἀναξειόμενα Q.

482. θεειώσαν] καθάραν. V.
493. θήϊον] θεῖον ἄπυρον. V.
494. διεθείωσεν] περιήγνισεν. V.
500. αἰνύμεναι] λαμβάνουσαι. Q. ἐπιλαμβανόμεναι. V.

Ψ. 5

ΥΠΟΘΕΣΙΣ.

Ἀγγελία Εὐρυκλείας Πηνελόπῃ περὶ τοῦ Ὀδυσσέως καὶ τῆς τῶν μνηστήρων ἀναιρέσεως, ἀναγνωρισμός τε αὐτῆς πρὸς Ὀδυσσέα. P.Q.

ΑΛΛΩΣ. 10

Ἀναγνωρισμὸς Ὀδυσσέως πρὸς τὴν γυναῖκα καὶ τῶν τῆς πλάνης διηγημάτων ἀνακεφαλαίωσις· καὶ Ὀδυσσέως καὶ Τηλεμάχου μετὰ τῶν οἰκείων ἔξοδος. V.

---

1. καγχαλόωσα] ἤτοι γήθουσα, παρὰ τὸ καγχαλᾶσθαι, ἀφ' οὗ καὶ ὁ οἶνος χάλιξ ὁ χαλῶν καὶ ἀνιεὶς ἡμᾶς ἀπὸ τῶν φροντίδων· καὶ 15

11—13. Hoc Argumentum apud Eustath. p. 1935.

14. παρὰ τὸ καγχαλᾶσθαι] Observo primum, fieri non posse ut χάλιξ derivarit grammaticus a καγχαλᾶσθαι. Quare aut post hoc verbum excidit ejus ipsius a verbo χαλᾶσθαι derivatio, aut, quod mihi quidem verosimilius videtur, omnia quæ post verbum καγχαλᾶσθαι leguntur, male huc translata sunt, ascripta primitus versui 13. ad quem Eustathius quoque p. 1936, 53. de iisdem rebus, et partim iisdem verbis egit. Jam ipsam hanc formam χάλιξ in vini significatione a lexicographis nostris repudiatam videbis, qui nonnisi de *lapillo* eam agnoscunt, de vino solam formam χάλις admittentes. Monemus itaque χάλιξ hac significatione legi etiam apud Eustathium l. c., apud Hesychium (quanquam hic in literarum serie formam χάλις posuit in explicatione vocis ἀκροχάλιξ) et aliquoties apud Philemonem grammaticum, quibus nostrum jam scholium accedit. Supra tamen ad τ, 530. formam χάλις servandam duximus. Deinde pro illo χαλιβάζειν Majus corrigit χαλιμάζειν: recte, opinor: nam sic Suidas: χαλιμάζειν, τὸ περὶ τὰς συνουσίας ὁρμᾶν, et Etym. M. (v. χαλίφρων), καὶ τὸ περὶ τὰς συνουσίας πείθεσθαι χαλιμάζειν ἔλεγον: unde apparet formam χαλικάζειν nonnisi corruptam ex illa esse in his Eustathii verbis, καὶ Ἐπίχαρμος δέ φασι χαλικάζειν λέγει τὸ περὶ συνουσίαν ὑφ' ἡδονῆς ἀνίεσθαι καὶ ὑποστένειν. In omnibus autem hisce grammaticorum locis nostri scholii verba variata tantum aliquatenus agnosces, neque dubitabis jam pro περὶ reponere παρά et pro barbaro σπαθένεσθαι, verbum recentioribus Græcis familiare, παθαίνεσθαι, quod latet etiam in illo Etymologi πείθεσθαι. BUTTM.

www.babelblue.com

τὸ παρὰ τὴν συνουσίαν ὑφ' ἡδονῆς παθαίνεσθαι καὶ ὑποστένειν χαλιβάζειν ἔλεγον. H.Q.

3. ἐρρώσαντο] ἐρρωμένως ἐβάδιζον. ὑπερικταίνοντο] Ἀρίσταρχος, ἀνεπάλλοντο καὶ ἐκινοῦντο προθυμουμένης αὐτῆς βαδίζειν ταχέως, μὴ δυναμένης δὲ, ἀλλὰ κατὰ βραχὺ διὰ τὸ γῆρας. οἱ δὲ, ὑπερεξετείνοντο. ἄμεινον δῆθεν ἐκινοῦντο, παρὰ τὸ ἵκταρ, ὅ ἐστιν ἐγγύς. καὶ γὰρ προείρηκε, γούνατα δ' ἐρρώσαντο. ταχέων οὖν ὑπερικνοῦντο, ὁ ἔστι, παρεγίνοντο. MS. Barnes.

ἐρρωμένως ἐβάδιζον· ὑπερικταίνοντο δὲ, ὑπερικνοῦντο καὶ ὑπερεπήδων, ὑπὲρ τὸ δέον ἐβάδιζον. οἱ δὲ, ἄγαν ἱκνοῦντο. H.Q.

7. ἀντὶ τοῦ καὶ εἰς οἶκον ἱκάνει. H.

11. μάργην] μεμηνυῖαν, ἔκφρονα. H.

13. χαλιφρονέοντα] κεχαλασμένας καὶ παρειμένας ἔχοντα τὰς φρένας. Q. κεχαλασμένας ἔχοντα τὰς φρένας, ἠλίθιον, ματαιόφρονα. V.

14. φρένας αἰσίμη ἧσθα] ἀντὶ τοῦ καθήκοντα φρονοῦσα, παρὰ τὸ αἶσα. Q.

15. λωβεύεις] ἀπάταις λωβητὴν ποιεῖς· καὶ μήποτε κυρίως ἐστὶ λωβᾶν τὸ ἀποδύσαντα τὸ λῶπος πληγὰς ἐντείνειν. H. χλευάζεις, εἰς λώβην καὶ ὕβριν ἄγεις. V.

16. παρὲξ ἐρέουσα] παρὰ τὸ δέον λέγουσα. V.

24. σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει] τὸ μὴ μεθ' ὕβρεως ἀποπεμφθῆναι. ἢ οἷον, εἰ καὶ τὰ ἄλλα σοι βαρύ ἐστι, τοῦτό γε ὀνήσει. V.

28. ὁ ξεῖνος] στικτέον μετὰ τοῦτο. ἠθικῶς δὲ ὁ ξένος ἐστὶν ὁ Ὀδυσσεύς. V. Vind. 56. μετὰ τοῦ ἤθους ὁ λόγος. H.

31. ὑπερηνορεόντων] ὑπερηφανευόντων. Q.

40. οὐκ ἴδον] οὔτε ποίῳ τρόπῳ ἀπώλοντο εἶδον, οὔτε παρ' ἄλλου ἤκουσα. Q.

41. ἡμεῖς δὲ μυχῷ] ἡμᾶς δὲ αἱ θύραι εἶσω κατεῖχον. σανὶς δὲ εἴρηται οἱονεὶ τανὶς παρὰ τὸ τετάσθαι. Q.

42. ἀτυζόμεναι] ἐκπληττόμεναι, ταρασσόμεναι. ἀτύω, ὁ μέλλων ἀτύσω· καὶ κατὰ παραγωγὴν, ἀτύζω, Αἰολικόν. V.

1. ὑφ' ἡδονῆς addidi ex H. et Eustathio.
παθαίνεσθαι H. σπαθένεσθαι Q. Vind. ἀνίεσθαι posuit Eustath.

10. οἱ δὲ ἄ. ἰ. om. Q.

24. μετὰ τοῦτο. ἠθικῶς δὲ] ἤγουν

ἔχον] ἀντὶ τοῦ ἠσφαλισμέναι ἦσαν. V.

46. κραταίπεδον οὖδας] λιθόστρωτον ἔδαφος, ἢ ψηφολόγητον, τὸ ἀντίτυπον, τὸ σκληρόν. οἱ δὲ ἀμφ' αὐτὸν Ὀδυσσέα ἔχοντες τὸ κραταιὸν πέδον κείατ' ἐπ' ἀλλήλοισιν. Q. κραταίπεδον] τὸ ἔδαφος. V.

52. ἐϋφροσύνης ἐπιβῆτον] θυμηδίας ἐπιβήσετε, εὐφρανθῆναι ποιήσετε. V. ἐπιβῆναι ποιήσατε. συγκοπὴ τοῦ ἐπιβήσετον. H.

53. ἀμφοτέρω] γρ. ἀμφοτέρων. H.

πέποσθε] πονῶ, πεπόνημαι, πεπονήμεθα, πεπόνησθε, καὶ συγκοπῇ πέποσθε. H.Q.

54. ἐέλδωρ] ζήτημα. Q.

64. ἀγασσάμενος] ὑπερεκπλαγείς. H.

68. ὤλεσε τηλοῦ νόστον] τίνος νόστον; τὴν διὰ νεὼς κομιδήν, ὅ ἐστι τὰ πλοῖα ὤλεσε, καὶ μετὰ τὸ ὀλέσαι τὸν νόστον καὶ αὐτὸς ἀπώλετο. Q.

71. ἐσχάρῃ] ἔνθα τὸ πῦρ καίεται. ἔστι δὲ βωμὸς ἰσόπεδος οὐκ ἐκ λίθων ὑψούμενος. V.

76. μάστακα] νῦν τὸ στόμα. ἐν δὲ τῇ Ἰλιάδι (ι, 324.) καὶ τὸ μάσημα "μάστακ' ἐπεί κε λάβῃς." ὁ δὲ Ἀλκμὰν καὶ τὰς γνάθους μάστακάς φησι, παρὰ τὸ μασᾶσθαι. τὴν δὲ τροφὴν μάστακα ἔλεγον διὰ τὸ τὰ βρέφη μαστάζειν αὐτὴν, ἀφ' οὗ καὶ ὁ μαστὸς καὶ ἡ μάζα. H.Q.

78. ἐμέθεν περιδώσομαι αὐτῆς] περὶ ἐμαυτῆς συνθήσομαι. Q.V. τὴν φαρέτραν συνδήσομαι. H.

81. χαλεπόν σε θεῶν] χαλεπὸν, εἴ τις οὐ φυλάξει θεῶν βουλεύματα, τὸ φυλάξαι ἀνθρώπων. H.Q.

82. πολύϊδριν] πολυπαθῆ, πολλὰ εἰδυῖαν. Q.

85. ὑπερῴϊα] ὑπερῳΐων, ὡς τὸ "διά τ' ἔντεα καὶ μέλαν αἷμα." H.

86. ἐξερεείνοι] ἀνακρίνειε τῷ λόγῳ. Q.

89. ἐν πυρὸς αὐγῇ] ἐν τῷ πεφωτισμένῳ τόπῳ καὶ πεφλογισμένῳ ἀπὸ τοῦ πυρός. V.

94. ἐνωπιδίως ἐσίδεσκεν] ἐναργῶς ἄντικρυς περιεργότερον ἀφορῶσα ἐγνώριζεν. V.

ἔνιοι, ἤϊσκεν, ἀντὶ τοῦ ὡμοίου τῇ ὄψει τοῦ Ὀδυσσέως. ἢ περιερ-

20. μαστάζειν] βαστάζειν H.
25. ἀνθρώπων] λείπει δὲ τὸ ἐπίλοιπον addit H.
27. ὑπερῳΐων] Id est ἀντὶ τοῦ ὑπερῳΐων.
33. ἀντὶ H. αἴκε Q.

γότερον αὐτὸν κατεσκόπει τοῖς ὀφθαλμοῖς. ὄψει οὖν, τοῖς ὄμμασιν. H.Q.

95. ἀγνώσασκε] ἠγνόει. V.

97. δύσμητερ] ἐπὶ κακῷ μήτηρ λεγομένη. V.

99. ἀνείρεαι] τὰ περὶ τοῦ ἔρωτος. ἀλλοτριοῦσαι τῇ διαθέσει, καὶ καθεζομένη παρ' αὐτὸν οὐκ ἀνείρεαι οὐδὲ μεταλλᾷς. H.

108. ἱκάνεται] ἀντὶ τοῦ ἱκάνει. H.

114. πειράζειν ἐμέθεν] ἀπόπειράν μου λαμβάνειν. H.

119. ὀπίσσω] χρονικῶς ἀντὶ τοῦ μετὰ ταῦτα, μετὰ τὸν φόνον. H.Q. μετὰ τὸν τῆς ἀπωλείας χρόνον. V.

120. πηούς] τοὺς πόρρωθεν συγγενεῖς. V.

143. ὅπλισθεν] ἡτοιμάσθησαν. Q.

149. πολυμνήστην] τὴν μάλιστα μνήστην, κυρίως ἐπὶ Πηνελόπης. V.

150. τοῦ ἐκ κορείας αὐτῇ συνεζευγμένου. H.

151. εἴρυσθαι] κρατῆσαι. V.

155. ἀνεστραμμένως τοῦτο εἴρηται. H.

161. τέχνην παντοίην] χρυσοχοϊκὴν δηλονότι· οὐ γὰρ τέχνην παντοίην. Q.

1. τοῖς ὀφθαλμοῖς] τοῖς om. Q.

3. ἀγνώσασκε] Sic ed. ant. cujus quamvis in talibus nulla sit auctoritas, utar tamen hac occasione ut hanc formam aliquanto magis commendem quam feci in Gramm. ampl. in nota ultima ad §. 94. Quippe e codd. Homeri hodie hæ potissimum scripturæ ἀγνώσσασκε et ἀγνώσσεσκε hic enotatæ sunt, quarum utraque esset ab ἀγνώσσω, quæ verbi forma neque analogia caret neque auctoritate; vide Hesych. in v. Etym. M. v. ἀγρώσσω et Simmiam ap. Tzetz. Chil. 7, 144. Hujus autem verbi forma in εσκε est imperfectum iterarivum, altera in ασκε, ut ex analogia verborum βίπτασκε, κρύπτασκε demonstravi, aoristus iterativus. Jam ἀγνώσεσκε esset repetita actio durans ut θαυμάζεσκον ἅπαντες (quoties viderent admirabantur), ἔνθα Ζηνὶ βέζεσκον Ἀχαιοί, et similia: hic autem intra breve spatium Penelope sæpius intuetur Ulyssem, sæpius esse illum negat. Quare sicut ἐσίδεσκε, ita alterum etiam verbum ab aoristo formasse putandus est poeta. Recte igitur adhæremus illi ex antiquitate transmissæ formæ in ασκε. Sed si aoristum prætulit, non apparet cur formam verbi alias semper sibi usitatam ἀγνοεῖν, unde recte fiebat ἠγνόησα, ἀγνοήσασκον, ἀγνώσασκον, hoc uno loco deseruerit. Itaque hodie etiam nos, quorum judicio optio inter σ et σσ in talibus semper relicta est, non est cur formam legitimam ἀγνώσασκε, vel si nullis libris nitatur, repudiemus, aliam insolentissimam præferamus. BUTT. ἀγνώσεσκε M. in textu.

9. μετὰ τὸν φόνον om. Q.

15. κορείας Cramerus pro κοριᾶς.

www.libtool.com.cn

167. κῆρ ἀτέραμνον] σκληρόν. μετῆκται δὲ ἀπὸ τοῦ σώματος ἐπὶ τὴν ψυχήν. οἱ δὲ περὶ Πλάτωνα κερασβόλον φασὶν ἀτεράμνοις καὶ σκληροῖς τὴν ψυχὴν, μεταφορικῶς. Θεόφραστος γάρ φησιν ὃ ἂν σπέρμα ἐν τῷ καταρρίπτεσθαι ἅψηται τῶν κεράτων τοῦ ἀροῦντος βοὸς, σκληρὸς γίνεται. ὁ δὲ νοῦς, περισσῶς οἱ θεοί σε παρὰ τὰς ἄλλας γυναῖκας σκληρὰν τὴν ψυχὴν ἐποίησαν. H.Q.

174. οὐδ' ἀθερίζω] ἀποβάλλομαι, ἀποδιώκομαι. Q. ἀθερίζω] τὸ ἐκρίπτω καὶ ἀποβάλλω, ἀπὸ μεταφορᾶς τῶν ἀθέρων τῶν μὴ δυναμένων ἔχεσθαι διὰ σμικρότητα. οἱ γὰρ λικμῶντες ἐκρίπτουσιν αὐτούς. MS. Barnes.

179. ἐκθεῖσαι] ἔξω ἀποθέμεναι. ἐκθέσθαι] γρ. ἐκθεῖσα, ἔξω θεῖσα. Vind. 133.

πυκινὸν] πυκνὸν τοῖς στρώμασι. H.

188. μέγα σῆμα τέτυκται ἐν λέχει ἀσκητῷ] μέγα τέρας. ἀκίνητον δὲ λέγων εἶναι τὸ λέχος, ἔοικεν αἰνίττεσθαι ὅτι τὴν γαμικὴν κοίτην ἀδιάλυτον εἶναι δεῖ. H.Q.

190. θάμνος] δασὺ φυτὸν παρὰ τὸ θαμὸν, ὅ ἐστι πυκνόν. H.

191. ἀκμηνὸς θαλέθων] ὁ ἀκμὴν ἔχων τοῦ θάλλειν, εὐτραφὴς, ἀκμάζων. H.Q.V. ἐπὶ μὲν τούτου ὠξυτόνησεν, ἐπὶ δὲ τοῦ ἐν Ἰλιάδι δηλοῦντος τὸ νῆστις ἐβαρυτόνησεν. οἱ δὲ τὰ δύο προπαρωξυτόνησαν. V.

196. κορμὸν δ' ἐκ ῥίζης προταμὼν] ἀπὸ τῆς ῥίζης κορμὸν ποιήσας. V.

197. στάθμην] τὴν τεκτονικὴν σπάρτον. V.

198. ἑρμῖν'] κλίνης ποδάριον. ἕρμα γάρ ἐστι τῆς κλίνης. H.Q.V.

2. Πλάτωνα] Leg. 9. initio.
κερασβόλον] ἀκερασβόλον H.Q.

3. Θεόφραστος] εὔφραστος H.Q. Scr. Θεόφραστος; et lege Plut. Sympos. 7, 2. p. 700. Ruhnken. ad Tim. in v. p. 155. Nam in eo quod hodie terimus Theophrasti de Causis Plantarum libro deridetur illa opinio libr. 4. c. 14. (12. extr. Schneid.) BUTTM.

16. ἀδιάλυτον H. ἀδιάλλακτον Q.

17. θαμὼν ex Eustathio p. 1944, 37. correxi pro θαμῶ.

18. εὐτραφὴς, ἀκμάζων om. Q.V.

19. ὠξυτόνησεν—] Aristarchus, ut annotavit Eustathius p. 1944, 38.

20. προπαρωξυτόνησεν ex Eustathio pro παρωξυτόνησεν.

25. κλίνης ποδάριον (in ed. Mediol. ποδύριον) Q. idemque compendio quod est in H. significari videtur. κλινόποδας V. κλινόποδα Eustathius p. 1944. extr. πόδα κλίνης dixit Apollon. Lex. s. v. ἑρμῖνα, ubi hanc Aristarchi interpretationem esse annotavit.

ἐστι om. V.

www.tbtool.com.cn

Ἑρμῆν ἀσκήσας, τέτρηνε δὲ π. τ.] Ἑρμῆς ὁ Διὸς καὶ Μαίας τῆς Ἄτλαντος, παῖς ἔτι ὢν ἐν ἀνθρώποις τέσσαρα μέγιστα εὗρετο, γράμματα καὶ μουσικὴν καὶ παλαίστραν καὶ γεωμετρίαν. ὅθεν καὶ τοὺς Ἕλληνας τετράγωνον αὐτὸν ἀσκῆσαι, καὶ οὕτως ἐν τοῖς γυμνασίοις ἀναθεῖναι. τῷ δὲ ὀνειροπομπὸν εἶναι, καὶ τοὺς κοιμωμένους αὐτῷ εὔχεσθαι, καὶ αὐτὸν ἀναμένειν, εἵλοντο ἐν τοῖς θαλάμοις ἔχειν αὐτὸν φύλακα τοῦ ὕπνου, ἐπινοῆσαί τε καὶ ἀσκῆσαι τοὺς τῶν κλινῶν πόδας εἰς τὴν τοῦ θεοῦ πρόσοψιν, ὅπως ἀλεξήτορας ἔχοντες ἰδέας τὰ μὲν δείματα μὴ φοβοῖντο, προσδοκῷεν δὲ πλείστην ἐπαφροδισίαν διὰ τῶν ὀνειράτων. ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρῳ τῷ Ἀθηναίῳ. V.

τέτρηνα] ἐτόρνωσα. V.

199. ἐκ δὲ τοῦ ἀρχόμενος] τοῦ ποδός. V.

201. ἐκ δ' ἐτάνυσσα ἱμάντα βοὸς] τὸν τόνον λέγει τῆς κλίνης ἐξ ἱμάντος εἶναι βοείου φοινικοῦ τῷ χρώματι. Q.

ἶφι κταμένοιο] γρ. φοίνικι φαεινῷ. H.

209. σκύζε] ὀργίζου. V.

211. ἀγάσαντο] ἐφθόνησαν. Q.

218. οὐδέ κεν Ἀργείη Ἑλένη] ἀθετοῦνται οἱ ζ' ὡς σκάζοντες κατὰ τὸν νοῦν. σώζοιντο δ' ἂν, εἰ στίζοιμεν ἐπὶ "τῷ εἰ ἤδη." καὶ τὸ δ' ἀντὶ τοῦ δι ὡς εἶναι, οὐδ' ἂν ἡ Ἑλένη ἐμίγη παρὰ ἀλλοδαπῷ ἀνδρὶ, εἰ μὴ ἦν ἐξηπατημένη. διὸ αὐτὴν, ἐπεὶ παρελογίσθη, οἱ Ἕλληνες ἐπανήγαγον. οἱ δέ φασι τὸν Ἀλέξανδρον Μενελάῳ εἰκασθέντα γνώμῃ Ἀφροδίτης μιγῆναι τῇ Ἑλένῃ. V.

Ἀλέξανδρος ὁ Πριάμου παῖς ἀπὸ τῆς Ἀσίας κατάρας εἰς τὴν

1. Ἑρμῆν] Hanc scripturam, quæ ut e scholio patet, varia revera est lectio, Ἑρμῆν, mutarunt tamen in ἑρμῖν recentiores: quod et Heynium latuit. Totum scholion in fine libri habet V.

10. παρὰ Ἀπολλοδώρῳ] Posuit Heynius in fragmentis librorum Apollodori περὶ θεῶν p. 1064. (ed. 2. p. 399.): ubi verba τῷ δὲ — εἶναι interpretatur διὰ τὸ —; et illa καὶ αὐτὸν ἀναμένειν ita: *expectant donec somnum immittat.* Mox pro ἐπινοῆσαί τε καὶ ἀσκῆσαι malim equidem ἐπενόησαν δὲ καὶ ἀσκῆσαι. Denique in verbis ὅπως ἀλεξήτορας ἔχοντες ἰδέας Barnesius reposuit ἰδίους; Heynius proponebat ἀλεξήτορος ἰδέας "speciem dei sui malorum somniorum propulsatoris." Ego, si ita usurpavit auctor vocem ἰδέα, scripserim potius ὅπως ἀλεξήτορας ἔχοντες τὰς ἰδέας. BUTTM.

15. φαεινῷ] Immo φαεινόν.

18. οἱ ζ' Barnes. ex cod. pro οἱ ιζ'.

19. σώζοιντο Buttm. pro σώζοιτο.

24. Hoc scholion in fine libri habet V.

www.libtool.com.cn

Λακεδαίμονα διενοεῖτο τὴν Ἑλένην ξενιζόμενος ἁρπάσαι. ἡ δὲ γενναῖον ἦθος καὶ φίλανδρον ἔχουσα ἀπηγόρευε καὶ προτιμᾶν ἔλεγε τὸν μετὰ νόμου γάμον, καὶ τὸν Μενέλαον περὶ πλείονος ἡγεῖσθαι. γενομένου δὲ τοῦ Πάριδος ἀπράκτου, φασὶ τὴν Ἀφροδίτην ἐπιτεχνῆσαι τοιοῦτόν τι, ὥστε καὶ μεταβάλλειν τοῦ Ἀλεξάνδρου τὴν ἰδέαν εἰς τὸν τοῦ Μενελάου χαρακτῆρα, καὶ οὕτω τὴν Ἑλένην παραλογίσασθαι. δόξασαν γὰρ εἶναι ταῖς ἀληθείαις τὸν Μενέλαον μὴ ὀκνῆσαι ἅμα αὐτῷ ἔπεσθαι, φθάσασαν δὲ αὐτὴν ἄχρι τῆς νεὼς, ἐμβαλλόμενος ἀνήχθη. ἡ ἱστορία παρὰ Νικίᾳ τῷ πρώτῳ. V.

220. εἰ ἤδη] ἐνταῦθα στικτέον, ἔπειτα ἀφ' ἑτέρας ἀρχῆς προενεκτέον. V. εἰ ἤδη] ὅτι πολλοὶ κακὰ κέρδεα βουλεύουσιν. Q.

Ἡρωδιανὸς τὸν εἰ ἀντὶ τοῦ ἐπεί φησὶν εἶναι, καὶ συνάπτει ὅλον τὸν νοῦν οὕτως· εἰ μὴ ἠπατήθη ἡ Ἑλένη ὑπὸ τῆς Ἀφροδίτης, οὐκ ἂν ἄλλῳ ἠκολούθησεν ἀνδρί. καὶ πόθεν δῆλον ὅτι δι' ἀπάτην ἠκολούθησε καὶ οὐχ ἑκουσίως; ἐπειδὴ ἤδη μάλιστα ὅτι οὐκ ἔχει καταφρονηθῆναι τοῖς Ἕλλησιν ἡ αὐτῆς ἁρπαγή. Q. Vind. 56.

ὅ μιν αἶτις ἀρήϊοι ὗες Ἀχαιῶν] ὁ γὰρ λόγος, οὐκ ἂν ἡ Ἑλένη παρ' ἀλλοφύλῳ ἀνδρὶ ἐμίγη, εἰ προεώρα τὸ μέλλον. διὸ καὶ ἐπανάξειν ἔμελλον αὐτὴν οἱ Ἕλληνες, ὡς μηδὲν ἡμαρτηκυῖαν. ὅ μιν] διὸ αὐτήν. V.

223. τὴν δ' ἄτην οὐ πρόσθεν] οὐ πρὸ τοῦ παθεῖν ἔγνω τὴν φρενοβλάβειαν. V.

225. ἀριφραδέα] ἀντὶ τοῦ ἀριφραδέως. H.

235. κύματι πηγῷ] εὐπαγεῖ καὶ στερρῷ, ἢ μέλανι, ὡς τὸ "ἀρνειῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ" (Il. γ, 197.). H.

237. δέδρομεν] γρ. τέτροφεν. Vind. 5. 56. πέπηγεν· ὅθεν καὶ ἡ τροφὴ καὶ ὁ πεπηγὼς τυρὸς τροφαλίς. H.

9. Νικίᾳ τῷ πρώτῳ] Hæc ad Niciam illum qui in scholiis Homericis, nostris etiam (ad α, 109.), in rebus mere grammaticis citari solet, spectare non possunt. Neque alium memoratum invenio ejus nominis cui hæ nugæ tribui possint, nisi Niciam Maleoten quem vanissimus scriptor Parallelorum minorum in ejusdem generis fabulis testem laudat cap. 13. BUTTM.

14. In Mediol. omissa sunt verba ἀνδρὶ—ἠκολούθησε ob repetitionem ejusdem vocis. Sed corrupta sunt eadem in Vind., scribendumque, καὶ πόθεν δῆλον ὅτι δι' ἀπάτην ἠκολούθησε καὶ οὐχ ἑκουσίως; ἐπειδὴ κ. τ. ἑ. BUTTM. Legebatur πόθη δηλονότι.

24. Verba ἀπαγεῖ (nam sic habet pro εὐπαγεῖ) ἢ μέλανι sunt etiam in Q.

27. τροφαλίς] τρυφαλλίς H.

www.libtool.com.cn

243. νύκτα μὲν ἐν πέρατι δολιχὴν] πρὸς τέλει αὐτὴν οὖσαν δολιχὴν ἐπέσχεν, ὑπὲρ τοῦ εἰς πλέον ἀλλήλων ἀπολαῦσαι. Q.

ἐν περάτῃ] ἤδη πρὸς τῷ πέρατι καὶ τῷ τέλει οὖσαν. δολιχὴν] οὐκ ἐν τῷ καθόλου, ἀλλὰ τότε ἐσομένην πρὸς ἀνάκτησιν τοῦ Ὀδυσσέως. V.

244. ῥύσατ'] ἐκώλυσεν. Q.

246. ἔασιν] γρ. ἄγουσιν. Vind. 5.

248. οὐ γάρ πω πάντων] τοῦτο θέλει εἰπεῖν· μή μου τὴν ψυχὴν ταράξῃς, οὔπω γὰρ εἰς τέλος τῶν κακῶν ἦλθον, ἀλλ' ἔτι μέλλω πονεῖν. ἀλλὰ τραπῶμεν εἰς κοίτην. Q.

251. μαντεύσατο] γρ. μυθήσατο. H.

260. καί τοι θεὸς ἔμβαλε θυμῷ] τὸ εἰπεῖν ὅτι ποιῆσαί σέ τι καὶ ἕτερον δεῖ. V.

264. τί γάρ] τί δήποτε. V.

268. εὐῆρες ἐρετμὸν] εὖ ἐρέσσειν δυνάμενον. H.

276. καὶ τότε δὴ γαίῃ] γρ. καὶ τότε μ' ἐν γαίῃ. M.

281. ἐξ ἁλὸς] γρ. ἔξαλος, ἤγουν ἔξω τῆς θαλάσσης. Vind. 133.

296. ἀσπάσιοι λέκτροιο] ἀσπαστῶς καὶ ἐπιθυμητικῶς ὑπεμνήσθησαν τοῦ πάλαι τῆς συνουσίας νόμου. Ἀριστοφάνης δὲ καὶ Ἀρίσταρχος πέρας τῆς Ὀδυσσείας τοῦτο ποιοῦνται. M.V. Vind. 133.

ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο] τοῦτο τέλος τῆς Ὀδυσσείας φησὶν Ἀρίσταρχος καὶ Ἀριστοφάνης. H.M.Q.

309. καταλέξαι] καθέκαστον εἰπεῖν. V.

4. ἀνάκτησιν τοῦ Ὀδυσσέως Barnes. ex cod. pro ἀγανάκτησιν τοῦ ὄθεν.

11. μαντεύσατο H. in textu habet, superscripto μυθήσατο, cui præfixi γρ., quum μυθήσατο in textu habeat M. superscripto ἐμαντεύσατο.

13. ἕτερον] ὕστερον codex Barnes.

18. ἀσπαστῶς—νόμου om. Vind.

19. δὲ addidi ex M.

21. τοῦτο—Ἀριστοφάνης] Porsonus de hoc scholio in cod. Harl. "Scripsit antiqua manus, sed quæ paucas admodum notas margini addidit."—In cod. Vind. 5. post hunc versum sunt quattuor in rhombi schemate puncta, et manus prima minio scripsit, τέλος Ὀδυσσείας. Nihilominus sequentia etiam idem codex continet. In schol. V. edd. ant. post scholium ad h. v. nova incipit linearum series. BUTTM. Eustathius p. 1948, 47. ἰστέον δὲ ὅτι κατὰ τὴν τῶν παλαιῶν ἱστορίαν Ἀρίσταρχος καὶ Ἀριστοφάνης, οἱ κορυφαῖοι τῶν τότε γραμματικῶν, εἰς τὸ ὡς ἐρρέθη "ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο" περατοῦσι τὴν Ὀδύσσειαν.

τοῦτο τέλος M. τοῦτο τὸ τέλος H.Q.

22. Ἀρίσταρχος] ἀρίων M. qui frequens in hoc codice error est.

www.libtool.com.cn

310—343. οὐ καλῶς ἠθέτησεν Ἀρίσταρχος τοὺς τρεῖς καὶ τριάκοντα· ῥητορικὴν γὰρ πεποίηκεν ἀνακεφαλαίωσιν καὶ ἐπιτομὴν τῆς Ὀδυσσείας. Q.V.

316. ἦην] ἀντὶ τοῦ ἦ. MS. Barnes.

322. εὐρώεντα] ἤτοι πλατὺν, παρὰ τὸ εὖρος· ἢ σκοτεινόν. V. γρ. ἠερόεντα. Vind. 5.

328. ἀκήριοι ἄνδρες ἄλυξαν] χωρὶς κηρὸς, χωρὶς θανάτου. V. καὶ ἀκήριοι, ἀσθενεῖς. MS. Barnes.

330. ἔβαλεν] νῦν ἀντὶ τοῦ ἔκλασεν. V.

ψολόεντι] ἀπὸ τοῦ ψῶ τὸ λεπτύνω. πᾶν γὰρ τὸ κατερχόμενον ἄνωθεν οὐ τοιοῦτον κατέρχεται μέχρι καὶ τέλους. H.Q. καυστικῷ. ψόλον γὰρ τὸ ἄσβολον ποιοῦν. V.

343. λυσιμελὴς] ὁ τὰ μέλη τοῦ σώματος παριείς· ἢ ἀμέριμνος. V.

350. ὦ γύναι, ἤδη μὲν πολέων] ἡ σύνταξις οὕτως, ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ' ἀέθλων, νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνὴν, σὺ μὲν ἐν τοῖς οἴκοις ἐπιμελείας ἀξίου τὰ κτήματα, ἐγὼ γὰρ αὐτὸς λαφυραγωγήσω τὰ θρέμματα ἅπερ οἱ μνηστῆρες κατέφαγον. H.Q.

353. πεδάασκον] ἐδέσμουν. Q. ἐνεπόδιζον. V.

357. λητίσσομαι] κτήσομαι. V.

358. ἐπαύλους] νῦν τοὺς σταθμούς. H.

364. εἰς ὑπερῷ' ἀναβᾶσα] καταλείπει τὴν γυναῖκα θαρρῶν τῷ πατρὶ αὐτῆς καὶ τοῖς ἀδελφοῖς. ἢ δῆθεν ὡς ἀγνοοῦσαν τῶν πεπραγμένων τὸ ἀληθές· ἢ ἐμπιστεύων τῇ Ἀθηνᾷ. V.

365. προτιόσσεο] προσδέχου. Q.

372. ἐξῆγε] ἐξέβαλεν. V.

1—3. In Vind. 133. est, ῥητορικὴν ποιεῖται ἀνακεφαλαίωσιν τῆς ὑποθέσεως καὶ ἐπιτομὴν τῆς Ὀδυσσείας. καλῶς οὖν ἠθέτησεν Ἀρίσταρχος τοὺς τρεῖς καὶ τριάκοντα.

3. Post hoc scholion in Q. et alio quodam libro Mediolanensi sequitur Argumentum Odysseæ ex Tzetzæ Commentario in Lycophronem excerptum, de quo vide quæ dicta sunt p. 6.

10. ἀπὸ τοῦ—τέλους] Hoc scholion in Q. sine lemmate legitur post scholion v. 256.

11. καὶ τέλους H. καὶ om. Q.

www.libtool.com.cn

Ω.

ΥΠΟΘΕΣΙΣ.

Ψυχοπομπίαν καὶ Ὀδυσσέως ἄφιξιν πρὸς Λαέρτην τὸν πατέρα εἰς τοὺς ἀγροὺς καὶ ἀναγνωρισμόν· ἐπιστρατείας τῶν Ἰθακησίων, καὶ συνθήκας Ἀθηνᾶς κελευσάσης. Ω.

ΑΛΛΩΣ.

Τὰς τῶν μνηστήρων ψυχὰς Ἑρμῆς εἰς Ἅιδου κατάγει καὶ κατασκευὴ περὶ τῆς δευτέρας νεκυομαντείας γίνεται. καὶ ἀναγνωρισμὸς Ὀδυσσέως γίνεται πρὸς τὸν ἑαυτοῦ πατέρα Λαέρτην. καὶ ταραχὴν τοῖς Ἰθακησίοις γεγενημένην ἐπὶ τῇ τῶν μνηστήρων ἀναιρέσει Ἀθηνᾶ κωλύει. P.V.

---

1. *Ἑρμῆς δὲ ψυχὰς*] *Ἀρίσταρχος ἀθετεῖ τὴν Νεκυίαν κεφαλαίοις τοῖς συνεκτικωτάτοις τοῖσδε· ὅτι οὐκ ἔστι καθ' Ὅμηρον ψυχοπομπὸς ὁ Ἑρμῆς. οὐδὲ τὸν Ἀπόλλωνα * * * ἐπὶ τῆς πυκτικῆς, εἰ μὴ ἅπαξ. ἀλλ' οὐδὲ χθόνιος ὁ θεός. οὐκ εὐθέως ὁ εἰς Ἅιδου κατελθὼν χθόνιος, ἐπεὶ καὶ Ἀθηνᾶ δι' Ἡρακλέα, καὶ ὁ Ἅιδης Ὀλύμπιος. Κυλλήνιος δὲ οὐδαμοῦ εἴρηται ἡ ἅπαξ. οὐκ ἔξω λόγου, καὶ σῶκος καὶ*

4. *ἐπιστρατείας* Buttm. pro *ἐπιστρατίας*.

7—11. Hoc Argumentum apud Eustathium p. 1950.

7. *καὶ κ.—νεκ. γίνεται* habet P., om. V. et Eustathius.

11. *κωλύει*] *διακωλύει* Eustathius.

12. *Νεκυίαν*] *νεκυομαντείαν* M. *νεκυΐαν* V. hic et in fine scholii. Eustath. p. 1950, 64. *ἡ Νεκυία, τουτέστιν ἡ λέγουσα πραγματεία τὰ κατὰ τοὺς νέκυας, ἣν δὴ Νεκυίαν τινὲς μὲν κατὰ τὴν μυῖαν γράφουσι, τινὲς δὲ κατὰ τὴν ὀξύαν τὸ φυτόν. Νεκύα τρισυλλάβως* ponit idem p. 1670, 23.

13. *οὐκ ἔστι* M. *οὐκέτι* V.

14. *οὐδὲ* (sic correxi pro *οὔτε*) *τὸν Ἀπόλλωνα*] Indicavi lacunam. Desideratur verbum a quo pendeat accusativus, quale est *οἶδε*.

15. *οὐκ εὐθέως—*] Hic et in insequentibus cuique Aristarchearum objectionum responsio vel solutio subjicitur brevissimis. BUTTM. Tetigit has objectiones et responsiones etiam Eustathius, qui quid de iis senserit ostendunt verba ejus p. 1957, 16. *παίξαντες οἱ ταῦτα φυλοκρινοῦντες καὶ ἀπορίαις διασπαράξαντες εἶτα καὶ λύσεσιν οἷον συνουλώσαντες προσίενται ὅμως καὶ τὴν Νεκυίαν ταύτην* etc.

16. *ὁ Ἅιδης*] *ὁ* om. V.

17. *ἡ ἅπαξ*] Suspicor istud *ἤ* intrusum esse ab illis qui non animadverterent a verbo *ἅπαξ* incipere responsionem *ἀσυνδέτως*. Sic antea etiam, ante *οὐκ εὐθέως*, *ἤ* insertum erat in edd. rec. quod auctoritate ed. ant. delevi. Jun-

ἠΐος Ἀπόλλων. ἀλλὰ πῶς αἱ ψυχαὶ οὐκ αὐτόμαται κατίασιν, ὡς ἐν Ἰλιάδι; οὐδὲν κωλύει καὶ παραπέμποντος αὐτάς τινος. ἀλλ' αὗται καὶ ἄταφοι κατίασιν. ἴσως διά τι καθάρσιον, ἢ διὰ τὴν Ἑρμοῦ πρόνοιαν κηδομένου τοῦ Ὀδυσσέως διὰ τὴν συγγένειαν. ἀλλ' οὐδὲ ἔοικεν εἰς Ἅιδου λευκὴν εἶναι πέτραν (11.). τὰ πρὸς τὴν ἡμέραν ἐστραμμένα αὐτῆς λευκαίνεται. ἄκαιρος δὲ καὶ ἡ Ἀχιλλέως καὶ Ἀγαμέμνονος ὁμιλία· καὶ Ἀγαμέμνων οὐκ ἀγείρει τὴν στρατείαν, ἀλλ' ὁ Νέστωρ. εὐκαίρως ἀναπληροῖ τὰ ἀλλαχοῦ παραλειφθέντα. πῶς δὲ καὶ τὸ σῶμα διέμεινε τοῦ Ἀχιλλέως ἐπὶ τοσαύτας ἡμέρας (65.); διὰ τὴν Θέτιν, ὡς καὶ τὸ Πατρόκλου. ἀλλὰ καὶ τὸ ἀριθμεῖν τὰς Μούσας (60.) οὐχ Ὁμηρικόν. τί κωλύει ἅπαξ; ἄλογον δὲ καὶ ἐπὶ τῶν νεῶν ὄντων αὐτῶν λέγειν ὅτι δείσαντες τὰς Νηρηΐδα ἔφυγον ἐπὶ τὰς ναῦς. ἀπὸ τοῦ τῶν Μυρμιδόνων ναυστάθμου. πῶς δὲ καὶ ὁ Ἀμφιμέδων ἐπίσταται τὴν ἐν τοῖς ἀγροῖς ἐπιβουλήν (150.); ἐκ τῶν εἰκότων τεκμαίρεται. καὶ ἄλλως δὲ ἐκ τῆς κατὰ τὴν στιχοποιίαν δεινότητος τὸ ποίημα τὸν Ὅμηρον ὁμολογεῖ. καὶ Νεκυομαντείαν μὲν ἄν τις εἰκότως τὴν Λ εἶπεν, Νεκυίαν δὲ ταύτην. M.V.

Κυλλήνιος] ὁ τιμώμενος ἐν Κυλλήνῃ· ἔστι δὲ ὄρος Ἀρκαδίας. Κυλλήνιος ὁ τῶν κυλάδων ἔχων τὰς ἡνίας. κυλάδες δὲ αἱ ὑπὸ τοὺς ὀφθαλμοὺς ἰβύτητες. ὁ Ἑρμῆς λέγεται καὶ πομπαῖος. H.Q. ὁ ἐν Κυλληνίῳ ὄρει τῆς Ἀρκαδίας ἀνατραφείς. ἢ ὁ ὕπνου δωρητικός, ὡς τῶν κύλων ἔχων τὰς ἡνίας. κυλάδες γὰρ συνεσταλμένου τοῦ υ τὰ

gendum autem puto ἅπαξ, οὐκ ἔξω λόγου, καὶ σῶκος (sc. Ἑρμῆς καλεῖται, Il. υ, 72.), καὶ ἠΐος Ἀπόλλων (ἠΐε Φοῖβε Il. υ, 152. ubi vid. Heyn. et cf. eund. ad ο, 365.). BUTTM. Probabilius Spohnius de extr. Odyss. parte p. 38. ἢ ἅπαξ in εἰ μὴ ἅπαξ mutavit, ut supra locutus est scholiasta.

1. ἠΐος] Scribebatur ἰήϊος.

αὐτόμαται M. αὐτόματον V.

9. τὸ σῶμα M. τὸ om. V.

12. αὐτῶν M. αὐτῷ V.

ἔφυγον ἐπὶ τὰς ναῦς] Apparet hic intercidisse, ἔφυγον ἕκαστοι ἐπὶ τὰς ἰδίας ναῦς, ἀπὸ τοῦ κ. τ. ἑ. Vid. ad 50. BUTTM.

17. τὴν Λ M. τὴν λίαν V. τὴν λία codex Barnesii, confusa duplici muneri nota, altera Λ, altera ιά. Quarum utraque rhapsodiam indicat undecimam.

18. ὁ τιμώμενος—πομπαῖος] Sic H. Corrupte in Q. ὅτι κῶμος ἐν τῇ Κυλλήνῃ ᾗ ἐστιν ὄρος Ἀρκαδίας, ἢ ὁ τῶν κυκλάδων ἔχων τὰς ἡνίας, κυκλάδες δὲ αἱ ὑπὸ τοὺς ὀφθαλμοὺς ἰβύτητες.

19. κυλάδων] κυκλάδων H.Q.

20. ἰβύτητες] ἴτυες Buttm.

21. ἀνατραφείς Buttm. pro ἀναστραφείς. ὕπνου δ. habet etiam H.

22. κύλων—καλοῦσιν] In editionibus ant. fuit κοίλων—κοιλάδες—τοῦ η̄—οἱ δεινοὶ ἀττ. κυκλωσία κ.: quæ M. Casaubonus et Barnesius ex Eust. et Etym. M. v. Κυλλήνιος correxerunt, Aloysiano etiam MS. κυλωδίαν dante. Sed quod iidem reposuerunt

www.ubtool.com.cn

ὑπὸ τοὺς ὀφθαλμοὺς μέρη, ἔνθεν τὸ ταῦτα οἰδεῖν οἱ Ἀττικοὶ κυλοιδιᾶν καλοῦσιν. V.

2. ἔχε δὲ ῥάβδον] παρὰ τὸ ῥᾷον βαδίζειν δι' αὐτῆς. Q.

3. τῇ τ' ἀνδρῶν] ἤγουν τῶν μαινομένων, τῶν αὐθάδων. ὁ τε ἀντὶ τοῦ γάρ. H.

5. συνέχονται γὰρ ἀλλήλαις καὶ συνήρτηνται. ἐξ οὗ δηλοῖ Κυλλήνιος ὁ κατ' ἀντίφρασιν τὰ δυσόρατα. H.

7. ἀποπέσῃσιν ὁρμαθοῦ] ἐπειδὰν μία αὐτῶν τῆς συνεδρίας ἐκπέσῃ. ὁρμαθὸς δὲ τὸ ἐξ εἱρμοῦ ἄθροισμα. Q.

8. ὁρμαθοῦ ἐκ πέτρης] τῆς ἐπαλλήλου πετρώδους ἐπισυνθέσεως. ἢ ἀλλήλαις συνημμέναι παρὰ τὸ εἴρειν. ἐπιφέρει γὰρ " ἀνά τ' ἀλλήλῃσιν ἔχονται." V.

10. ἀκάκητα] ἔνιοι μὲν ἀμέτοχος κακῶν. ἔστι γὰρ ὁ θεὸς δοτὴρ ἀγαθῶν. ἔνιοι ἀπὸ Ἀκακησίου ὄρους ἐν Ἀρκαδίᾳ. δοκεῖ γὰρ ὁ θεὸς Ἀρκὰς εἶναι. V. προπαροξυτόνως δὲ τὸ ἀκάκητα ἀπὸ αἰτιατικῆς εἰς εὐθεῖαν μεταπεσὸν ἀπὸ τοῦ ἀκάκης κλιθεὶς, ὁ ἀκάκητος, ὥσπερ Ζεὺς μητίετα. H.

11. Λευκάδα πέτρην] πρὸς τοῖς καταχθονίοις μέρεσι. V. οἱ γὰρ νεκροὶ ἐκλείψαντος τοῦ αἵματος λευκοειδεῖς ὁρῶνται. H.

12. δῆμον ὀνείρων] τὴν νύκτα· ἐν ταύτῃ γὰρ οἱ ὄνειροι. Q.V.

13. κατ' ἀσφοδελὸν λειμῶνα] ἐν λειμῶνί τέ φησι τὰς ψυχὰς οἰκεῖν, ἐπεὶ καὶ ἐκ μελιᾶν. οὐ μέντοι τὸν Ἀχέροντα διαβαίνουσιν· ἄταφοι γὰρ τέως εἰσίν. Q. ἀσφοδελὸν εἶδος βοτάνης, ἐξ οὗ ἐάν τις φάγοι, οὐκέτι διψᾷ οὐδὲ πεινᾷ. δηλοῖ δὲ διὰ τούτου ὅτι οἱ ἐν τῷ Ἅιδῃ οὐδὲ ἐσθίουσιν οὐδὲ πίνουσιν. Q. ἄκαρπον φυτὸν ὁ ἀσφόδελος. νῦν τὸν τόπον λέγει τὸν ἀσφοδελώδη. V.

14. καμόντων] γρ. θανόντων. Vind. 5.

28. πρῶτα] πρὸ τοῦ γήρως, πρὸ τοῦ δέοντος· οὕτως Ἀττικοί. H.

ὁ τὰς ἡνίας τῶν κ. ἔχων necessarium mihi non videbatur. Et quando pro κυλάδες γάρ scribunt κύλοι γὰρ ἢ κυλάδες, primum oportuit κῦλα, deinde hoc non præeunt Etym. et Eustathius p. 1951, 19. (ὁ τὰς ἡνίας τῶν κύλων ἢ κυλάδων ἔχων) quorum illius auctoritate scribas potius κυλάδων ἔχων τὰς ἡνίας, quod manifesto etiam præbet cod. Q. BUTT.

11. συνημμέναι Barnesius. συνημμέναις codex Barnes. ἀνημέναις V.

13. ἀμέτοχος κακῶν codex Barnes. ἀμέτροχος κακῶς V.

20. ἐν ταύτῃ γὰρ] ἐν ᾗ φαίνονται V.

22. ἐκ μελιᾶν] Apud Hesiodum Op. 144.

28. πρῶτα] Lemma ΠΡΩΙΤΙ est in editionibus antiquis. Quod mi-

www.libtool.com.cn

πρὸ τοῦ δέοντος καιροῦ. πόθεν δὲ ἦλθεν ὁ Ἀχιλλεύς; εἰκὸς παρ' ἄλλου πεπύσθαι αὐτόν. οὐ γάρ τι ἐν Ἅιδου ἔστι διασκοπεῖν, ἀλλ' ὅτι αὐτή ἐστιν ἡ ὑπόθεσις. V.

29. ὅς κε ἴδηται] γράφεται, ὅς κε γένηται, ἤτοι γενηθῇ. Q.

30. ὡς ὄφελες] τότε θανεῖν ὅταν ὁ πόλεμος. καὶ οὕτως ἂν ἐπέτυχες καὶ τῆς τιμῆς ἧσπερ ἐβασίλευες. Q.

39. σὺ δὲ στροφάλιγγι κονίης] παρόσον ὁ ἄνεμος ἀνακινῶν τὸν κονιορτὸν ποιεῖ τοιαῦτα. Q.

42. λαίλαπι] ἀνέμῳ, βροντῇ. Q.

48. ἀγγελίης] νῦν τοῦ θρήνου. V.

50. ἔβαν κοίλας ἐπὶ νῆας] ἀπὸ τοῦ ναυστάθμου τῶν Μυρμιδόνων ἐφοίτων ἐπὶ τὰς ἰδίας ναῦς. Q.

62. τοῖον γὰρ ὑπώρορε] λείπει τὸ πένθος. Q.

65. πολλὰ δ' ἐπ' αὐτῷ] γρ. πολλὰ δέ σ' ἀμφίς. Vind. 5. et 56.

67. ἔν τ' ἐσθῆτι θεῶν] τῇ δεδομένῃ ὑπὸ Νηρηίδων. Q.

74. Διωνύσοιο δὲ δῶρον] ἤντινα δέδωκεν αὐτῇ ὁ Διόνυσος, ὅτε παρὰ τοῦ Λυκούργου διωκόμενος κατέφυγεν εἰς αὐτήν. τοῦτο δὲ εὑρήσεις ἐν τῇ Ἰλιάδι (ζ, 130.) πλατύτερον. H.Q.

75. περικλυτοῦ] γρ. περίκλυτον. H.

85. ἔνιοι μὲν ὅτι ἤτησε τοὺς θεοὺς περικαλλέα ἔπαθλα. τινὲς δὲ ὑποστίζουσιν εἰς τὸ θεούς. H.

89. ζώννυνταί τε νέοι] εὐτρεπίζονται πρὸς τὰ ἆθλα. ἀπὸ δὲ μέρους τὸ ζώννυνται· ἡνίοχοι γὰρ καὶ τοξόται καὶ ἀκοντισταὶ καὶ δισκοβόλοι ζώννυνται, γυμνοὶ δὲ δρομεῖς καὶ παλαισταί. Q.

ζώννυνται] ἐν περιζώμασιν ἀγωνίζονται. V.

90. θηήσαο] θαυμάσειας. M.

112. περιταμνομένους] περιελαύνοντας. V.

119. σπουδῇ] μόλις. ἤθελε δὲ κρύπτειν ἑαυτὸν ὁ Ὀδυσσεὺς, μὴ βουλόμενος στρατεύεσθαι, οὐ διὰ δειλίαν, ἀλλ' ὡς συνετὸς ἀνὴρ ὁρῶν

nime negligendum, ob difficultatem in textus lectione recepta et in scholiastæ explicatione. Recentt. enim in lemmate posuerunt lectionem textus πρῶτα. Eustath. πρῶτα, ἤγουν πρὸ καιροῦ κατὰ τοὺς Ἀττικούς. Jam cf. Hesych. v. Πρωΐ.—καὶ πρὸ τοῦ δέοντος καιροῦ. Phot. Πρωΐ. ταχέως, πρὸ ὥρας. Contra πρῶτα apud nullum glossographorum ita explicatur. Quare vide an πρωΐ vera sit in textu scriptura, unde, recte an perperam jam olim inserto τι (πρωΐ τι, πρῶ τι), nata sit vulgata hodie lectio. BUTTM. Nihil tribuendum illi πρωΐτι.

28. Verba ὁ Ὀδυσσ.—δειλίαν ex cod. addidit Barnes.

www.libtool.com.cn

ὁρῶν τὸ μέγεθος τοῦ πολέμου. ὅθεν εἰκὸς τὸν Ἀγαμέμνονα παρὰ τῷ Ἀμφιμέδοντι μένειν, καὶ οὐ παρὰ τῷ Ὀδυσσεῖ. V.

123. καταλέξω] γρ. ἀγορεύσω. H.

124. τέλος] γρ. μόρον. M.

133. μεταμώλια] μάταια. ἐκ τοῦ μὴ ὀνεῖν, κράσει τοῦ η καὶ ο εἰς ω μέγα. H.Q.

158. σκηπτόμενον] τῇ ῥάβδῳ ἐπερειδόμενον. Q.

161. ἐνίσσομεν] ἐπεπλήσσομεν. V.

162. τέως μὲν] μέχρι μέν τινος ὑπέμενεν. H.

180. βέλεμνα] βέλη. V.

187. σώματ' ἀκηδέα κεῖται] καὶ πῶς μίγνυνται τοῖς νεκροῖς τὰ Πατρόκλου λέγοντος ἐν Ἰλιάδι (ψ, 73.) "οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν." ἔστιν οὖν ταῦτα μὲν ἀληθῆ, ἐκεῖνα δὲ ψευδῆ Ἀχιλλέως οὕτω φαντασθέντος. H.

191. ἡ πρός ἀντὶ τῆς μετά. μετὰ δὲ τοῦτο ψυχὴ προσεφώνησεν Ἀτρεΐδαο. H.

192. ὄλβιε Λαέρταο πάϊ] ἀπρεπές φασι παρέντα τὸ συμπαθεῖν τῷ Ἀμφιμέδοντι ἐπαινεῖν τὸν Ὀδυσσέα. οὐκ ἀπεικὸς δὲ διὰ τὸ καὶ τὸν αὐτὸν ὑπὸ τῆς συνοικούσης τὰ κάκιστα πεπονθέναι. V.

197. ἀοιδήν] ἀντὶ τοῦ φήμην. V.

199. οὐχ ὡς Τυνδαρέου κούρη] οὐχ ὡς ἡ Κλυταιμνήστρα. H.

5. Sequitur in H. in marg. ad v. 148. εὐναὶ αἰολεῖς "quod quo referendum sit nescio, nisi ad ναῖε v. 150." CRAMER. Qua conjectura nihil proficitur. Literæ ι et αἰολεῖς fortasse significant οἱ Αἰολεῖς vel ἡ Αἰολίς, id est Homeri editio Æolica, quæ ἡ Αἰολὶς appellatur in schol. ad σ, 98. ἡ Αἰολικὴ ad ξ, 280. et οἱ Αἰολεῖς ibid. 331., nisi ibi quoque ἡ Αἰολίς scribendum.

8. ἐνίσσομεν] ἐνίσσομεν M. in textu.

10. βέλεμνα] Fuit itaque varia lectio στονόεντα βέλεμνα. BUTTM.

12. οὐδέ—ἐῶσιν] οὐ δὲ νῶ τι μητέσθαι ὑπὲρ ποταμοῖο μ' ἐῶσιν H.

17. In ed. ant. hæc est confusio —παρέντα τὸ συμπαθεῖν. ΗΣ. τῆς οἰκείας. ΤΟ ΑΜΦΙΜΕΔΟΝ ΤΙΘΕΕ. ἐπαινεῖ τὸν Ὀδυσσέα κ. τ. λ. In quibus quamvis manifestum sit glossam ΗΣ. τῆς οἰκείας a versu 196. huc male illatam esse, tamen hæc verba in edd. recentt., in loco emendando scilicet, ita adhibita sunt—παρέντα τὸ συμπαθεῖν περὶ τῆς οἰκείας τῷ Ἀμφιμέδοντι τύχης ἐπαινεῖν τὸν Ὀδ. Ego insiticiis istis, περὶ τ. οἰκ. et τύχης, ejectis in ceteris acquievi: quamvis restent adhuc literæ ΘΕΕ, de quibus quid faciam non habeo: nisi vox θέε forte, e glossa, ΘΕΕ vel ΘΕΕΝ. ἔτρεχεν. quæ legitur ad v. 208., eodem casu, quo alia integra glossa, huc retracta et stribligini illi immista fuit.—Mox συνοικούσης, pro mutilo νοικούσης, a Barnesio restitutum est. BUTTM.

www.libtool.com.cn

203. κευθεσι γαιης] κρυπτοῖς τόποις. λέγει δὲ τοῖς ὑπὸ γῆν. V.

205. οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν] ὑποστικτέον μετὰ τοῦτο, ἐπεί τοι ψιλὸς λόφος ἐστί. V.

207. κτεάτισσεν] ἔκτισεν. V.

μάλα πόλλ' ἐμόγησεν] ἐκακοπάθησεν οἰκοδομήσας, φυτεύσας, σκάψας. H.Q.

208. κλίσιον] περίφραγμα. Q. ἅπαξ εἴρηται. σημαίνει δὲ ἐξέδραν τινὰ σιγματοειδῆ, ἐν ᾗ ἔκειντο οἱ κλισμοί. ἢ κρηπίδωμα, ἐφ' οὗ ἐκαθέζοντο ἢ ἐκοιμῶντο. V.

κλίσιον] ἄλλο τὸ παρὰ Ἀττικοῖς κλίσιον. κἀκεῖνο μὲν γὰρ ἁμαξῶν καὶ ζευγῶν δεκτικὸν, ὃ νῦν Ῥωμαῖοι παρὰ τὴν στάσιν σταῦλόν φασιν. τοῦτο δὲ παρὰ τὸ κλείειν, ὅ ἐστι περιέχειν, ἐν μέσῳ τοὺς οἴκους. φησὶ γὰρ "ἔνθα οἱ οἶκος ἔην, περὶ δὲ κλίσιον θέε πάντη." ὅμοιον γάρ ἐστι τὸ ἐν τῇ A (425.) "ὄθι θάλαμος περικαλλέος αὐλῆς ὑψηλὸς δέδμητο περισκέπτῳ ἐνὶ χώρῳ" ὅ ἐστι τῷ μέσῳ, διὰ τὸ πανταχόθεν σκοπεῖσθαι τῆς αὐλῆς. Vind. 56.

210. δμῶες ἀναγκαῖοι] οἱ ἀργυρώνητοι· οὗτοι γὰρ ἀνάγκῃ δουλεύουσιν. Q. ἀναγκαῖοι] χρειώδεις. Q.V.

218. ἀμφὶς] χωρίς. Q.

221. πολυκάρπου] συμφύτου τόπου, πολυδένδρου. H. ἤτοι κυρίως, ἢ ποικίλους καρποὺς ἐχούσης. V.

224. αἱμασιὰς λέξοντες] οἰκοδομήσοντες. Q. τὰ ἐκ τῶν λεπτῶν λίθων τειχία οἰκοδομήσοντες. V.

227. λιστρεύοντα] περιξύοντα καὶ περισκάπτοντα. Q.V. εἰς ἀρδείαν, καὶ ὁμαλίζοντα. V.

τὸ ἑξῆς, ῥυπόωντα ἕστο χιτῶνα πένθος ἀέξων. Q.

229. γραπτῦς] τὰς καταξύσεις τῶν ἀκανθωδῶν φυτῶν. Q. τὰς τῶν ἀκανθωδῶν φυτῶν καταξύσεις καὶ ἀμυχὰς εἴς τε τοὺς πόδας καὶ τὰς χεῖρας. H.V.

3. ψιλὸς λόφος Barnes. ex cod. pro ψολὸς λόφον.

5. σκάψας om. Q.

10. κλίσιον] Aristarchi, Heliodori et Apionis explicationes memoravit Apollonius in Lexico s. v. κλίσιον.

10. ἁμαξῶν καὶ ζευγῶν δεκτικὸν, ὃ νῦν Ῥωμαῖοι παρὰ τὴν στάσιν] ἁμάξης ζεύγων δεύτερον, ὃ νῦν Ῥωμαῖοι παρὰ στάσιν Vind. Correxi ex Eustathio p. 1957 extr. De voc. σταῦλον vid. Ducang.

24. In editionibus ant. hæc ita corrupta leguntur: ΑΙΓΕΤΟΝΤΑ. π. κ. π. εἰ, ἀνδρείαν καὶ ὀναλίζοντα. Ultimum verbum in recentt. tacite mutatum in στοναχίζοντα. Barn. e MS. suo totum restituit. BUTT.

28. καταξύσεις H. καταπεριξύσεις V. εἴς τε—χεῖρας om. V.

www.libtool.com.cn

230. χειρῖδάς τ'] χειρόρτια, ἢ μικρὰς καινίδας. H.

231. αἰγείην κυνέην] καταχρηστικῶς, ὡς καὶ τὴν χαλκῆν κυνέην. V.

234. βλωθρὴν] τὴν μεγάλην, ἀπὸ τοῦ ἄνω μολίσκειν. V.

236. κύσσαι] περιπλακῆναι, φιλῆσαι. V.

240. κερτομίοις ἐπέεσσιν] ἀπατητικοῖς, δολίοις, ἵνα μὴ τῇ αἰφνιδίῳ χαρᾷ ἀποψύξει ὁ γέρων, ὥσπερ καὶ ὁ κύων ἀπώλετο. Q.

242. κατ' ἔχων κεφαλὴν] κάτω ἔχων, νενευκώς. δύναται δὲ καὶ ὑφ' ἓν, κατέχων. V.

244. ἀδαημονίης ἔχει] γρ. ἀδαημοσύνης. H. ἀνεπιστημοσύνης. Gl. H.

254. ἔοικε τῷ κατὰ σὲ γεγηρακότι εὐδέμεναι μαλακῶς, ὅτε λούσαιτο καὶ φάγοι. H.

260. οὗτος ἀνὴρ] δεικτικῶς, ὁ σχεδὸν ὑπ' ὄψιν φαινόμενος. Q.

270. λέγεται Κέφαλος ὁ Δηϊονέως ἐξ Ἄρκτου γυναικὸς τεκεῖν τὸν Ἀρκείσιον. H.

275. ἀνθεμόεντα] λαμπρὸν καὶ καινόν. μεταφορικῶς ἀπὸ τῶν ἀνθέων. Q. ἀνθοῦντα. V.

276. χιτῶνας] γρ. τάπητας. Vind. 56.

279. εἰδαλίμας] εὐειδεῖς ἢ ἐπιστήμονας. V.

283. τὸ ταῦτα ἀναφορικῶς, ἃ προεῖπες δῶρα. H.

286. ὑπάρξῃ] προκατάρξει, τοῦτο γὰρ δίκαιον, τὸ ἀντιτιμηθῆναι τὸν κατάρξαντα. H. προκατάρξηται. V.

294. πολύδωρος Πηνελόπεια] ἡ πολλοῖς δώροις εἰς γάμον ἐλθοῦσα. Q. ἡ πολλοῖς δώροις γαμηθεῖσα. V.

301. ἐπ' ἀλλοτρίας νηὸς πλεύσας. H.

304. εἰμὶ γὰρ ἐξ Ἀλύβαντος] Ἀλύβας πόλις Θετταλίας ἡ νῦν Μεταπόντιον καλουμένη. Ἀλύβην δὲ αὐτὴν ἐν τῷ καταλόγῳ φησί. H.Q. Ἀλύβας πόλις Ἰταλίας τὸ Μεταπόντιον, ἢ μᾶλλον Μετα-

1. χειρόρτια] Hujus vocabuli exempla vide apud Ducangium.

10. ἀδαημονίης] Litera σ hic et in proximis adhæret ex pronomine.

12. ἔοικε] Scholiasta legisse videtur τοιούτῳ δὲ ἔοικεν, non quod nunc legitur in libris et apud Eustath. p. 1958, 59. ἔοικας.

ὅτε—φάγοι] ὅταν—φεύγοι H.

20. εὐειδεῖς ex Eustathio p. 1961, 24. εὐεργεῖς V.

28. μεταπόντιον H. μεταστάτις Q. In Μεταπόντιον consentiunt Steph. Byz. s. v. Ἀλύβας et Eustathius p. 1961. extr.

29. ἢ μᾶλλον Μεταπόντιον] Non apparet quid scholiasta voluerit. ἢ μᾶλλον κατὰ Πόντον Buttmannus. ἢ μᾶλλον τοῦ Πόντου Barnesius.

www.libtool.com.cn

πόντιον, ἥντινα ἐν τῷ καταλόγῳ Ἀλύβην ἔφη "αὐτὰρ Ἀλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη" (Il. β, 857.). V.

307. Σικανίης] Σικελίας. ᾤκησαν γὰρ αὐτὴν Ἴβηρες ἐλθόντες ἀπὸ Σικανοῦ ποταμοῦ. V.

312. δεξιὰ] ἀγαθὰ σημεῖα ἦσαν ἐκείνῳ ἐξερχομένῳ. H.

319. δριμὺ μένος προΰτυψε] ἤτοι ὅτι πρᾶγμα ἐτόλμησεν ἐξειπεῖν, ἢ ὅτι ἔμελλε δακρύειν, προεπεμπίπτει ταῖς ῥισὶ δριμύτης τις. V. δριμεῖα ἀναφορά. H. προΰτυψε] προενέπεσεν. V.

340. ὄγχνη καὶ τὸ δένδρον καὶ ὁ καρπὸς ὁμωνύμως. ὄρχος δὲ ἡ ἐπίστιχος φυτεία. H.

341. ὄρχους] στίχους ἀμπέλων. Q.

342. διατρύγιος] διηνεκῶς τρυγώμενος, οὗ οἱ καρποὶ ἐν διαφόροις ὥραις πεπαίνονται. H.

344. ἐπιβρίσειαν ὕπερθεν] ἐπιβαρήσειαν τοὺς καρπούς. Q.

358. ἵν' ὀρχάτου] γρ. ὃς ὀρχάτου. H.

377. Νήρικον] τὴν νῦν Λευκάδα καλουμένην. H.Q.

395. μέλλοντες φαγεῖν ὑμᾶς περιεμένομεν. H.

402. οὖλε] ὑγίαινε· παρὰ τὸ ὅλην. τῶν ἅπαξ εἰρημένων. H.

410. δεικανόωντ'] προσεκύνουν. Q.

δεικανόωντα] προσαυδῶντα, προσασπάζοντα καὶ φιλανθρωπεύοντα. MS. Barnes.

413. ὄσσα] θεία κληδών. οἱ δὲ νεώτεροι ἀντὶ τῆς φωνῆς. H.Q. φήμη. MS. Barnes.

416. μυχμῷ τε] τῷ διὰ μυκτήρων ἄσθματι. H.

419. ἁλιεῦσι] ἁλιεῖς καλεῖν εἰώθασιν ὁτὲ μὲν τοὺς ἰχθυοβόλους, οὓς καὶ "ἁλιῆες κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης δικτύῳ ἐξείρυσσαν" (Od. χ, 384.), ὁτὲ δὲ τοὺς πλοϊζομένους "ἐς δ' ἐρέτας ἁλιῆας ἀγείρομεν" (Od. π, 349.). νῦν δ' ἑκάτερον ἐγχωρεῖ. H.Q.

425. τοῦ] λείπει ἡ ὑπέρ ἢ περί. H.

429. Κεφαλλήνων ὄχ' ἀρίστους] γρ. Κεφαλλήνων ἐνὶ δήμῳ. Vind. 5. et 56.

432. ἦ] ὁ ἦ ἀντὶ τοῦ ἐπεί. H.

1. Ὀδίος—γενέθλη] ὁ δίος ἐπίστροφος—ὅθεν ἀρετὴ γενέθλη V.
5. Σικανοῦ Eustathius p. 1962, 34. σικάνου V.
7. ἐξειπεῖν Barnes. pro ἐξειπῆ.
13. τρυγώμενος] τρυχόμενος H.
17. Νήρικον] τὸ νήρικον H.
23. οἱ δὲ—φωνῆς om. Q.

www.libtool.com.cn

436. φθιμένοισι] γρ. προτέροισι. M.

450. ἦρει] γρ. εἶλε. M.

452. δηλονότι φρόνιμος ἦν. H.

462. ἐπίσπαστον] καταχρηστικῶς σημαίνει τὸ ἑκούσιον, ὅ ἐστιν ὃ ἑαυτῷ τις ἐπισπᾶται. MS. Barnes.

464. τοὶ δ'] οὗτοι δὲ, ἀντὶ τοῦ οἱ λοιποί. H.

467. νώροπα] ἔγκειται καὶ τὸ μὴ ὁρᾶν καὶ τὸ ὤπες. σημαίνει οὖν στιλπνότητα καὶ λαμπρότητα δυσόρατον. H.

